Meyer.-
1856.

AESCHINIS ORATORIS

OPERA

GRAECE.

AD FIDEM CODICUM MANUSCRIPTORUM RECOGNOVIT ANIMADVERSIONIBUSQUE ILLUSTRAVIT.

JO. HENR. BREMIUS

HELVETO - TURICENSIS.

VOL. I.

TURICI, IMPENSIS ZIEGLERI ET FILIORUM.
MDCCCXXIII.

Quum per aestatem praecedentis anni in suburbanis *Gossweileri*, peritissimi et humanissimi medici, valetudinem curarem, otii fallendi caussa colligere atque excutere placuit, quae, in accurate perlegendis oratorum Graecorum operibus, ad *Aeschinem* constituendum et illustrandum multifariam conscripseram. Corpus quidem infirmum, animus demissus, et memoria male fida molestiam insigniter augebant, nec solum rem tardabant, sed opus etiam imperfectius reddebant: cujus veniam aequos laborum meorum judices oro rogoque. Tandem inter corporis vexationes animique aegritudines volumen nunc primum ad finem perductum est, eique statim accedet alterum.

Hac editione autem id secutus sum, ut adolescentibus Graecarum litterarum studiosis, qui scholae

disciplina subtili et accurata diligenter usi sunt, et liberaliter educatis hominibus omnino viam munirem ad legendos et intelligendos oratores Graecos. Qua in re ita versatus sum, ut ex omni rerum copia, quicquid huic consilio conduceret, diligenter exponerem.

Quibus ad scriptorem rite intelligendum opus sit, ea duobus potissimum generibus contineri constat. *Oratio* enim illius constituenda est, et *res* explicandae. — — Ut orationem scriptoris constituas, ante omnia *scriptor ipse* summo studio amplectendus et penitus cognoscendus est. Nam quisque eorum, quos classicos cum Gellio appelles, sua virtute splendet — interdum etiam dormitat, ut bonus Homerus. Hoc dico, propriam scriptoris rationem et orationem ante omnia per omnem ambitum esse pernoscendam, quibus usus sit vocabulis, quibus abstinuerit, quae adamaverit, quae aversatus sit. Tum attendas ad eorum flectendorum usum; classicus enim scriptor in hac re sibi constabit. Dein pervestiges rationem verborum componendorum; hic enim pro ingenio multa

tentantur. Periodorum etiam conversio solertiam tuam occupabit; nam quae communi usui conveniant, et in quibus ab eo scriptor discedat, sedulo investiganda, gratae etiam, quas dicunt, negligentiae perscrutandae sunt; quas qui non certis suis limitibus circumscribi opinatur, vehementer errat. — In textu autem, quem dicunt, constituendo manu scriptorum codicum auctoritas pie colenda, quippe quum, qui suo vel aliorum judicio abripi se patiuntur, non scriptorem nobis tradant, sed ineptias suas. In locis corruptis, quorum haud pauci antiquorum scripta dehonestant, editor ingenii sui prolem in animadversionibus deponat, ut, qui legunt, libertatem habeant ingenii exercendi. Laetamur, quod haec sobrietas dominari coepit, et quod viri, qui, quamvis ingeniosi, ingenio suo nimis indulgebant, ipsi se in viam reduxerunt. Sic sperandum, scriptores antiquos, quorum studium cuivis liberaliter educando merito prae ceteris commendatur, fore, ut ipsi nativa sua virtute exsplendescant, eademque cultores suos exornent.

Rerum autem explicatio ut maxime necessaria, ita maxime difficilis est. Etiam has in duas partes distribuere poterimus. Prima est earum, quae antiquitatem universam, sive historiam, sive rerum publicarum formas et leges, sive res privatas, sive sacras spectant, altera earum, quae pertinent ad id unum momentum, quod tractatur. Utrumque genus suis premitur et magnis difficultatibus. Nec enim unquam nostra antiquitatis historica cognitio potest esse tam certa et ampla, ut nihil vel incognitum maneat vel dubium. Ejus enim ipsius aetatis documenta aut nunquam fuerunt, aut interierunt, aut quae supersunt, manca sunt, multisque dubitationibus obnoxia. Oratores ipsi, quorum testimonia multarum rerum fere sola sunt, ad usum magnam cautionem flagitant, ne illorum cupiditate et hyperbolis abripiamur. Quibus vulgo nimium quantum tribuitur, Scholiastis, Glossographis, Lexicographis, ii sane multa habent et nova et utilia. Sed novis non temere credendum, et utilia saepe ex colluvie multo cum labore secernenda, quum

praesertim alter alteri multum, nec raro idem sibi ipsi repugnet. Nostra tamen aetate haec pars antiquitatis studiorum non studiose solum et subtiliter, sed accurate et cum judicio tractatur. In quo quum F. A. Wolfius, quem magistrum nostrum et veneramur et amamus, viam praeivisset in Demosthenis Leptinea, fortiter et ingenue multi secuti sunt, quorum jure suo laudamus J. C. F. Manso, Aug. Matthiae, Aug. Boeckhium, M. H. Hudtwalker, Ed. Platnerum, B. G. Weiske, Fr. G. Tittmann, G. F. Schömann, qui omnes bene de antiquitate Graeca meriti sunt ac merebuntur: quibus nuperrime se adjunxerunt Fr. Kortüm, Ern. Fr. Poppo, C. Guil. Krüger. Quorum virorum doctorum opera sic in usum nostrum convertimus, ut, ubi eorum sententiae plane accedebamus, ipsa eorum verba daremus. Quid enim, pauculis mutatis, eorum laudibus quicquam detrahendum? Sed quod meo consilio inserviebat, id in usum lectorum ita adhibui, ut non necesse sit, evolvere libros, quos forsan nec ipsi nec alii in vicinia habeant. Hoc, ut ita dicam, prae-

ludio magis incitabuntur, libros ipsos, si res ferant, sibi comparare.

De ipsa autem re, quae tractatur, quam difficile sit, certa nosse et docere, per se patet, si praesertim res sit, privatos et ignotos homines, non universam rempublicam attingens. In his confidere nos plerumque oportet testimoniis Grammaticorum, Scholiastarum, Lexicographorum, resque conjectura divinare potius, quam certis argumentis probare.

Quod nostrum spectat scriptorem, e vitis, quas orationibus praemisi, cognosci possunt, quae tum in scholis vulgabantur: quorum pleraque hausta sunt ex Demosthenis orationibus, adversarii, qui, rem si non fingit, tamen in damnum Aeschinis auget. Quae ex Hermogene addidi, scriptoris colorem satis bene depingunt. Ut paucis dicam, quid ipse sentiam: Est Aeschines ingeniosus, interdum argutus, ne dicam calumniosus; voluptatis et luxuriei acerrimus osor, morum probitatis et frugalitatis gravissimus vindex. Patriae quidem amans, sed blanditiis, opinor, Philippi

magis, quam donis incantatus, et, ut fit, quum adversarium nactus esset et ingenio et civili virtute superiorem, non abstinuit calumniis, ut noceret adversario, vel, ut vere loquamur, inimico. Condonandum, quum similia ab adversario pateretur. Oratio est pura, nitida, lenis non tumida, gravis et severa in morum correctione.

Varietatem lectionis, quum valetudine tunc nimium premerer, per Studiosos colligendam curavi in oratione *κατὰ Τιμάρχου*: cujus laboris placidum judicium expeto. Quum molestia esset minuta, ipse conscripsi eam, quae est *περὶ παραπρεσβείας*. Kal. Augusti MDCCCXXIII.

Ex Eduardi Corsini Fastis Atticis.

Tom. III. p. 162.

Κατὰ Τιμάρχου.

Orationem hanc Themistoclis Archontis anno, hoc est 2. Ol. CVIII., habitam esse demonstrat, quod in illa Alexander semel iterumque *puer* vocatur, seque Aeschines a legatione, quam una cum Demosthene ad Philippum obierat, rediisse dicit. Ergo quum legatio illa in Themistoclis Archontis annum inciderit, Aeschinis oratio ad annum illum spectavit; eaque, opinor, de caussa Scholiastes Themistoclis Archontis nomen expressit.

Albert Gerhard Becker in libro:

Demosthenes als Staatsmann und Redner

Vol. II. p. 320. sq.

Ob die Reden beyder Gegner *Περὶ παραπρεσβείας* wirklich vor Gericht gehalten worden seyn, ist in der That sehr ungewiſs. Zwar erzählt Idomeneus, ein Schüler Epicurs (Jonsius hist. philos. p. 118.), in der Schrift *von berühmten Männern*, daſs Aeschines bey der Lossprechung nur dreyſsig Stimmen mehr gehabt; Plutarch aber bemerkt, daſs diese Angabe deſswegen zweifelhaft sey, da so wenig Aeschines als Demosthenes in der Rede *für die Krone* des Prozesses über die Gesandtschaft erwähnen: Jener rühme sich nicht bey Erwähnung seiner Verrichtungen als Gesandter, daſs die Richter bereits vormahls ihn von den falschen Beschuldigungen des Gegners frey gesprochen; dieser

asse sich eben so wenig etwas über den Handel verlauten.

Auger glaubt, Demosthenes habe geschwiegen, weil er jenen Prozefs nicht gewonnen, Aeschines aber, weil er befürchtet, den dringenden Verdacht gegen sich von neuem rege zu machen.

Es ist nicht glaublich, dafs beyde Redner so gehandelt haben würden, nach einer Reihe von Jahren, wo die nähern Umstände eines an sich so merkwürdigen Prozesses bereits ins Vergessen gekommen waren. Da Aeschines sich ausführlich über den Frieden mit Philippus erklärt, würde er auch jetzt noch triumphirend dem Demosthenes Hohn gesprochen, und dieser würde es eben so wenig unterlassen haben, den Grund seiner Lossprechung, nähmlich den Einflufs des Eubulos, aufzudecken. Vielmehr scheint sich wirklich die Sache also zu verhalten. Wollte Demosthenes den Aeschines vor Gericht als Betrüger und Verräther bey der Gesandtschaft an den König

verklagen, so konnte es nicht umgangen werden, dafs er zugleich auch die übrigen Mitgesandten, unter welchen sich sehr bedeutende Männer von grofsem Einflufs, z. B. der Redner Kephisophon und Eubulos, Lieblinge des Volkes, befanden, in Anspruch nahm. Wie ihre eigene Sache würden diese Männer die Sache des Beklagten vertheidiget haben, wie sich denn auch wirklich Aeschines in seiner Vertheidigungsschrift auf den Beystand und Schutz des Eubulos beruft. Ferner bedurfte Demosthenes bey einer gerichtlichen Klage äufsere Beweise, Zeugnisse, u. s. w., die er sich nicht verschaffen konnte, so bald, wie voraus zu setzen war, alle Gesandte gegen ihn in Opposition traten. Diefs hielt ihn jedoch nicht ab, seine Vermuthungen über Aeschines Ränke durch eine förmliche Klagschrift in Athen zu verbreiten; worauf dann jener eben so antwortete. Beyden nähmlich mufste sehr viel daran liegen, sich das Zutrauen des Volkes, dessen sie als öffentliche Redner bedurften, zu erhalten. Wer kann aber zweifeln, dafs die nachtheiligen Folgen

jenes Friedens dieses Vertrauen gegen sie geschwächt hatten? —

Wie dem auch sey, Demosthenes Klageschrift fruchtete nichts. Aeschines erhielt wirklich den Sieg im Kampfe, indem er nach wie vor in Ansehen blieb, und späterhin, als Werkzeug des Philippos, Athen seinem Verderben zuführte.

ΑΙΣΧΙΝΟΥ ΡΗΤΟΡΟΣ ΒΙΟΣ.

Αἰσχίνης υἱὸς μὲν ἦν Ἀτρομήτου τοῦ γραμματιστοῦ καὶ Γλαυκοθέας τῆς τοὺς θιάσους τελούσης· φασὶ δὲ αὐτὸν παῖδα μὲν ὄντα ἐν τῷ διδασκαλείῳ τοῦ πατρὸς ὑπουργεῖν, καὶ τῇ μητρὶ τὰς βίβλους ἀναγινώσκειν· ταύτην δ᾽ ἐκ σκοτεινῶν τόπων ὁρμωμένην καὶ φοβοῦσαν τοὺς παῖδας καὶ γυναῖκας Ἔμπουσαν ὀνομασθῆναι· ἐπεὶ νυκτερινὸν φάντασμα ἡ Ἔμπουσα. γενόμενον δὲ μειράκιον ὑποκρι-

---

γραμματιστοῦ] Sic dedi e cod. Helmst. Vulgo γραμματικοῦ. Hesych. γραμματιστής-γραμματοδιδάσκαλος. Zonaras γραμματιστής· ὁ τὰ πρῶτα στοιχεῖα διδάσκων. Cf. Bekkeri Anecd. p. 32. Ibidem tamen p. 88. legitur γραμματικοὺς dici ἀντὶ τοῦ γραμματιστάς. Sed alterum praeferendum. Γραμματικὸς est, ὃς οἶδε τὰ γράμματα, quacunque substantivi significatione.

τῆς τοὺς θιάσους τελούσης.] Harpocration et ex eo alii: θίασος; τὸ ἀθροιζόμενον πλῆθος ἐπὶ τιμῇ θεοῦ. Phavorinus: τελεῖν-καὶ τὸ μυοῦν, initiare: quod fiebat, quum initiandis ritus traderentur, hominesque ipsi purgarentur: munus minime honorificum. Huc refertur, quod in seqq. Aeschines dicitur τῇ μητρὶ τὰς βίβλους ἀναγινώσκειν ex Demosthene περὶ Στεφάνου p. 313.

ὁρμωμένην καὶ φοβοῦσαν τοὺς παῖδας καὶ γυναῖκας.] Sic cod. Helmst. Vulgo τοῖς παισὶ καὶ ταῖς γυναιξὶν ὁρμωμένην, quam constructionem non esse Graecam opinor. Additam enim habet ὁρμᾶσθαι hac significatione praepositionem εἰς vel ἐπί. Ἔμπουσαν Scholiastes ad Aristoph. Ran. v. 295. dicit esse φάντασμα δαιμονιῶδες ὑπὸ Ἑκάτης ἐπιπεμπόμενον καὶ φαινόμενον τοῖς δυστυχοῦσιν, ὃ δοκεῖ πολλὰς μορφὰς ἀλλάσσειν.

πυρὶ γοῦν λάμπεται
ἅπαν τὸ πρόσωπον, καὶ σκέλος χαλκοῦν ἔχει
καὶ βολίτινον θάτερον.

θῆναι τραγῳδίαν, ὥστε τριταγωνιστεῖν· ὄντα δὲ λαμπρόφωνον, γραμματεῦσαι Ἀριστοφῶντι, καὶ μετὰ τοῦτον Εὐβούλῳ, καὶ ἀναγινώσκοντα, ψηφισμάτων ὁμοῦ καὶ νόμων ἔμπειρον γενόμενον, ἐπιθέσθαι τῷ βήματι, καὶ τῶν κατ' αὐτὸν διενεγκεῖν, ὄντα εὐφυᾶ. μετὰ δὲ τὴν Φιλίππου τελευτὴν δόξαντα πολεμεῖν τῷ δήμῳ, καὶ διαπέμπεσθαι τῷ Ἀντιπάτρῳ κατὰ τῆς πόλεως, διὰ τοῦτό τε εἰληφέναι ἐν Θήβαις κτήματα, εὐθύνοντα Κτησιφῶντα, ὅτε ἔγραψε Δημοσθένην ἐν τῷ θεάτρῳ ἀναγορεῦσαι στεφανωθέντα, μὴ μεταλαβεῖν τὸ πέμπτον μέρος τῶν ψήφων· ἀτιμωθέντα δὲ, ἀπᾶραι εἰς τὴν Ἀσίαν, καὶ ἐλθεῖν εἰς Ἔφεσον, οἰηθέντα κατάξειν αὐτὸν εἰς Ἀθήνας τὸν Ἀλέξανδρον· πυθόμενον δὲ τετελευτηκέναι τὸν βασιλέα, καὶ ταραχὴν εἶναι τῶν διαδεχομένων, καταφυγεῖν εἰς Ῥόδον. ἔνθα δεομένων αὐτοῦ Ῥοδίων τὴν τέχνην διδάξαι τὴν ῥητορικὴν, ἀρνήσασθαι, εἰπόντα μηδ' αὐτὸν εἰδέναι. δίκας γοῦν κελευόντων εἰπεῖν,

---

τριταγωνιστεῖν] Τριταγωνιστὴς est tertiarum i. e. humillimarum partium actor. Suidas s. v. τριταγωνιστής· Αἰσχίνης ἐν πολλοῖς σκώπτεται ὑπὸ Δημοσθένους, ὡς ὑποκριτὴς τραγῳδιῶν· καὶ τριταγωνιστὴν αὐτόν φησιν, ὡς ἀδοκιμώτατον τῶν ὑποκριτῶν, ἐν τρίτῃ τάξει καταριθμῶν. Cf. Valesium ad Harpocrat. p. 292. seqq.

Ἀριστοφῶντι] De hoc in republica potenti viro cf. Ruhnkenium Historia Critt. Oratt. Graecc. p. XLVI. de Eubulo p. LXV. seq.

ψηφισμάτων - καὶ νόμων] Haec quomodo differant, ostendit F. A. Wolfius ad Leptin. p. 310.

εὐφυᾶ] Sic cod. Helmst. Vulgo εὐφυῆ. Illud exquisitius. Vide Gregor. de dial. p. 163. ejusque intpp.

στεφανωθέντα scripsi e Reiskii conjectura pro vulgato στεφάνῳ.

μὴ μεταλαβεῖν τὸ πέμπτον μέρος τῶν ψήφων] „Absoluto reo sexta aestimationis (multae crimini infligendae) delator multabatur, nisi quintam suffragiorum partem tulerat.“ Schömann de comitiis Atheniensium p. 178.

οὐδὲ τοῦτο θελῆσαι, συμβαλόντα, ὅτι, ἐν τῇ πατρίδι ἡττηθεὶς, κομιδῇ γ' ἂν ἐπὶ γῆς ἀλλοτρίας διαφθαρῆναι. τέλος οὖν ἐπὶ τὴν τοῦ πατρὸς ἐλθεῖν τέχνην, καὶ διδάσκειν τοὺς παῖδας γράμματα. Δημοχάρης δὲ, ὁ ἀδελφιδοῦς Δημοσθένους, εἰ ἄρα πιστευτέον αὐτῷ λέγοντι περὶ Αἰσχίνου, φησὶν, Ἰσχάνδρου τοῦ τραγῳδοποιοῦ τριταγωνιστὴν γενέσθαι τὸν Αἰσχίνην, καὶ ὑποκρινόμενον Οἰνόμαον διώκοντα Πέλοπα, αἰσχρῶς πεσεῖν, καὶ ἀναστῆναι ὑπὸ Σαννίωνος τοῦ χοροδιδασκάλου. ἔνθεν δ' οὖν ὁ Δημοσθένης Οἰνόμαον αὐτὸν ὀνομάζει, πρὸς εἰδότας τὸ πρᾶγμα ἐπισκώπτων. καὶ μετὰ Σωκράτους καὶ Σιμύλου, τῶν κακῶν ὑποκριτῶν, ἀλᾶσθαι κατ' ἀγρούς. εἴη ἂν οὖν ἐνθένδε ἀρουραῖος λεγόμενος· ἦν δὲ τὸν δῆμον Αἰσχίνης Κοθωκίδης.

ὅτι - γ' ἂν - διαφθαρῆναι.] Reiskius, offensus infinitivo conjunctioni ὅτι juncto, addi vult μέλλει. Perperam. In obliqua oratione ὅτι cum infinitivo, atque etiam cum aoristo infinitivi et ἂν optimi scriptores construunt. Varia exempla habet **Heindorf.** ad **Platonis Phaedon.** §. 19.

τραγῳδοποιοῦ] Sic cod. Helmst. Vulgo τραγῳδιοποιοῦ. Illa forma usitatior est apud scriptores Graecos et Grammaticos, ut τραγῳδοδιδάσκαλος frequentius legitur quam τραγῳδιοδιδάσκαλος. Ischander apud Demosthenem περὶ παραπρεσβείας p. 344. appellatur Νεοπτολέμου δευτεραγωνιστής. Fabricius eum ex nostro loco inter poetas tragicos refert, quorum opera perierunt, Bibl. Gr. T. I. p. 309. edit. Harl. Fieri potest, ut non solum actor fuerit, sed etiam poëta. Ex nostro tamen loco id non certo evincitur. Quamvis enim τραγῳδοποιὸς proprie sit poëta tragicus, interdum de actore dici concedit Ammonius de Voce. Differr. p. 86.

Οἰνόμαον] Fabula nota, quae est apud Hygin. LXXXIV. Hoc nomine tragoediam scripsit Euripides, cujus fragmenta nonnulla supersunt.

ἀναστῆναι]. Erectum esse, ut oppositum sit τῷ πεσεῖν. De Sannione cf. Demosthenem κατὰ Μειδίου p. 533.

Σωκράτους καὶ Σιμύλου] Etiam hoc ex Demosthene sumtum περὶ Στεφ. p. 371.

Κοθωκίδης] Ex demo Attica, cujus tribus, incertum. Cf. Jo. Meursium de populis Atticis s. v.

ΑΠΟΛΛΩΝΙΟΥ ΠΕΡΙ ΑΙΣΧΙΝΟΥ ΡΗΤΟΡΟΣ.

Αἰσχίνης ὁ ῥήτωρ τὸ μὲν γένος ἦν ἀθηναῖος, τὸν δῆμον κοθωκίδης, υἱὸς δὲ Ἀτρομήτου, ὃν φασι πρότερον Τρόμητα καλούμενον, ὕστερον συλλαβῆς προσθέσει, ἀντὶ Τρόμητος Ἀτρόμητον προσαγορευθῆναι· γεγονέναι δὲ τὸ κατ' ἀρχὰς δοῦλον, καὶ παῖδας ἔχοντα διδάσκειν γράμματα πρὸς τῷ Θησείῳ καὶ τῷ τοῦ Ἰατροῦ ἡρῴῳ· εἶτα ὕστερον εἰς τὴν πολιτείαν ἐγγραφῆναι διὰ κακουργίας. μητρὸς δὲ ἦν ὁ Αἰσχίνης Γλαυκοθέας, ἢ, ὥς ἔνιοι, Γλαυκίδος· ἥν φασι τὴν πρώτην ἡλικίαν ἡταιρηκέναι καθεζομένην ἐν οἰκήματι πρὸς τῷ τοῦ Καλαμίτου ἡρῴῳ· ἔπειτα ὕστερον ἀναστᾶσαν ἀπὸ τῆς ἐργασίας ταύτης, ἐπὶ τὸ τελεῖν καὶ καθαίρειν τοὺς βουλομένους ἀποκλῖναι· γεγονὼς δ' ἐκ τούτων ὁ Αἰσχίνης, καὶ ἀδελφῶν αὐτῷ δύο γενομένων, Ἀφοβήτου καὶ Φιλοχάρους, τοῦ τὰς ἀλαβαστροθήκας καὶ τὰ τύμπανα γράφοντος, παῖς μὲν ὢν τῷ πατρὶ ὑπηρέτει γράμματα διδάσκοντι. ἀνὴρ δὲ γενόμενος, τὸ μὲν πρῶτον ὑπεγραμμάτευσε ταῖς ἀρχαῖς χρόνον τινὰ σὺν τῷ ἀδελφῷ Ἀφοβήτῳ· ἦν δὲ ἐπονείδιστον τοῦτο τὸ ἔργον. ἔπειτα ἀποστὰς τούτου, τριταγωνιστὴς ἐγένετο τραγῳδιῶν, καὶ

Ἀπολλωνίου περὶ Αἰσχίνου ῥήτορος] Sic cod. Helmst. Vulgo Ἀπολλωνίου εἰς Αἰσχίνην ἐξήγησις qui titulus esse poterat majoris operis in Aeschinem.

Τρόμητα] Lusus est Demosthenis περὶ Στεφ. p. 270.

τῷ Θησείῳ] Θησεῖον fanum est Theseo sacratum, quod asylum erat servorum, quibus injuria fiebat. Vide Valesium ad Harpocrat. p. 93.

τοῦ Ἰατροῦ] Ulpianus in Demosth. p. 419. ὁ δὲ Ἰατρὸς ἥρως ἐλέγετο διὰ τὸ μέγεθος τοῦ σώματος· τὸ δὲ κύριον ὄνομα αὐτοῦ Ἀριστόμαχος. Vide Meursium Athen. Att. L. III. c. 1. Ἡρῷον est monumentum Herois.

Καλαμίτου] Quis fuerit, non tradunt veteres Lexicographi. Hesychius Καλαμίτης· ἥρως τῷ κλισίῳ πλησίον ex Demosth. περὶ Στεφ. p. 270. Bekkeri Anecd. p. 269. Καλαμίτην ἥρωά τινά φασιν εἶναι τιμώμενον Ἀθήνησιν.

ἐν Κολυττῷ ποτὲ Οἰνόμαον ὑποκρινόμενος κατέπεσε· μετὰ ταῦτα δὲ προκόπτων τῇ ἡλικίᾳ, ἐπὶ τὸ πολιτεύεσθαι καὶ τὰ κοινὰ πράττειν ἀπέκλινε. καὶ δοκεῖ τὴν ὑπὲρ Φιλίππου καὶ Ἀλεξάνδρου πολιτείαν ἐπανελέσθαι, κοινωσάμενος Φιλοκράτει τὰ πράγματα, καὶ πρὸς τὴν ἐκείνων χάριν καὶ κολακείαν ἄρασθαι πολιτείαν πρὸς τοὺς περὶ Δημοσθένην, τοὺς τἀναντία τοῖς Φιλίππου πράγμασι καὶ Ἀλεξάνδρου πολιτευσαμένους. ὅτι δὲ πρὸς χάριν ἐπολιτεύσατο τοῖς βασιλεῦσιν Αἰσχίνης, ἄλλα τε πολλὰ μαρτύριά ἐστι, καὶ δὴ πάντων ἐκεῖνο ἐναργέστατον. ἑλομένου γάρ ποτε αὐτὸν τοῦ δήμου σύνδικον ὑπὲρ τοῦ ἐν Δήλῳ ἱεροῦ πρὸς τὴν γενομένην πρὸς Δηλίους Ἀθηναίων διαδικασίαν, οὐκ ἐπέτρεπεν ἡ ἐν Ἀρείῳ πάγῳ βουλή, ἀλλ' ἀπελάσασα αὐτὸν, ὡς οὐκ ὄντα εὔνουν τῷ δήμῳ τῶν Ἀθηναίων, Ὑπερίδῃ λέγειν προςέταξε. φασὶ μέντοι τινὲς αὐτὸν ἀκουστὴν γενέσθαι Πλάτωνός τε καὶ Σωκράτους, ψευδόμενοι. ἦν δὲ καὶ ἕτερος ῥήτωρ Αἰσχίνης Ἐλευσίνιος, ὃς καὶ τέχνας λέγεται ῥητορικὰς γεγραφέναι. λέγεται δὲ ὁ Αἰσχίνης ἐρωτικὸς γεγονέναι. αὐτὸς δὲ ὁ Αἰσχίνης περὶ τοῦ γένους αὐτοῦ ἐν τῷ περὶ παραπρεσβείας φησὶν, ὡς ὁ πατὴρ αὐτοῦ

Κολυττῷ] Demus Atticus tribus Aegeidis. Cf. Jo. Meursium de populis Atticis s. v.

κατέπεσε] Reiskius vere monet, Graecos dicere ἐξέπεσε hac significatione.

ἄρασθαι πολιτείαν] Si lectio sana, nova est loquendi formula. Reiskius pro πολιτείαν conjicit πόλεμον, usitatiore locutione, parum tamen hic apta.

βασιλεῦσιν Αἰσχίνης] Nomen proprium accessit e cod. Helmst.

ἑλομένου cet.] Rem narrat Demosth. περὶ Στεφ. p. 271., discutit vir doctus in Obsvv. Miscell. T. VII. De Inscriptt. Delf. c. v.

ἕτερος ῥήτωρ Αἰσχίνης] Commemorantur varii, qui nomen A e s c h i n e s gesserunt, in Fabricii Biblioth. Gr. T. I. p. 850. N. bbbb edit. Harl.

ἐν τῷ περὶ παραπρεσβείας] Praepositio accessit e cod. Helmst. Is quidem habet περὶ πρεσβείας: unde lectionis diversitas facile intelligitur. Ceterum locus est c. 12. seq. unde, quae explicatione indigent, petenda.

Ἀτρόμητος φατρίας μὲν ἦν καὶ γένους τῶν Ἐτεοβουταδῶν, ὅθεν ἡ τῆς Ἀθηνᾶς τῆς Πολιάδος ἐστὶν ἱέρεια· νέος δ᾽ ὢν κάλλει καὶ χρόνῳ, ὕστερον τὴν οὐσίαν ἀπολέσας ἐν τῷ πολέμῳ, ἐξέπεσεν ὑπὸ τῶν τριάκοντα, καὶ στρατευόμενος εὐνοίας καὶ ἀριστείων ἠξιώθη, καὶ ἐν Κορίνθῳ μετὰ τὴν ἔκπτωσιν διατρίψας, συγκατήγαγε τὸν δῆμον· βιῶναι δ᾽ ἀναμαρτήτως· εἶναι δ᾽ αὐτὸν ἐτῶν ἐννενήκοντα τεσσάρων· φησὶ δὲ καὶ τοὺς πρὸς μητρὸς αὐτῷ προσήκοντας ἐλευθέρους εἶναι. τὸν δὲ ἀδελφὸν αὐτοῦ Φιλοχάρη μὲν ἐν γυμνασίοις διατρίβειν, καὶ μετ᾽ Ἰφικράτους ἐστρατεῦσθαι, καὶ συνεχῶς στρατηγεῖν. Ἀφόβητον δὲ, τὸν νεώτατον αὐτοῦ ἀδελφὸν, πεπρεσβευκέναι μὲν ὡς βασιλέα ἀξίως τῆς πόλεως, ἐπὶ δὲ τῆς διοικήσεως γενόμενον καλῶς τῶν δημοσίων προσόδων ἐπιμεληθῆναι. περὶ δὲ ἑαυτοῦ φησὶν, ὡς ἐκ παίδων ἀπαλλαγεὶς περίπολος τῆς ἀττικῆς χώρας ἐγένετο δύο ἔτη, ἔφηβος ὤν. οὗτοι γὰρ μεθ᾽ ὅπλων τὴν χώραν περιήρχοντο κατὰ προσταγὴν νόμου. ἐστρατεύσατο δὲ πρώτην στρατείαν τὴν ἐν τοῖς μέρεσι καλουμένην, καὶ συμπαραπέμπων μετ᾽ Ἀλκιβιάδου καὶ τῶν ξένων τὴν εἰς Φλιοῦντα πομπὴν, κινδύνου γενομένου περὶ τὴν καλουμένην Νεμεάδα χαράδραν, ἀξιεπαίνως ἐμαχέσατο, καὶ τὰς ἄλλας τὰς ἐκ διαδοχῆς ἐξόδους πάσας ἐξῆλθε, καὶ ἐν Μαντινείᾳ γενναίως ἐμαχέσατο, καὶ τὴν ἐν Ταμύνοις μάχην ἐν τοῖς ἐπιλέκτοις εἶτ᾽ ἐστεφανώθη μαχόμενος. ἐτελεύτησε δ᾽ Αἰσχίνης ἀναιρεθεὶς ὑπὸ Ἀντιπάτρου καταλυθείσης τῆς πολιτείας, ὅτε καὶ οἱ περὶ Δημοσθένην ἐξεδόθησαν, βεβιωκὼς ἔτη πέντε καὶ ἑβδομήκοντα. τριῶν δὲ ὄντων λόγων τῶν ὑπ᾽ αὐτοῦ γεγραμμένων, καὶ τούτων δημοσίων, ὁ γὰρ Δηλιακὸς νόθος ἐστὶ, τὸν μὲν κατὰ Κτησιφῶντος εὑρίσκομεν τελευταῖον γεγραμμένον· ἐπὶ γὰρ τῶν Ἀλεξάνδρου χρόνων γέγραπται. τῶν δὲ λοιπῶν περὶ τοὺς αὐτοὺς ὄντων

νέος δ᾽ ὢν κάλλει] H. Wolfius recte vidit ex oratione l. l. scribendum esse νέος δ᾽ ὢν ἤθλει, καὶ ὕστερον. Cod. Helmst. simpliciter habet ὕστερον δ᾽

χρόνους, πρότερός ἐστι τῇ τάξει ὁ κατὰ Τιμάρχου. ἐν γὰρ τῷ μετ' αὐτὸν, τῷ περὶ τῆς παραπρεσβείας, μέμνηται ὁ Αἰσχίνης τούτου τοῦ λόγου.

Ex Philostrato de vitis Sophistarum L. I. XVIII.

Περὶ δὲ Αἰσχίνου, τοῦ Ἀτρομήτου, ὃν φαμεν τῆς δευτέρας σοφιστικῆς ἄρξαι, τάδε χρὴ ἐπεσκέφθαι. Ἡ Ἀθήνησι δημαγωγία διειστήκει πᾶσα· καὶ οἱ μὲν βασιλεῖ ἐπιτήδειοι ἦσαν, οἱ δὲ Μακεδόσιν. ἐφέροντο δὲ ἄρα τὴν πρώτην τῶν μὲν βασιλεῖ χαριζομένων ὁ Παιανιεὺς Δημοσθένης, τῶν δὲ ἐς Φίλιππον ὁρώντων ὁ Κοθωκίδης Αἰσχίνης. Καὶ χρήματα παρὰ ἀμφοῖν ἐφοίτα σφίσι· βασιλέως μὲν ἀσχολοῦντος δι' Ἀθηναίων Φίλιππον, τὸ μὴ ἐπὶ τὴν Ἀσίαν ἐλάσαι· Φιλίππου δὲ πειρωμένου παραλύειν τὴν Ἀθηναίων ἰσχὺν, ὡς ἐμπόδισμα τῆς διαβάσεως. Διαφορᾶς δε ἦρξεν Αἰσχίνῃ καὶ Δημοσθένει οὐκ αὐτὸ μὲν τὸ ἄλλον ἄλλῳ βασιλεῖ πολιτεύειν, ὡς δ' ἐμοὶ φαίνεται, τὸ ἐναντίως ἔχειν τῶν ἠθῶν. Ἐξ ἠθῶν γὰρ ἀλλήλοις ἀντιξόων, φύεται μῖσος αἰτίαν οὐκ ἔχον· ἀντιξόω δ' ἤτην διὰ τάδε. Ὁ μὲν Αἰσχίνης φιλοπότης ἐδόκει, καὶ ἡδὺς καὶ ἀνειμένος, καὶ πᾶν τὸ ἐπίχαρι ἐκ Διονύσου ᾐρηκώς. καὶ γὰρ δὴ καὶ τοῖς βαρυστόνοις ὑποκριταῖς τὸν ἐν μειρακίῳ χρόνον ὑπετραγῴδησεν· ὁ δ' αὖ νενηφὼς ἐφαίνετο, καὶ βαρὺς τὴν ὀφρῦν, καὶ ὕδωρ πίνων, ὅθεν ἐν δυςκόλοις τε καὶ δυςτρόποις ἐγράφετο.

Τῆς δευτέρας σοφιστικῆς] Haec in prooemio ad librum Philostratus accuratius explicat. Οἱ δὲ Αἰσχίνου φασὶ τὸ σχεδιάζειν εὕρημα. τοῦτον γὰρ πλεύσαντα παρὰ Κᾶρα Μαύσωλον σχεδίῳ αὐτὸν λόγῳ ᾗσαι. Ἐμοὶ δὲ πλεῖστα μὲν ἀνθρώπων Αἰσχίνης δοκεῖ σχεδιάσαι, πρεσβεύων τε καὶ ἀποπρεσβεύων, συνηγορῶν τε καὶ δημηγορῶν, καταλιπεῖν δὲ μόνους τοὺς συγγεγραμμένους λόγους, ἵνα τῶν Δημοσθένους φροντισμάτων μὴ πολλῷ λίποιτο.

τὴν πρώτην] Cf. Schäfer ad L. Bos. Ellipses in ind. s. v.

Καὶ πολλῷ πλέον, ἐπειδὴ, πρεσβεύοντε ξὺν ἑτέροις παρὰ τὸν Φίλιππον καὶ ὁμοδιαίτω ὄντε, ὁ μὲν διακεχυμένος τε καὶ ἡδὺς ἐφαίνετο τοῖς συμπρεσβεύουσιν, ὁ δὲ κατεσκληκώς τε καὶ ἀεὶ σπουδάζων. Ἐπέτεινε δ' αὐτοῖς τὴν διαφορὰν ὁ ὑπὲρ Ἀμφιπόλεως ἐπὶ τοῦ Φιλίππου λόγος, ὅτε δὴ ἐξέπεσε μὲν τοῦ λόγου ὁ Δημοσθένης. Ὁ δ' Αἰσχίνης οὐδὲ τῶν ἀποβεβληκότων ποτὲ ἀσπίδα, ἀλλ' ἐνθυμούμενος τὸ ἐν Ταμύναις ἔργον, ἐν ᾧ Βοιωτοὺς ἐνίκων Ἀθηναῖοι, ἀριστεῖα τούτου δημοσίᾳ ἐστεφανοῦτο, τά τε ἄλλα, καὶ χρησάμενος ἀμηχάνῳ τάχει περὶ τὰ εὐαγγέλια τῆς νίκης.

Διαβάλλοντος δὲ αὐτὸν Δημοσθένους ὡς αἴτιον τοῦ Φωκικοῦ πάθους, ἀπέγνωσαν Ἀθηναῖοι τὴν αἰτίαν· ἐπὶ δὲ τῷ καταψηφισθέντι Ἀντιφῶντι ἥλω κριθεὶς, καὶ ἀφείλοντο αὐτὸν οἱ ἐξ Ἀρείου πάγου, τὸ μὴ συνειπεῖν σφίσιν ὑπὲρ τοῦ ἱεροῦ τοῦ ἐν Δήλῳ. Καὶ μὴν καὶ Πυλαγόρας ἀνακριθεὶς, οὔπω παρὰ τοῖς πολλοῖς διαπέφευγε, τὸ μὴ αὐτὸς Ἐλατείᾳ ἐπιστῆσαι τὸν Φίλιππον, τὴν Πυλαίαν συνταράξας εὐπροσώποις λόγοις καὶ μύθοις. Ἀθηνῶν δ' ὑπεξῆλθεν, οὐχὶ φεύγειν προσταχθεὶς, ἀλλ' ἀτιμίᾳ ἐξιστάμενος, ᾗ ὑπήγετο ὑπὸ Δημοσθένει καὶ Κτησιφῶντι, ἐκπεσὼν τῶν ψήφων. Ἡ μὲν δὴ ὁρμὴ τῆς ἀποδημίας αὐτῷ παρὰ τὸν Ἀλέξανδρον ἦν, ὡς αὐτίκα ἥξοντα ἐς Βαβυλῶνά

ὅτε δὴ ἐξέπεσε cet] Rem omnem prolixe exponit Aeschines περὶ παραπρ. §. 10.

οὐδὲ τῶν ἀποβεβληκότων] Dispares in eo fuerunt Demosthenes et Aeschines, quod hic intrepido animo fuerit, ille contra complura timiditatis argumenta ediderit, cujus rei Plutarchus auctor est in vita. Olear.

ὡς αἴτιον τοῦ φωκικοῦ πάθους] Quod argumentum est Orat. Demosth. περὶ παραπρεσβείας, qua Aeschinem convincere conatur male obita legatione in culpa esse acceptae Phocaeensibus a Philippo cladis. Olear.

Πυλαγόρας] Πυλαγόραι erant, qui ab urbibus in Pylaeam ad sacrum Amphictyonem consessum, quorum erat sacra et consilia communia pro Graeciae obire salute, mittebantur. v. Suidam. Olear. Habemus nunc peculiarem de Amphictyonibus Tittmanni librum.

τι καὶ Σοῦσα. Καθορμισθεὶς δ' ἐς τὴν Ἔφεσον καὶ τὸν μὲν τεθνάναι ἀκούων, τὰ δὲ τῆς Ἀσίας αὐτῷ ξυγκεκλυσμένα πράγματα Ῥόδου εἴχετο· ἡ δὲ νῆσος ἀγαθὴ ἐνσπουδάσαι. Καὶ σοφιστῶν φροντιστήριον ἀποφήνας τὴν Ῥόδον αὐτοῦ διῃτᾶτο, θύων ἡσυχίᾳ καὶ Μούσαις καὶ Δωρίοις ἤθεσιν ἐγκαταμιγνὺς Ἀττικά.

Τὸν δὲ αὐτοσχέδιον λόγον ξὺν εὐροίᾳ καὶ θείως διατιθέμενος, τὸν ἔπαινον τοῦτον πρῶτος ἠνέγκατο. τὸ γὰρ θείως λέγειν οὔπω μὲν ἐπεχωρίασε σοφιστῶν σπουδαῖς, ἀπ' Αἰσχίνου δ' ἤρξατο, θεοφορήτῳ ὁρμῇ αὐτοσχεδιάζοντος, ὥσπερ οἱ τοὺς χρησμοὺς ἀναπνέοντες. Ἀκροατὴς δὲ Πλάτωνός τε καὶ Ἰσοκράτους γενόμενος, πολλὰ καὶ παρὰ τῆς ἑαυτοῦ φύσεως ἠγάγετο. Σαφηνείας τε γὰρ φῶς ἐν τῷ λόγῳ ἔπαινος Αἰσχίνου, καὶ ἁβρὰ σεμνολογία, καὶ τὸ ἐπίχαρι σὺν δεινότητι καὶ καθάπαξ, ἡ ἰδέα τοῦ λόγου κρείττων ἢ μιμήσει ὑπαχθῆναι.

Λόγοι δ' Αἰσχίνου, κατ' ἐνίους μὲν καὶ τέταρτός τις Δηλιακὸς, καταψευδόμενος τῆς ἐκείνου γλώττης. Οὐ γὰρ ἄν ποτε τοὺς μὲν περὶ τὴν Ἀμφίσσαν λόγους, ὑφ' ὧν ἡ Κιῤῥαία χώρα καθιερώθη, εὐπροςώπως τε καὶ ξὺν ὥρᾳ διέθετο, κακὰ βουλεύων Ἀθηναίοις, ὥς φησι Δημοσθένης,

---

σοφιστῶν φροντιστήριον ἀποφήνας] Sensus est, scholam eum ibi aperuisse. Olear.

θεοφορήτῳ ὁρμῇ αὐτοσχεδιάζοντος] Haec virtus est, quam Plato in Menone in virorum πολιτικῶν inprimis oratione refulgere cupiat: quos vult θείους τε εἶναι καὶ κατεχομένους ἐκ θεοῦ, ὅταν κατορθῶσι λέγοντες πολλὰ καὶ μεγάλα πράγματα. Cf. Longinus περὶ ὕψους c. 16. Olear.

Σαφηνείας τε γαρ φῶς] Σαφήνεια secundum rhetores prima est virtus orationis, claritas, quae continetur puritate et perspicuitate. Pura oratio est, quae rem nudam breviter notat, nihil extrinsecus admiscens, quod non ad rem praesentem pertineat. Perspicuitas maxime seruitur in dispositione et ordine orationis, singularumque partium.

ἁβρὰ σεμνολογία] Gravitas sermonis cum suavitate mixta: Oratio, quae medium tenet inter austeritatem et dulcedinem. Ejusdem generis est τὸ ἐπίχαρι σὺν δεινότητι jucunditas cum severitate.

ἐπὶ δὲ τοὺς Δηλιακούς, ἐν οἷς θεολογία τε καὶ θεογονία καὶ ἀρχαιολογία, φαύλως οὕτως ἥρμοσε καὶ ταῦτα προαγωνιζόμενος Ἀθηναίων, οὐ μικρὸν ἡγουμένων τὸ μὴ ἐκπεσεῖν τοῦ ἐν Δήλῳ ἱεροῦ. τρισὶ δὲ λόγοις περιορίσθω ἡ Αἰσχίνου γλῶττα, τῷ τε κατὰ Τιμάρχου καὶ τῇ ἀπολογίᾳ τῆς πρεσβείας, καὶ τῇ τοῦ Κτησιφῶντος κατηγορίᾳ. ἔστι δὲ καὶ τέταρτον αὐτοῦ φρόντισμα ἐπιστολαί, οὐ πολλαὶ μέν, εὐπαιδευσίας δὲ μεσταὶ καὶ ἤθους.

Τοῦ δὲ ἠθικοῦ καὶ Ῥοδίοις καλλίστην ἐπίδειξιν ἐποιήσατο. Ἀναγνοὺς γάρ ποτε δημοσίᾳ τὸν κατὰ Κτησιφῶντος, οἱ μὲν ἐθαύμαζον, ὅπως ἐπὶ τοιούτῳ λόγῳ ἡττήθη, καὶ καθήπτοντο τῶν Ἀθηναίων ὡς παρανομούντων. Ὁ δέ, οὐκ ἄν, ἔφη, ἐθαυμάζετε, εἰ Δημοσθένους λέγοντος πρὸς ταῦτα ἠκούσατε· οὐ μόνον ἐς ἔπαινον ἐχθροῦ καθιστάμενος, ἀλλὰ καὶ τοὺς δικαστὰς ἀφιεὶς αἰτίας.

Ex Libro, qui sub Plutarchi nomine fertur, Oratorum.

ΑΙΣΧΙΝΗΣ.

Αἰσχίνης, Ἀτρομήτου φυγόντος μὲν ἐπὶ τῶν τριάκοντα, συγκαταγαγόντος δὲ τὸν δῆμον, καὶ Γλαυκοθέας, τὸν δὲ δῆμον Κοθωκίδης, οὔτε κατὰ γένος τῶν ἐπιφανῶν οὔτε κατὰ περιουσίαν χρημάτων. Νέος δὲ ὢν καὶ ἐῤῥωμένος τῷ σώματι, περὶ τὰ γυμνάσια ἐπόνει· λαμπρόφωνος δὲ
... ταῦτα τραγῳδίαν ἤσκησεν, ὥςτε Δημοσθένης
...πογραμματεύων καὶ τριταγωνιστῶν Ἀριστοδήμῳ
...ιονυσίοις διετέλει, ἀναλαμβάνων ἐπὶ σχολῆς
...τὰς τραγῳδίας. Καὶ ἔτι παῖς ὢν ἐδίδασκε γράμ-
... τῷ πατρί, καὶ μειράκιον ὢν ἐστρατεύετο ἐν τοῖς
... Ἀκροατὴς δὲ γενόμενος, ὡς μέν τινες λέγουσιν,
...ς καὶ Πλάτωνος, ὡς δὲ Καικίλιος, Λεωδάμαντος,

...νος] „Si vulgata exemplaria Pseudo-Plutarchi et Photii
...chinis sequamur, sicut illa secuti sunt Victorius ad Aristotel.

καὶ πολιτευόμενος οὐκ ἀφανῶς ἐκ τῆς ἐναντίας μερίδος τοῖς περὶ Δημοσθένη ἐπρέσβευσεν ἄλλας τε πρεσβείας πολλὰς καὶ πρὸς Φίλιππον ὑπὲρ τῆς εἰρήνης. ἐφ' οἷς κατηγορηθεὶς ὑπὸ Δημοσθένους, ἀνῃρημένου τοῦ Φωκέων ἔθνους· ἔτι δὲ ὡς πόλεμον ἐξάψας, ἡνίκα Πυλαγόρας ᾑρέθη, Ἀμφικτύοσι πρὸς Ἀμφισσεῖς καὶ τὸν Λιμένα ἐργαζομένοις. Ἐξ οὗ συνέβη τοὺς Ἀμφικτύονας Φιλίππῳ προςφυγεῖν, τὸν δὲ ὑπὸ τοῦ Αἰσχίνου συνεργούμενον ἐπιθέσθαι τοῖς πράγμασι, καὶ τὴν Φωκίδα λαβεῖν. Ἀλλὰ συνειπόντος αὐτῷ Εὐβούλου, τοῦ Σπινθάρου, Προβαλλουσίου δημαγωγοῦντος τριάκοντα ψήφοις ἀπέφυγεν. Εἰσὶ δὲ οἵ φασι συγγράψαι μὲν τοὺς ῥήτορας τοὺς λόγους, ἐμποδὼν δὲ γενομένων τῶν περὶ Χαιρώνειαν μηκέτι τὴν δίκην εἰςελθεῖν. Χρόνῳ δὲ ὕστερον, Φιλίππου μὲν τετελευτηκότος, Ἀλεξάνδρου δὲ διαβαίνοντος εἰς τὴν Ἀσίαν, ἐγράψατο Κτησιφῶντα παρανόμων ἐπὶ ταῖς Δημοσθένους τιμαῖς· οὐ μεταλαβὼν δὲ τὸ πέμπτον μέρος τῶν ψήφων, ἔφυγεν εἰς τὴν Ῥόδον, χιλίας δραχμὰς ὑπὲρ τῆς ἥττης οὐ βουληθεὶς καταθέσθαι. Οἱ δὲ ἀτιμίας αὐτῷ προςτιμηθῆναι λέγουσιν οὐ θέλοντι ἐξελθεῖν τῆς πόλεως, καὶ ἐλθεῖν εἰς Ἔφεσον ὡς Ἀλέξανδρον· τοῦ δὲ τελευτήσαντος, ταραχῆς οὔσης, ἀπάρας εἰς τὴν Ῥόδον, ἐνταῦθα σχολὴν καταστησάμενος ἐδίδασκεν· ἀνέγνω δὲ τοῖς Ῥοδίοις τὸν κατὰ Κτησιφῶντος λόγον. ἐπι-

---

Rhetor. p. 126. et Olearius ad Philostratum p. 539, Leodamas Aeschini viam ad eloquentiam praeivit. Quanquam apud Photium alio loco, Cod. LXI. p. 61. Aeschines Antalcidae discipulus dicitur. Verum pro Λεωδάμαντος et Ἀνταλκίδα legendum est Ἀλκιδάμαντος. Nam Suidas v. Αἰσχίνης diserte tradit, eum Alcidamantis Eleatae discipulum fuisse. Et sic Xylandro ad Plutarchi l. c. et Jonsio de Scriptor. H. Ph. III. 1. p. 126. placet. Jo. Faber ad Fulv. Ursini Imag. Illust. p. 51. in gemma, cui Leodamantis praeter Leodamantis, Aeschinis discipuli nomen insculptum erat, caput sibi videre visus est. Quod quam vanum et ridiculum sit, ex modo dictis intelligitur. Ruhnkenius Historia Crit. Oratt. Gr. p. LXIII.

ἐπὶ δὲ τοὺς Δηλιακοὺς, ἐν οἷς θεολογία τε καὶ θεογονία καὶ ἀρχαιολογία, φαύλως οὕτως ὥρμησε· καὶ ταῦτα προαγωνιζόμενος Ἀθηναίων, οὐ μικρὸν ἡγουμένων τὸ μὴ ἐκπεσεῖν τοῦ ἐν Δήλῳ ἱεροῦ. τρισὶ δὲ λόγοις περιορίσθω ἡ Αἰσχίνου γλῶττα, τῷ τε κατὰ Τιμάρχου καὶ τῇ ἀπολογίᾳ τῆς πρεσβείας, καὶ τῇ τοῦ Κτησιφῶντος κατηγορίᾳ. ἔστι δὲ καὶ τέταρτον αὐτοῦ φρόντισμα ἐπιστολαὶ, οὐ πολλαὶ μὲν, εὐπαιδευσίας δὲ μεσταὶ καὶ ἤθους.

Τοῦ δὲ ἠθικοῦ καὶ Ῥοδίοις καλλίστην ἐπίδειξιν ἐποιήσατο. Ἀναγνοὺς γάρ ποτε δημοσίᾳ τὸν κατὰ Κτησιφῶντος, οἱ μὲν ἐθαύμαζον, ὅπως ἐπὶ τοιούτῳ λόγῳ ἡττήθη, καὶ καθήπτοντο τῶν Ἀθηναίων ὡς παρανομούντων. Ὁ δὲ, οὐκ ἂν, ἔφη, ἐθαυμάζετε, εἰ Δημοσθένους λέγοντος πρὸς ταῦτα ἠκούσατε· οὐ μόνον ἐς ἔπαινον ἐχθροῦ καθιστάμενος, ἀλλὰ καὶ τοὺς δικαστὰς ἀφιεὶς αἰτίας.

Ex Libro, qui sub Plutarchi nomine fertur, Oratorum.

ΑΙΣΧΙΝΗΣ.

Αἰσχίνης, Ἀτρομήτου φυγόντος μὲν ἐπὶ τῶν τριάκοντα, συγκαταγαγόντος δὲ τὸν δῆμον, καὶ Γλαυκοθέας, τὸν δὲ δῆμον Κοθωκίδης, οὔτε κατὰ γένος τῶν ἐπιφανῶν οὔτε κατὰ περιουσίαν χρημάτων. Νέος δὲ ὢν καὶ ἐῤῥωμένος τῷ σώματι, περὶ τὰ γυμνάσια ἐπόνει· λαμπρόφωνος δὲ ὢν μετὰ ταῦτα τραγῳδίαν ἤσκησεν, ὥςτε Δημοσθένης φησὶν, ὑπογραμματεύων καὶ τριταγωνιστῶν Ἀριστοδήμῳ ἐν τοῖς Διονυσίοις διετέλει, ἀναλαμβάνων ἐπὶ σχολῆς τὰς παλαιὰς τραγῳδίας. Καὶ ἔτι παῖς ὢν ἐδίδασκε γράμματα σὺν τῷ πατρί, καὶ μειράκιον ὢν ἐστρατεύετο ἐν τοῖς πολλοῖς. Ἀκροατὴς δὲ γενόμενος, ὡς μέν τινες λέγουσιν, Ἰσοκράτους καὶ Πλάτωνος, ὡς δὲ Καικίλιος, Λεωδάμαντος,

---

Λεωδάμαντος] „ Si vulgata exemplaria Pseudo-Plutarchi et Photii in vita Aeschinis sequamur, sicut illa secuti sunt Victorius ad Aristotel.

καὶ πολιτευόμενος οὐκ ἀφανῶς ἐκ τῆς ἐναντίας μερίδος τοῖς περὶ Δημοσθένη· ἐπρέσβευσεν ἄλλας τε πρεσβείας πολλὰς καὶ πρὸς Φίλιππον ὑπὲρ τῆς εἰρήνης. ἐφ᾽ οἷς κατηγορηθεὶς ὑπὸ Δημοσθένους, ἀνῃρημένου τοῦ Φωκέων ἔθνους· ἔτι δὲ ὡς πόλεμον ἐξάψας, ἡνίκα Πυλαγόρας ᾑρέθη, Ἀμφικτύοσι πρὸς Ἀμφισσεῖς καὶ τὸν Λιμένα ἐργαζομένοις. Ἐξ οὗ συνέβη τοὺς Ἀμφικτύονας Φιλίππῳ προσφυγεῖν, τὸν δὲ ὑπὸ τοῦ Αἰσχίνου συνεργούμενον ἐπιθέσθαι τοῖς πράγμασι, καὶ τὴν Φωκίδα λαβεῖν. Ἀλλὰ συνειπόντος αὐτῷ Εὐβούλου, τοῦ Σπινθάρου, Προβαλλουσίου δημαγωγοῦντος τριάκοντα ψήφοις ἀπέφυγεν. Εἰσὶ δὲ οἵ φασι συγγράψαι μὲν τοὺς ῥήτορας τοὺς λόγους, ἐμποδὼν δὲ γενομένων τῶν περὶ Χαιρώνειαν μηκέτι τὴν δίκην εἰςελθεῖν. Χρόνῳ δὲ ὕστερον, Φιλίππου μὲν τετελευτηκότος, Ἀλεξάνδρου δὲ διαβαίνοντος εἰς τὴν Ἀσίαν, ἐγράψατο Κτησιφῶντα παρανόμων ἐπὶ ταῖς Δημοσθένους τιμαῖς· οὐ μεταλαβὼν δὲ τὸ πέμπτον μέρος τῶν ψήφων, ἔφυγεν εἰς τὴν Ῥόδον, χιλίας δραχμὰς ὑπὲρ τῆς ἥττης οὐ βουληθεὶς καταθέσθαι. Οἱ δὲ ἀτιμίας αὐτῷ προςτιμηθῆναι λέγουσιν οὐ θέλοντι ἐξελθεῖν τῆς πόλεως, καὶ ἐλθεῖν εἰς Ἔφεσον ὡς Ἀλέξανδρον· τοῦ δὲ τελευτήσαντος, ταραχῆς οὔσης, ἀπάρας εἰς τὴν Ῥόδον, ἐνταῦθα σχολὴν καταστησάμενος ἐδίδασκεν· ἀνέγνω δὲ τοῖς Ῥοδίοις τὸν κατὰ Κτησιφῶντος λόγον. ἐπι-

---

Rhetor. p. 126. et Olearius ad Philostratum p. 539, Leodamas Aeschini viam ad eloquentiam praeivit. Quanquam apud Photium alio loco, Cod. LXI. p. 61. Aeschines Antalcidae discipulus dicitur. Verum pro Λεωδάμαντος et Ἀνταλκίδα legendum est Ἀλκιδάμαντος. Nam Suidas v. Αἰσχίνης diserte tradit, eum Alcidamantis Eleatae discipulum fuisse. Et sic Xylandro ad Plutarchi l. c. et Jonsio de Scriptor. H. Ph. III. 1. p. 126. placet. Jo. Faber ad Fulv. Ursini Imag. Illust. p. 51. in gemma, cui Leodamantis nomen insculptum erat, praeter Leodamantis, Aeschinis discipuli caput sibi videre visus est. Quod quam vanum et ridiculum sit, ex modo dictis intelligitur. Ruhnkenius Historia Crit. Oratt. Gr. p. LXIII.

δεικνύμενος. Θαυμαζόντων δὲ πάντων, εἰ ταῦτα εἰπὼν ἡττήθη, οὐκ ἂν, ἔφη, ἐθαυμάζετε, Ῥόδιοι, εἰ πρὸς ταῦτα Δημοσθένους λέγοντος ἠκούσατε. Σχολήν τε ἐκεῖ προςκατέλιπε, τὸ Ῥοδιακὸν διδασκαλεῖον κληθέν· ἔπειτα πλεύσας εἰς Σάμον καὶ διατρίβων ἐπὶ τῆς νήσοι, ὀλίγον ὕστερον ἐτελεύτησεν. Ἐγένετο δὲ εὔφωνος, ὡς δῆλον ἔκ τε, ὧν φησὶ Δημοσθένης, καὶ ἐκ τοῦ Δημοχάρους λόγου. Φέρονται δὲ αὐτοῦ λόγοι τέσσαρες, ὅ τε κατὰ Τιμάρχου, καὶ ὁ τῆς παραπρεσβείας, καὶ ὁ κατὰ Κτησιφῶντος, οἳ καὶ μόνοι εἰσὶ γνήσιοι. Ὁ γὰρ ἐπιγραφόμενος Δηλιακὸς οὐκ ἔστιν Αἰσχίνου. Ἀπεδείχθη μὲν γὰρ ἐπὶ τὴν κρίσιν τοῦ περὶ τοῦ ἱεροῦ τοῦ ἐν Δήλῳ συσταθεὶς συνήγορος· οὐ μὴν εἶπε τὸν λόγον· ἐχειροτονήθη γὰρ Ὑπερείδης ἀντ᾽ αὐτοῦ, ὥς φησι Δημοσθένης. Ἔσχε δὲ καὶ ἀδελφοὺς, ὥς φησιν αὐτὸς, Ἄφοβον καὶ Δημοχάρη. Ἀντήγγειλε δὲ καὶ τὴν ἐν Ταμύναις νίκην πρῶτος Ἀθηναίοις τὸ δεύτερον, ἐφ᾽ ᾧ καὶ ἐστεφανώθη. Οἱ δὲ εἶπον μηδὲ μαθητεῦσαί τισι τὸν Αἰσχίνην, ἀλλ᾽ ἐκ τῆς ὑπογραμματείας ἀρθῆναι, ἐν τοῖς δικαστηρίοις τότε διάγοντα. Πρῶτον δὲ εἰπεῖν ἐν τῷ δήμῳ κατὰ Φιλίππου, εὐδοκιμήσαντά τε πρεσβευτὴν χειροτονηθῆναι πρὸς Ἀρκάδας· πρὸς οὓς ἀφικόμενον συστῆσαι τοὺς μυρίους ἐπὶ Φίλιππον. Ἐγράψατο δὲ καὶ Τίμαρχον ἑταιρήσεως. Ὁ δὲ ἐκλιπὼν τὸν ἀγῶνα αὑτὸν ἀνήρτησεν, ὥς πού φησι Δημοσθένης. Ἐχειροτονήθη πρεσβευτὴς ὡς Φίλιππον κατὰ Κτησιφῶντος καὶ Δημοσθένους περὶ τῆς εἰρήνης, ἐν ᾗ ἄμεινον τοῦ Δημοσθένους ἠνέχθη. τὸ δεύτερον δέκατος ὢν κυρώσας ὅρκοις τὴν εἰρήνην, κριθεὶς ἀπέφυγεν, ὡς προείρηται.

Ἐξ Ἑρμογένους περὶ ἰδεῶν βίβλου δευτέρου.

Ὁ δὲ Αἰσχίνης πολιτικὸς μέν ἐστιν, εἴπερ ἕτερός τις, σοφιστικὸς δὲ καὶ γαῦρος, καὶ τῷ μεγέθει μετὰ τοῦ κατὰ

σοφιστικὸς δὲ καὶ γαῦρος] Σοφιστικὸς nimiam artis affectationem significat. Γαῦρος ex ista artis affectatione nascitur, exultans et veluti petulans.

σχῆμα κάλλους πλεονάζων, οὐ γὰρ δὴ τοῦ μετὰ παντὸς ἐπιμελοῦς. ἐπεὶ τούτου γε αὐτῷ τοῦ κόσμου βραχύ τι μέτεστι. καὶ δι' ὀλίγου μέν ἐστιν ἐπιμελής, ἀμελέστερος δὲ καὶ ἀπονώτερός πως. τῷ δὲ ἠθικῷ τῷ κατ' ἐπιείκειαν χρώμενος οὐκ ὀλίγῳ, τοῦ τύπου τοῦ ἀληθοῦς ἧττον μετέχει. Διὸ καὶ τοι πολλῇ τῇ σφοδρότητί τε καὶ τραχύτητι χρώμενος, ἔστιν οὗ τόνον οὐδένα ἔχει, διὰ τὸ μὴ πεπονθότως μηδὲ ἀληθινῶς προφέρεσθαι τὸν λόγον. ταυτὸ δὲ αἴτιον καὶ τοῦ μὴ πάνυ γοργὸν μηδὲ εὐκίνητον εἶναι. Δεινότης δὲ ἡ κατὰ μέθοδον μέν ἐστιν οὐκ ὀλίγη παρ' αὐτῷ· ἡ δὲ φαινομένη τε ὁμοῦ καὶ οὖσα, ἀναγκαίως ἐκ τῶν προειρημένων.

κατὰ σχῆμα] Quintilian. Institt. IX, 13, init. „Σχήματα λέξεως duorum sunt generum: alterum loquendi rationem vocant, alterum quod ad collocationem maxime exquisitum est. Quorum tametsi utrumque convenit oratori, tamen possis illud grammaticum, hoc rhetoricum magis dicere."

τούτου - τοῦ κόσμου] Sc. τῆς ἐπιμελείας, quae opponitur τῷ ἐκ φύσεως κάλλει, eique tribuitur, qui sententias suas commode jungit, et facta cum notatione caussarum, loci, temporum distinguit et partitur.

τῷ ἠθικῷ] Morum et characterum notatione.

σφοδρότητί τε καὶ τραχύτητι] Vehementia et asperitate. Illa, auctore ipso Hermogene L. I. c. 8, fertur tantum adversus inferiores, ut sunt adversarii, aut adversus quos libenter excipiunt auditores reprehensionem; haec dirigitur in personas superiores et in ipsos judices aut adversus eos, qui in conventibus sunt congregati.

τόνον] Robur, nervos orationis: inprimis ratione τοῦ πάθους.

μὴ γοργὸν μηδὲ εὐκίνητον] Hermogenes περὶ ἰδ. L. II. c. 1. γοργότητα explicat. Est Latinis celeritas, quae in dicacitate et acutis jocis adhiberi solet, quoniam tales joci brevitate sua pungunt. Vocabulum technicum explicatur per vulgare εὐκίνητον.

Δεινότης δὲ ἡ κατὰ μέθοδον] Δεινότης hic est dicendi virtus in universum. Μέθοδος omnem tractandae orationis rationem significat et ad sententias et ad verba.

ΥΠΟΘΕΣΙΣ ΕΙΣ ΤΟΝ ΚΑΤΑ ΤΙΜΑΡΧΟΥ ΛΟΓΟΝ.

Ἀθηναῖοι πολεμήσαντες πρὸς Φίλιππον τὸν Ὀλυνθιακὸν πόλεμον, ὕστερον δόξαν αὐτοῖς εἰρήνην ἐποιήσαντο πρὸς Φίλιππον· καὶ συμμαχίαν αὐτῷ καὶ τοῖς ἐγγόνοις ψηφισάμενοι, ἔπεμψαν πρὸς αὐτὸν δέκα πρέσβεις, τοὺς ἀποληψομένους παρ᾽ αὐτοῦ τοὺς ὅρκους, ἐν οἷς ἦσαν Δημοσθένης τε καὶ Αἰσχίνης. ἐπανηκούσης δὲ τῆς πρεσβείας, γράφουσι παραπρεσβείας Αἰσχίνην Δημοσθένης τε ὁ ῥήτωρ, καὶ Τίμαρχος Ἀριζήλου Σφήττιος, διάσημος ὢν ἐν τῇ πολιτείᾳ, καὶ δημηγορῶν, καὶ πλεὸν ἢ ἑκατὸν ψηφίσματα γεγραφώς. ἐτύγχανε δὲ νεωστὶ γεγραφὼς ψήφισμα βουλεύων, τὸν ἐκφέροντα ὅπλα πρὸς Φίλιππον θανάτῳ ζημιοῦσθαι. προτεθείσης οὖν τῆς γραφῆς, πρὶν τὸν ἀγῶνα εἰσελθεῖν, ἐγράψατο Αἰσχίνης τὸν Τίμαρχον ὡς δημηγοροῦντα παρὰ τοὺς νόμους· οὐκ ἐξεῖναι γὰρ αὐτῷ δημηγορεῖν ἡταιρηκότι. ἔνιοι μὲν οὖν φασὶν, ὡς ἀπήγξατο ὁ Τίμαρχος, τὴν κρίσιν οὐχ ὑπομείνας· οἱ δὲ, ὅτι ἁλοὺς ἠτιμώθη, ὡς Δημοσθένης ἐν τῷ περὶ τῆς παραπρεσβείας. οὕτω δὲ περιβόητον τὸ πρᾶγμα ἐγένετο, ὥστε ἀπὸ τῆς κρίσεως ταύτης τοὺς πόρνους τὸ λοιπὸν ἐκάλουν Τιμάρχους. τὸ δὲ προοίμιόν ἐστι τραγικώτερον· ἐν αὐτῷ δὲ διασυστήσας ἑαυτὸν μέτριον, ἵνα εὔνοιαν ἐπισπάσηται, καὶ τὸν Τίμαρχον διαβαλὼν, καὶ περὶ τῆς πολιτείας εἰπὼν, μεταβαίνει ἐπὶ κεφάλαια, οὐ τῆς ὑποθέσεως ἴδια, ἀλλὰ κοινὰ κατὰ πάντων τῶν ἑταιρήσεως κρινομένων. ἔστι δὲ τάδε· εἰ καλῶς καὶ ἀκριβῶς τοὺς νόμους ἔθεντο οἱ παλαιοὶ τοὺς περὶ τῆς τῶν παίδων εὐκοσμίας, καὶ μειρακίων, καὶ τῶν ἄλλων ἡλικιῶν· εἰ ὀρθῶς ἀπεῖπον τοῖς ἡταιρηκόσι μὴ δημηγορεῖν· καὶ ἑξῆς, εἰ παρὰ τοὺς νόμους δημηγορεῖ Τίμαρχος ἡταιρηκώς· ἐν ᾧ, εἰ ἔνοχος Τίμαρχος τῇ γραφῇ ἑταιρήσας· εἰ παρὰ Μισγόλᾳ ἡταίρησε, μισθοῦ περὶ τὰ τοιαῦτα ὄντι δεινῷ. εἰ παρὰ Ἀντικλεῖ ἐν τῷ κυβευτηρίῳ διατρίβων, καὶ κυβεύων ἀνελήφθη ὑπὸ

Πιτταλάκου, δημοσίου δούλου τῆς πόλεως, καὶ παρ᾽ αὐτῷ διέτριψεν ἑταιρῶν· εἰ παρὰ Ἡγησάνδρῳ τῷ Τιμομάχου ταμίᾳ διέτριψε χρόνον ἑταιρῶν.

Ἄ Λ Λ Ω Σ.

Τοῦτον τὸν λόγον ὁ Αἰσχίνης γέγραφε δοκιμασίαν κατὰ Τιμάρχου. ἦν δὲ ὁ Τίμαρχος τῶν ἐπὶ τὸ βῆμα προσιόντων, καὶ αὐτὸν τὸν Αἰσχίνην σεσυκοφαντηκώς. νόμοι δὲ εἰσι περὶ τῶν ῥητόρων κείμενοι, οὕστινας χρὴ εἴργεσθαι τοῦ λέγειν, οἷον τοὺς τὰ πατρῷα κατεδηδοκότας, τοὺς ἡταιρηκότας, εἰ δὲ μὴ πείθοιντο, ἐξεῖναι τὸν βουλόμενον αὐτοῖς δοκιμασίαν ἐπαγγεῖλαι, ὥστε δοκιμάζεσθαι, εἰ ἐπιτήδειοί εἰσι λέγειν. δύο δὲ ἐγκαλῶν Τιμάρχῳ Αἰσχίνης, καὶ ὅτι ἡταίρηκε, καὶ ὅτι τὰ πατρῷα κατεδήδοκε, περὶ ἑταιρήσεως ἐπιγράφεται ὁ λόγος, ὅτι τὸ πλέον τῆς κατηγορίας διὰ ταύτην ἐστί. φαίνεται δὲ νενικηκὼς τὸν ἀγῶνα, ὥς φασιν οἱ παλαιοί. δοκοῦσι δέ μοι οἱ λόγοι μετὰ τὰς δίκας γράφεσθαι.

περὶ ἑταιρήσεως ἐπιγράφεται ὁ λόγος] Hoc scilicet addiderunt Grammatici simplici titulo *κατὰ Τιμάρχου.*

ΑΙΣΧΙΝΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ

ΚΑΤΑ

ΤΙΜΑΡΧΟΥ

ΛΟΓΟΣ.

1. Οὐδένα πώποτε τῶν πολιτῶν, ὦ ἄνδρες Ἀθηναῖοι, οὔτε γραφὴν γραψάμενος οὔτ' ἐν εὐθύναις λυπήσας, ἀλλ' ὡς ἔγωγε νομίζω, μέτριον ἐμαυτὸν πρὸς ἕκαστα τούτων παρεσχηκώς· ὁρῶν δὲ τήν τε πόλιν μεγάλα βλαπτομένην ὑπὸ Τιμάρχου τουτουῒ δημηγοροῦντος παρὰ τοὺς νόμους, καὶ αὐτὸς ἰδίᾳ συκοφαντούμενος· ὃν δὲ τρόπον, προϊόντος ἐπιδείξω τοῦ λόγου· ἕν τι τῶν αἰσχίστων ἡγησάμην εἶναι,

---

ὦ ἄνδρες Ἀθηναῖοι] Coisl. et Helmst. omittunt ἄνδρες. Helmst. id saepe facit, et in omnibus codd. magna est in allocutione judicum variefas. In Aeschinis orationibus frequentissima est ὦ Ἀθηναῖοι, quae amplius sexagies sine ulla varietate legitur. In sex locis levis est variatio. ὦ ἄνδρες Ἀθηναῖοι nonnisi semel sine varietate legitur Tim. §. 11. Novem locis variatio invenitur magis minusve gravis. ἄνδρες Ἀθηναῖοι ter legitur Cte. 57. 70. 71. ὦ ἄνδρες ter sine varietate, semel cum gravi variatione.

εὐθύναις] Ratio, quae reddenda erat magistratibus munere quodam defunctis. Cf. Fr. W. Tittmann Darstellung der Griechischen Staatsverfassungen p. 323. sqq.

τήν τε πόλιν] Abest τε ab Helmst. Recte. Nam quod sequitur καὶ αὐτὸς ἰδίᾳ συκοφαντούμενος junctum est cum participio ὁρῶν, vero non ex eo pendet, quemadmodum τὴν πόλιν-βλαπτομένην. ἕν τι τῶν αἰσχίστων) Constructionem illustrat. F. A. Wolfius ad Leptin. p. 217.

μὴ βοηθῆσαι τῇ τε πόλει πάσῃ, καὶ τοῖς νόμοις, καὶ ὑμῖν, καὶ ἐμαυτῷ. εἰδὼς δὲ αὐτὸν ἔνοχον ὄντα οἷς ὀλίγῳ πρότερον ἠκούσατε ἀναγινώσκοντος τοῦ γραμματέως, ἐπήγγειλα αὐτῷ τὴν δοκιμασίαν ταυτηνί. καί, ὡς ἔοικεν, ὦ ἄνδρες Ἀθηναῖοι, οἱ εἰωθότες λόγοι λέγεσθαι ἐν τοῖς δημοσίοις ἀγῶσιν οὐκ εἰσὶ ψευδεῖς. αἱ γὰρ ἴδιαι ἔχθραι πολλὰ πάνυ τῶν κοινῶν ἐπανορθοῦνται. τοῦ μὲν οὖν ὅλου ἀγῶνος φανήσεται οὔθ' ἡ πόλις αἰτία οὖσα Τιμάρχῳ, οὔθ' οἱ νόμοι, οὔθ' ὑμεῖς, οὔτ' ἐγώ· ἀλλ' αὐτὸς οὗτος ἑαυτῷ. οἱ μὲν γὰρ νόμοι προεῖπον αὐτῷ αἰσχρῶς βεβιωκότι μὴ δημηγορεῖν· ἐπίταγμα, ὥς γε δὴ ἐγὼ κρίνω, οὐ χαλεπὸν ἐπιτάξαντες, ἀλλὰ καὶ πάνυ ῥᾴδιον· ἐμὲ δ' ἐξῆν αὐτῷ, εἰ ἐσωφρόνει, μὴ συκοφαντεῖν. 2. *Περὶ μὲν οὖν τούτων μετρίως ἐλπίζω μοι προειρῆσθαι· οὐκ ἀγνοῶ δέ, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι, ἃ μέλλω ἐν πρώτοις λέγειν, φανεῖσθε καὶ ἑτέρων ἤδη πρότερον*

γραμματέως] Cf. Boeckh Staatshaushaltung der Athener T. 1. p. 200. sqq.

δοκιμασίαν] Bekk. Anecd. p. 241. *Δοκιμασίαν ἐπαγγεῖλαι τὸ καταγγεῖλαι δίκην ἑταιρήσεως οἱ ῥήτορες ἐκάλουν.* Hic est ea, qua quis in judicium vocatur propter vitam inhonestam et flagitiosam, ob quam a republica arcendus sit ex legibus. Vide G. F. Schömann de comitiis Atheniensium p. 110. De multiplice *δοκιμασίας* significatione cf. Harpocration s. v. *δοκιμασθείς*, Tittmann l. l. p. 320 sqq., de *ἐπαγγέλλειν* infra c. 26.

ἐν τοῖς δημοσίοις ἀγῶσιν] *Ἐν* dedi, jubentibus Lock. Regg. 1. 4. Helmst. Vulgo *ἐπί*.

ἐπανορθοῦνται] Coisl. 1. Reg. 2. Stobaeus habet *ἐπανορθοῦσι*. Activum verbi *ὀρθοῦν* et compos. ubique legitur in Aeschine, nisi, quod est p. 282., pro medio habere velis, *ἐκεῖνα δὲ ἤδη καὶ σφόδρα διωρθοῦτο.* Ceterum, quod discrimen statuit Ammonius inter *διορθοῦν* et *ἐπανορθοῦν*, *διορθοῦν καὶ ἐπὶ δοράτων, καὶ ἐπὶ ὀβελίσκων καὶ ἐπὶ λόγων, ἐπανορθοῦν δὲ ἐπὶ μόνων λόγων*, falsum esse, docuit Lobeck ad Phryn. p. 260. atque etiam Aeschinis usu, ut hoc ipso loco et Ctes. 57. *οὔτε τὰ τῆς πόλεως πράγματα ἐπανορθωθήσεται*, refutatur.

§. 2. *ὅτι, ἃ μέλλω ἐν πρώτοις λέγειν, φανεῖσθε*] Vulgo *ὅτι* ponitur ante *φανεῖσθε*, trajectione verborum per se haud improbanda. Sed

ἀκηκοότες. ἀλλά μοι δοκεῖ καιρὸς εἶναι, καὶ ἐμὲ νῦν πρὸς ὑμᾶς τῷ αὐτῷ τούτῳ λόγῳ χρήσασθαι. ὁμολογοῦνται γὰρ τρεῖς εἶναι πολιτεῖαι παρὰ πᾶσιν ἀνθρώποις, τυραννὶς, καὶ ὀλιγαρχία, καὶ δημοκρατία. διοικοῦνται δ' αἱ μὲν τυραννίδες καὶ αἱ ὀλιγαρχίαι τοῖς τρόποις τῶν ἐφεστηκότων· αἱ δὲ πόλεις αἱ δημοκρατούμεναι, τοῖς νόμοις τοῖς κειμένοις. εὖ δ' ἴστε, ὦ Ἀθηναῖοι, ὅτι τὰ μὲν τῶν δημοκρατουμένων σώματα καὶ τὴν πολιτείαν οἱ νόμοι σώζουσι, τὰ δὲ τῶν τυράννων καὶ τῶν ὀλιγαρχιῶν, ἀπιστία, καὶ ἡ μετὰ τῶν ὅπλων φρουρά. φυλακτέον δὴ τοῖς μὲν ὀλιγαρχικοῖς, καὶ τοῖς τὴν ἄνισον πολιτείαν πολιτευομένοις, τοὺς ἐν χειρῶν νόμῳ

Mead. Bern. Lock. Regg. 1. 4. Helmst. jubebant restitui, quod dedi. φανεῖσθε si non mutandum in φανήσεσθε, dubium certe est. In Aeschine ubique est futurum φανήσομαι, quod restitui etiam Ctes. 23. e Lock. Nostro loco nulla varietas notatur. Non igitur ausus sum vulgatam movere.

χρήσασθαι] Restitui e Mead. Lock. Coisl. Regg. 1. 2. 4. Helmst. Vulgo χρῆσθαι. Tim. 4. βούλομαι δὴ καὶ ἐγὼ νυνὶ πρὸς ὑμᾶς τὸν αὐτὸν τρόπον χρήσασθαι τῷ λόγῳ. 62. οὔκουν δίκαιον καὶ περὶ Τιμάρχου τοῖς αὐτοῖς Εὐριπίδῃ χρήσασθαι λογισμοῖς.

τῶν ἐφεστηκότων.] Reg. 2. Coisl. προεφεστηκότων, quod Reiske recte e duabus lectionibus conflatum judicat, προεστηκότων et ἐφεστηκότων. Utrumque apud Aeschinem legitur. Sed tum propter librorum auctoritatem tum ob simillimum locum, qui est Ctes. 2., vulgatum retinendum.

τῶν ὀλιγαρχιῶν.] Quamquam Aeschines minime refugiat nomina abstracta ponere pro concretis, hic tamen Taylori conjectura placet τῶν ὀλιγαρχικῶν, quum oppositionis caussa, tum quod statim sequitur τοῖς ὀλιγαρχικοῖς. Ctes. 53. δημοτικὸς ἀνὴρ καὶ ὀλιγαρχικὸς opponitur. Isocrates tamen Areop. §. 27. Ἀλλὰ μὴν οὐδὲ τὴν πρᾳότητα δικαίως ἄν τις ἐπαινέσειε τὴν ἐκείνων (τῶν ὀλιγαρχικῶν) ἢ τὴν τῆς δημοκρατίας.

ἐν χειρῶν νόμῳ] Formula Graeca, quae significat i. q. βίᾳ, πρὸς βίαν, vi: de qua vide intpp. ad Herodot. VIII, 89. et Elmsley ad Eurip. Bacch. v. 737.

τὰς πολιτείας καταλύοντας· ὑμῖν δὲ τοῖς τὴν ἴσην καὶ [τὴν] ἔννομον πολιτείαν ἔχουσι, τοὺς παρὰ τοὺς νόμους ἢ λέγοντας ἢ βεβιωκότας κολάζειν. ἐντεῦθεν γὰρ ἰσχύσετε, ὅταν εὐνομῆσθε, καὶ μὴ καταλύησθε ὑπὸ τῶν παρανομούντων καὶ ἀσελγῶς βιούντων. προσήκειν δ' ἔγωγε νομίζω, ὅταν μὲν νομοθετῶμεν, τοῦθ' ἡμᾶς σκοπεῖν, ὅπως καλῶς ἔχοντας καὶ συμφέροντας νόμους τῇ πόλει θησοίμεθα· ἐπειδὰν δὲ νομοθετήσωμεν, τοῖς νόμοις τοῖς κειμένοις πείθεσθαι, τοὺς δὲ μὴ πειθομένους κολάζειν, εἰ δεῖ τὰ

τὴν ἴσην καὶ [τὴν] ἔννομον πολιτείαν.] Auctoritate cod. Helmst. τὴν inclusi. Nam ἔννομον adjectivum ἴσην definit. Addito contra articulo, novae significationis oportet esse epitheton.

κολάζειν] Secutus sum Mss. — Wolfius hoc verbum vel delendum censuit vel scribendum προσήκει κολάζειν. Reiske scripsit τὸ τοὺς — — βεβιωκότας κολάζειν, quod pendeat ex φυλακτέον; perperam. Est constructionis variatio ad sententiam, non ad verborum ordinem apta. Quum φυλακτέον idem sit, quod προσήκει vel δεῖ φυλάττεσθαι, quasi ita scriptum sit, sequitur infinitivus κολάζειν. Haec figura, quam Zeugmatis nomine appellare licebit, plus una ratione apud Aeschinem invenitur, non ubique sine doctorum virorum offensione. Tim. 66. μὴ γὰρ ὑπ' ἐμοῦ λεγόμενον ἀλλὰ γινόμενον τὸ πρᾶγμα νομίσηθ' ὁρᾶν, ubi Reiske post λεγόμενον deesse censet ἀκούειν. Verum sic etiam Ctes. 47. νομίσατε ὁρᾶν προϊόντα τὸν κήρυκα καὶ τὴν ἐκ τοῦ ψηφίσματος ἀνάῤῥησιν μέλλουσαν γίγνεσθαι, ubi item intelligendum ἀκούειν.

ὑπὸ τῶν παρανομούντων καὶ ἀσελγῶς βιούντων] Desunt in Helmst. καὶ ἀσελγῶς βιούντων, nec immerito quis solum παρανομούντων sufficere opinetur. Non tamen unius, quamvis boni, codicis auctoritate quidquam mutaverim, quum optimorum scriptorum mos sit, notioni generis partis notionem adjungere, in qua summa res versatur. Et τὸ ἀσελγῶς βιοῦν prima est culpa Timarchi. cf. Demosth. nostra p. 60 sqq.

σκοπεῖν, ὅπως-θησοίμεθα] Scribendum opinor θησόμεθα. Quamquam enim non jurem in Dawesii verba, ὅπως soloecismum facere cum futuro optativi, hic tamen orationis tenor indicativum flagitat: videndum ut leges laturi simus. Alterum foret ut laturi essemus. Ceterum scripsi τῇ πόλει pro vulgato τῇ πολιτείᾳ c Bern. Lock. Regg. 1. 4. Helmst.

καὶ τὸ τελευταῖον περὶ τῆς συμφοιτήσεως τῶν παίδων, καὶ τῶν χορῶν τῶν ἐγκυκλίων. κελεύει γὰρ τὸν χορηγὸν, τὸν μέλλοντα τὴν οὐσίαν τὴν ἑαυτοῦ εἰς ὑμᾶς ἀναλίσκειν, ὑπὲρ τετταράκοντα ἔτη γεγονότα τοῦτο πράττειν, ἵν' ἤδη ἐν τῇ σωφρονεστάτῃ αὐτοῦ ἡλικίᾳ ὢν οὕτως ἐντυγχάνῃ τοῖς ὑμετέροις παισίν. 6. *ἀναγνώσεται οὖν ὑμῖν τούτους τοὺς νόμους ὁ γραμματεὺς, ἵν' εἰδῆτε, ὅτι ὁ νομοθέτης ἡγήσατο τὸν καλῶς τραφέντα παῖδα, ἄνδρα γενόμενον, χρήσιμον ἔσεσθαι τῇ πόλει· ὅταν δ' ἡ φύσις τοῦ ἀνθρώπου εὐθὺς πονηρὰν ἀρχὴν λάβῃ τῆς παιδείας, ἐκ τῶν κακῶς τεθραμμένων παίδων παραπλησίους ἡγήσατο πολίτας ἔσεσθαι Τιμάρχῳ τουτῳΐ. λέγε δ' αὐτοῖς τοὺς νόμους τουτους.*

Νόμοι. „Οι δε των παιδων διδασκαλοι αναιγετωσαν μεν „τα διδασκαλεια μη προτερον ηλιου ανιοντος, κλειετωσαν „δε προ ηλιου δυνοντος. και μη εξεστω τοις υπερ την των „παιδων ηλικιαν ουσιν εισιεναι των παιδων ενδον οντων,

---

σιάρχαι τοῖς ἑρμαίοις μὴ ἐάτωσαν συγκαθιέναι μηδένα τῶν ἐν ἡλικίᾳ τρόπῳ μηδενί. De terminatione et de accentu horum similiumque nominum confer, quae erudite disputat Lobeck ad Phryn. p. 367-372.

τῶν χορῶν τῶν ἐγκυκλίων] Chori appellantur *ἐγκύκλιοι*, quia certo tempore redeunte, per temporis cyclum, agebantur. *κύκλιοι* appellantur Ctes. 79. Bekk. Anecd. p. 250. *ἐγκύκλιοι λειτουργίαι: αἱ κατ' ἐνιαυτὸν γινόμεναι, οἷον χορηγίαι, γυμνασιαρχίαι καὶ ἱερῶν περίοδος.* F. A. Wolfius in Prolegg. ad Leptin. vertit munera solemnia, stata, ordinaria.

ὢν οὕτως] Recte sic jam Taylor dedit e codd. Mead. Lock. Coisl. Reg. 2., quibus consentit Helmst. Vulgo *οὗτος*. *Οὕτως* saepe cum vi post participia ponitur, ut Latinorum sic, significans tum demum, hac conditione rerum. *παραπρ.* 23. *βοώντων δὲ ὑμῶν καὶ τοὺς προέδρους ἐπὶ τὸ βῆμα κατ' ὄνομα καλούντων, οὕτως, ἀπ'όντος αὐτοῦ, τὸ ψήφισμα ἐπεψηφίσθη.* Ctes. 62. *ἀλλ' ἐφικόμενος τῆς ἀνδραγαθίας οὕτω τὰς χάριτας τὸν δῆμον ἀπαίτει.* Platonica et alia habet God. Stallbaum ad Plat. Phileb. p. 135.

§. 6. *παραπλησίους*] Plurimi libri habent *παραπλήσιον*, quod locum habere non posse patebit ex iis, quae dixi in Supplemento ad Nic. Damascenum p. 4 s.

„εαν μη υιος διδασκαλου η αδελφος η θυγατρος ανηρ. „εαν δε τις παρα ταυτ' εισιηι, θανατωι ζημιουσθω. και οι „γυμνασιαρχαι τοις ερμαιοις μη εατωσαν συγκαθιεναι „μηδενα των εν ηλικιαι τροπωι μηδενι· εαν δε επιτρεπηι „και μη εξειργηι του γυμνασιου, ενοχος εστω ο γυμνασι-„αρχης τωι της ελευθερων φθορας νομωι. οι δε χορηγοι „οι καθισταμενοι υπο του δημου εστωσαν την ηλικιαν υπερ „τετταρακοντα ετη." 7. Μετὰ ταῦτα τοίνυν, ὦ Ἀθη-ναῖοι, νομοθετεῖ περὶ ἀδικημάτων, μεγάλων μὲν, γινομένων δ', οἶμαι, ἐν τῇ πόλει. ἐκ γὰρ τοῦ πράττεσθαί τινα, ὧν οὐ προσῆκεν, ἐκ τούτου τοὺς νόμους ἔθηκαν οἱ παλαιοί· διαῤῥήδην γοῦν λέγει ὁ νόμος, „Εαν τινα εκμισθωσηι „εταιρειν πατηρ η αδελφος η θειος η επιτροπος η ολως „των κυριων τις, κατ' αυτου μεν του παιδος ουκ εαι γραφην

ἀδελφὸς] Quod Reiskius dedit, retinui, quum sit in Lock. et Reg. 2., bonis codd., vulgo ἀδελφοῦ. Helmst. ἀδελφῆς, quod R. recepisset, si citius ipsi innotuisset. Res ipsa nullius est momenti.

συγκαθιέναι] Sic libri. A Wolfio profectum συγκατιέναι. Perperam. Phrynichus p. 398. συγκαταβαίνειν εἰς τὰς σκέψεις, συγκαταβαίνειν εἰς διδασκαλίας μὴ εἴπῃς, ἀλλὰ συγκαθιέναι, ubi vide Lobeck.

7. Μετὰ ταῦτα τοίνυν] A cod. Helmst. abest τοίνυν. Offendebat fortasse parallelismus, qui ut plurimis scriptoribus, ita Aeschini frequenter adhibetur, inprimis de tempore et progressione. Cf. Schaefer. ad Gregor. p. 439. De aliis hujus figurae generibus aliis locis videbimus.

ἔθηκαν] Dedi ex Bern. Lock. Helmst. pro vulgato ἔθεντο. Ammonius: τίθησι et τίθενται διαφέρει. Τίθησι γὰρ τὸν νόμον ὁ νομοθέτης. τίθενται δὲ τὸν νόμον οἱ δικάζοντες καὶ αἱρούμενοι. De antiquis inprimis habet Aeschines activum, de populo medium. Tim. 4. τίνα ἕτερον νόμον ἔθηκε; 10. τοῦτον μὲν τὸν νόμον ἔθηκε. Contra 73. τοὺς μὲν νόμους τίθεσθε ἐπὶ πᾶσι τοῖς δικαίοις ib. εἰκότως καλλίστους νόμους τίθεσθε. Ctes. 48. ἐν νόμον ἔθεσθε. Semel activum Tim. 11. νόμον ἐθήκατε καινόν.

οὐκ ἐᾷ] Sc. ὁ νομοθέτης. Sine caussa Reiskius offendit. Saepe sic loquitur Aeschines, verba legis laudans. Paullo post ἴσα τὰ ἐπιτίμια ἑκάστῳ πεποίηκε Tim. 8., ἐν ᾧ διαῤῥήδην γέγραπται, ἐάν τις ὑβρίζῃ εἰς παῖδα —— γραφὰς ὕβρεως εἶναι πεποίηκε καὶ τίμημα ἐπέθηκεν.

„εταιρησεως ειναι· κατα δε του μισθωσαντος και του μισ„θωσαμενου, του μεν, οτι εξεμισθωσε, του δε (φησιν) „οτι εμισθωσατο, και ισα τα επιτιμια εκατερῳ πεποιηκε. „και, μη επαναγκες ειναι τωι παιδι ηβησαντι τρεφειν τον „πατερα, μηδε οικησιν παρεχειν, ος αν εκμισθωθηι εται„ρειν, αποθανοντα δε θαπτετω και ταλλα ποιειτω τα νομι„ζομενα.“ σκέψασθε δὴ, ὡς καλῶς, ὦ Ἀθηναῖοι, ζῶντος μὲν αὐτοῦ ἀφαιρεῖται τὴν ὄνησιν τῆς παιδοποιΐας, ὥςπερ ἐκεῖνος τοῦ παιδὸς τὴν παῤῥησίαν· τελευτήσαντα δὲ αὐτὸν, ἡνίκα ὁ μὲν εὐεργετούμενος οὐκ ἔτι αἰσθάνεται, ὧν εὖ πάσχει, τιμᾶται δὲ ὁ νόμος καὶ τὸ θεῖον, θάπτειν ἤδη κελεύει, καὶ τἄλλα ποιεῖν τὰ νομιζόμενα. 8. καὶ τίνα ἕτερον νόμον ἔθηκε, φύλακα τῶν ἡμετέρων παίδων; τὸν τῆς προαγωγείας, τὰ μέγιστα ἐπιτίμια ἐπιγράψας, „εαν τις „ελευθερον παιδα η γυναικα προαγωγευσηι.“ καὶ ποῖον ἄλλον; τὸν τῆς ὕβρεως, ὃς ἑνὶ κεφαλαίῳ πάντα τὰ τοιαῦτα συλλαβὼν ἔχει. ἐν ᾧ διαῤῥήδην γέγραπται, ἐάν τις ὑβρίζῃ εἰς παῖδα· ὑβρίζει δὲ δήπου ὁ μισθούμενος· ἢ ἄνδρα, ἢ γυναῖκα, ἢ τῶν ἐλευθέρων τινὰ, ἢ τῶν δούλων, ἢ ἐὰν παράνομόν τι ποιῇ εἰς τούτων τινὰ, γραφὰς ὕβρεως εἶναι πεποίηκε, καὶ τίμημα ἐπέθηκεν ὅ, τι χρὴ παθεῖν ἢ ἀποτῖσαι. λέγε τὸν νόμον. „*Νομος. Αν τις Αθηναιων* ελευ„θερον παιδα υβρισηι, γραφεσθω ο κυριος του παιδος „προς τους θεσμοθετας, τιμημα επιγραψαμενος, ωι αν

ὃς ἂν ἐκμισθωθῇ] Revocavi hanc omnium Mss. lectionem praeter Lock., e quo Reiskius recepit ἐκμισθώσῃ. Verbum melius refertur ad τῷ παιδὶ, quam ad τὸν πατέρα.

παῤῥησίαν] Libertatem in concione populi verba faciendi. Demosth. κατὰ Νεαίρ. p. 1353. l. 27. ss. καίτοι πῶς οὐκ οἴεσθε δεινὸν εἶναι, εἰ τοὺς μὲν φύσει πολίτας ἀπεστέρηκε τῆς παῤῥησίας Στέφανος.

§. 8. πρὸς τοὺς θεσμοθέτας] Cf. F. A. Wolf. in Prolegg. ad Leptin. p. CXXXIX. sqq.

τίμημα ἐπιγραψάμενος, ᾧ ἂν τὸ δικαστήριον καταψηφίσηται] Post ἐπιγραψάμενος excidisse videtur θάνατον et pro ᾧ malim οὗ. καταψηφί-

„το δικαστηριον καταψηφισηται, παραδοθεις τοις ἑνδεκα „τεθνατω αυθημερον. εαν δε εις αργυριον καταψηφισθη, „αποτισατω εν ενδεκα ημεραις μετα την δικην, εαν μη „παραχρημα δυνηται αποτινειν. εως δε του αποτισαι ειρχ„θητω. ενοχοι δε εστωσαν ταιςδε ταις αιτιαις και οι εις „τα οικετικα σωματα εξαμαρτανοντες." Ἴσως ἂν οὖν τις θαυμάσειεν, ἐξαίφνης ἀκούσας, τί δή ποτε τῷ νόμῳ τῷ τῆς ὕβρεως προςεγράφη τοῦτο τὸ ῥῆμα, τὸ τῶν δούλων. 9. τοῦτο δὲ, ἐὰν σκοπῆτε, εὑρήσετε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι τοῦτο πάντων ἄριστα ἔχει. οὐ γὰρ ὑπὲρ τῶν οἰκετῶν ἐσπούδακεν ὁ νομοθέτης, ἀλλὰ βουλόμενος ἡμᾶς ἐθίσαι πολὺ ἀπέχειν τῆς τῶν ἐλευθέρων ὕβρεως, προςέγραψε μηδ᾽ εἰς τοὺς δούλους ὑβρίζειν. ὅλως δὲ ἐν δημοκρατίᾳ τὸν εἰς ὁτιοῦν ὑβριστὴν,

---

σηται revocavi, quum statim καταψηφισθῇ significatione passiva legatur, nec illud probabile sit modo positum fuisse activa. Eandem legem cum nonnulla varietate laudat Demosth. Mid. p. 529.

ἕως δὲ τοῦ ἀποτῖσαι εἰρχθήτω.] Illustrat haec Boeckh Staatshaushaltung der Athener P. I. p. 416 s. „Hier wird voraus gesetzt, dafs eigentlich nach jeder Verurtheilung sogleich bezahlt werden solle, und der Verurtheilte wird daher alsobald eingekerkert: der Zusatz, er solle, wenn er nicht auf der Stelle bezahlen könne, eilf Tage nachher bezahlen, ist nur die Bestimmung der äufsersten Frist, nach welcher härter gegen ihn verfahren wird. Vom ersten bis eilften Tage ist er öffentlicher Schuldner, weil er zahlungspflichtig ist, nach dem eilften wird die Zahlung nicht mehr angenommen, wie vorher, sondern er verfällt in strenge Bufse, nehmlich die gewöhnliche Zahlung des Doppelten, und, erfolgt diese nicht alsbald, Einziehung der Güter."

§. 9. ὅτι τοῦτο πάντων ἄριστα ἔχει] τοῦτο uncis liberavi, quibus id incluserat Reiskius. Saepe enim ab optimis scriptoribus, post enuntiationem interjectam nomen, quod praecedebat, non sine vi repetitur. Ctes. 43. τὸν πόλεμον, ὃν πρότερον ἐξήλασεν ἐκ τῆς χώρας τῆς τῶν Βοιωτῶν, τοῦτον πάλιν αὐτὸν τὸν πόλεμον ἐπήγαγε διὰ τῆς Φωκίδος ἐπ᾽ αὐτὰς τὰς Θήβας: ubi in Mead. αὐτὸν τὸν πόλεμον deest, probante Tayloro.

τὸν εἰς ὁτιοῦν ὑβριστὴν] Bern. ὁντινοῦν, quod Jurinus et Taylor restituendum putarunt. Sed genus neutrum de personis interdum ponitur, cum humile quid et vile notatur. Cf. Wakefield Sylva Critt. P. IV. p. 20., qui vere rhetoricam ἐνέργειαν in hoc neutro agnoscit.

τοῦτον οὐκ ἐπιτήδειον ἡγήσατο εἶναι συμπολιτεύεσθαι. Κἀκεῖνο δέ μοι συνδιαμνημονεύσατε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι ἐνταῦθα ὁ νομοθέτης οὔπω διαλέγεται αὐτῷ τῷ σώματι τοῦ παιδὸς, ἀλλὰ τοῖς περὶ τὸν παῖδα, πατρὶ, ἀδελφῷ, ἐπιτρόπῳ, διδασκάλοις, καὶ ὅλως τοῖς κυρίοις· ἐπειδὰν δ' ἐγγραφῇ τις εἰς τὸ ληξιαρχικὸν γραμματεῖον, καὶ τοὺς νόμους [γνῷ καὶ] εἰδῇ τοὺς τῆς πόλεως, καὶ ἤδη δύνηται διαλογίζεσθαι τὰ καλὰ καὶ τὰ μὴ, οὐκ ἔτι ἑτέρῳ διαλέγεται, ἀλλ' ἤδη αὐτῷ Τιμάρχῳ. καὶ πῶς λέγει; ἄν τις Ἀθηναίων, φησὶν, ἑταιρήσῃ, μὴ ἐξέστω αὐτῷ τῶν ἐννέα ἀρχόντων γενέσθαι· ὅτι, οἶμαι, στεφανηφόρος ἡ ἀρχή· μηδ' ἱερωσύνην ἱεράσασθαι· ὅς οὐδὲ καθαρῷ διαλέγεται τῷ σώματι·) μηδὲ συνδικησάτω, φησὶ, τῷ δημοσίῳ· μηδὲ

τὸ ληξιαρχικὸν γραμματεῖον] Das Bürgerbuch, εἰς ὃ ἐνεγράφοντο οἱ τελεσθέντες τῶν παίδων, οἷς ἐξῆν ἤδη τὰ πατρῷα οἰκονομεῖν, παρ' ὃ καὶ τοὔνομα γεγονέναι, διὰ τὸ τῶν λήξεων ἄρχειν· λήξεις δέ εἰσιν οἵ τε κλῆροι καὶ αἱ οὐσίαι. Explicationem addidit Lyc. in Leocr. p. 189. ἐπειδὰν εἰς τὸ ληξιαρχικὸν γραμματεῖον ἐγγραφῶσι καὶ ἔφηβοι γίνωνται! Cf. Fr. W. Tittmann Darstellung der Staatsverf. p. 277. sqq. Noster Tim. 42. ἐνεγράφη εἰς τὸ ληξιαρχικὸν γραμματεῖον καὶ κύριος ἐγένετο τῆς οὐσίας. Post ἐγγραφῇ addidi τις ex Mead. Coisl. Reg. 2.

[γνῷ καὶ] εἰδῇ.] Γνῷ καὶ inclusi, quum desit in Mead. et Helmst. Nullam vim habent h. l. synonyma, immo languent.

ἀλλ' ἤδη αὐτῷ Τιμάρχῳ] Reiskius Τιμάρχῳ ut scholion uncis inclusit. Sed dubito, an quisquam tam ineptum scholion adscripserit. Vocabulum potius corruptum videtur. Scribendum opinor Τίμαρχε. Subita allocutio magnam habet vim. „Haec conversio orationis ab optimis scriptoribus auctoritatem habet eam, quae vetet quidquam mutari," verba sunt F. A. Wolfii ad Leptin. p. 351. Noster Tim. 48. s. ταύτης μὲν τῆς ἀπολογίας ὑμῶν ἕνεκα παραχωρησάτω. ἕτερον δ' ἐγὼ σοι λόγον ὑποβαλῶ. 31. ἐπεὶ, πρὸς θεῶν, Τίμαρχε, τί χρὴ λέγειν, ἢ τί σὺ ἂν εἴποις αὐτὸς περὶ ἑτέρου ἀνθρώπου ἐπὶ τῇ αὐτῇ αἰτίᾳ κρινομένου;

στεφανηφόρος ἡ ἀρχή.] De re cf. Boeckh Staatshaushaltung der Athener T. I. p. 265. s.; de scriptura vocabuli compositi Lobeck ad Phryn. p. 650.

ὅς] Revocavi, quod est in Mss. omnibus praeter Lock., e quo Reiskius ὡς recepit. Nescio, cur pronomen quemquem offendere possit.

ἀρξάτω ἀρχὴν μηδεμίαν μηδέποτε, μήτ' ἔνδημον, μήτε ὑπερόριον, μήτε κληρωτὴν, μήτε χειροτονητήν· μηδὲ κηρυκευσάτω, μηδὲ πρεσβευσάτω, μηδὲ τοὺς πρεσβεύσαντας κρινέτω, μηδὲ συκοφαντείτω μισθωθείς· μηδὲ γνώμην εἰπάτω μηδέποτε, μήτε ἐν τῷ δήμῳ, μήτε ἐν τῇ βουλῇ, μηδ' ἂν δεινότατος ᾖ λέγειν Ἀθηναίων. ἐὰν δέ τις παρὰ ταῦτα πράττῃ, γραφὰς ἑταιρήσεως πεποίηκε, καὶ τὰ μέγιστα ἐπιτίμια ἐπέθηκε. 10. λέγε αὐτοῖς καὶ τοῦτον τὸν νόμον, ἵν' εἰδῆτε, οἵων ὑμῖν κειμένων νόμων, ὡς καλῶν καὶ σωφρόνων, τετόλμηκε Τίμαρχος δημηγορεῖν, ὁ τοιοῦτος τὸν τρόπον, οἷον ὑμεῖς ἐπίστασθε. „Νομος. Εαν τις Αθηναιος εταιρησηι, μη εξεστω αυτωι των εννεα αρχοντων γενεσθαι, μηδ' ιερωσυνην ιερασασθαι, μηδε συνδικησαι τωι δημωι, μηδε αρχην αρχετω μηδεμιαν, μητε ενδημον, μητε υπεροριον, μητε κληρωτην, μητε χειροτονητην. μηδ' επι κηρυκειαν αποστελλεσθω, μηδε γνωμην λεγετω, μηδ' εις τα δημοτελη ιερα εισιτω, μηδ' εν ταις κοιναις στεφανηφο-

---

κηρυκευσάτω] Sequitur periphrasis ἐπὶ κηρυκείαν ἀποστελλέσθω. Hesychius κήρυξ ἐν πολέμῳ, πρέσβυς (πρεσβευτὴς) ἐν εἰρήνῃ. Cf. F. A. Wolf ad Leptin. p. 275. s.

§. 10. Εαν τις] Sic dedi e Lock. et Helmst. Vulgo Αν τις

ἱερωσύνην ἱεράσασθαι.] Jam supra haec leguntur sine ulla Mss. varietate. Hic autem Mead. Lock. Helmst. omittunt ἱερωσύνην et scribunt ἱερώσασθαι. Vulgatam tamen teneo. Nam ἱερᾶσθαι de iis dicitur, qui sacerdotio funguntur, ἱεροῦσθαι de iis, quae consecrantur. Cf. Ducker ad Thucyd. V, 1. Ruhnken. ad Timaeum p. 147 s. Conjunctio autem conjugatorum saepe librarios offendit. —

τὰ δημοτελῆ ἱερὰ] Wolfius adscribit δημοτικά: quod sive emendandi sive explicandi caussa adscripsit, erravit. Harpocration: δημοτελῆ καὶ δημοτικὰ ἱερὰ διέφερον ἀλλήλων. Bekkeri Anecd. p. 240. τὰ μὲν δημοτελῆ θύματα ἡ πόλις δίδωσιν, εἰς δὲ τὰ δημοτικὰ οἱ δημόται, εἰς δὲ τὰ ὀργεωνικὰ οἱ ὀργεῶνες, οἳ ἂν ὦσιν ἑκάστου τοῦ ἱεροῦ, εἰς δὲ τὰ τῶν γονέων τὰ γένη. Cf. Boeckh Staatsh. T. I. p. 228.

ριαις στεφανουσθω, μηδ᾽ εντος των της αγορας περιρραντηριων πορευεσθω. εαν δε τις ταυτα ποιη, καταγνωσθεντος αυτου εταιρειν, θανατωι ζημιουσθω." Τοῦτον μὲν τὸν νόμον ἔθηκε περὶ τῶν μειρακίων τῶν προχείρως εἰς τὰ ἑαυτῶν σώματα ἐξαμαρτανόντων· οὓς δὲ ὀλίγῳ πρότερον ὑμῖν ἀνέγνων, περὶ τῶν παίδων· οὓς δὲ νυνὶ μέλλω λέγειν, περὶ τῶν ἄλλων Ἀθηναίων. ἀπαλλαγεὶς γὰρ τῶν νόμων τούτων, ἐσκέψατο, τίνα χρὴ τρόπον συλλεγομένους ἡμᾶς εἰς τὴν ἐκκλησίαν βουλεύεσθαι περὶ τῶν σπουδαιοτάτων πραγμάτων. καὶ πόθεν ἄρχεται; „Νομοι, φησὶ, περι ευκοσμιας." ἀπὸ σωφροσύνης πρῶτον ἤρξατο· ὡς ὅπου πλείστη εὐκοσμία ἐστὶ, ταύτην ἄριστα τὴν πόλιν οἰκησομένην. 11. καὶ πῶς δὲ κελεύει τοὺς προέδρους χρηματίζειν; „Επειδαν το καθαρσιον περιενεχθη, και ο κηρυξ τας πατριους ευχας ευξηται, προχειροτονειν κελευει τους προε-

---

περιῤῥαντηρίων] Sunt cancelli, intra quos nemini impuro aut jure destituto intrare licet. Paullo post habemus τὸ καθάρσιον. Scholiastes ad Aristoph. Acharn. v. 41. καθαίρονται οἱ ἐν τῇ ἐκκλησίᾳ, χοίρου σφαζομένου. τὸ δὲ θυόμενον χοιρίδιον ἐπὶ καθάρσει τῶν τόπων κάθαρμα ἐκαλεῖτο. Bekkeri Anecd. p. 269. χοῖρος βραχὺς ἦν τὸ καθάρσιον, ᾧ ἐκάθαιρον τὴν ἐκκλησίαν οἱ λεγόμενοι περιστίαρχοι: de quibus vide Scholiasten Aristoph. ad Eccl. v. 128. Hi porcelli per comitium circumferebantur, eorumque sanguine adspergebantur subsellia; deinde in mare abjiciebantur. Cf. Georg. Frid. Schömann de comitiis Atheniensium L. I. c. 8.

περὶ τῶν σπουδαιοτάτων πραγμάτων] Sic dedi e Mead. Vulgo σπουδαιοτέρων. Tim. 14. ὡς — οὐδὲ βουλεύεσθαι ἡμᾶς δυνησομένους περὶ τῶν σπουδαιοτάτων πραγμάτων. Confusionis exempla ubique sunt obvia. Paullo ante ἡμᾶς dedi pro ὑμᾶς e Mead. Coisl. Reg. 2. Lock. Helmst.

§. 11. προχειροτονεῖν dici solet de populo, qui, recitato senatusconsulto, rogabatur a Proedris, videreturne senatusconsulto acquiescendum. Quum populus voluntatem suam sublatis manibus significaret, dicebatur προχειροτονεῖν. Hic autem adhibetur de proedris populum rogantibus. Quod quamquam alio loco non invenerim, nihil tamen mutare ausim, quum ἐπιχειροτονεῖν item duplici significatione legatur, de Prytanibus populum in suffragia mittentibus, et de populo aliquid sciscente. Mecum sentit God. Frid. Schoemann de comitiis Athenien-

θρους περι ιερων των πατριων και κηρυκων και πρεσβεων και οσιων. και μετα ταυτα επερωται ο κηρυξ, τις αγορευειν βουλεται των υπερ πεντηκοντα ετη γεγονοτων;" ἐπειδὰν δὲ οὗτοι πάντες εἴπωσι, τότε ἤδη κελεύει λέγειν τῶν ἄλλων Ἀθηναίων τὸν βουλόμενον, οἷς ἔξεστι. σκέψασθε δή, ὡς καλῶς, ὦ ἄνδρες Ἀθηναῖοι. οὐκ ἠγνόει, οἶμαι, ὁ νομοθέτης, ὅτι οἱ πρεσβύτεροι τῷ μὲν εὖ φρονεῖν ἀκμάζουσιν, ἡ δὲ τόλμα ἤδη αὐτοὺς ἄρχεται ἐπιλείπειν διὰ τὴν ἐμπειρίαν τῶν πραγμάτων. βουλόμενος δὴ συνεθίσαι τοὺς ἄριστα φρονοῦντας, τούτους ἐπάναγκες περὶ τῶν πραγμάτων λέγειν, ἐπειδὴ ὀνομαστὶ αὐτῶν ἕνα ἕκαστον ἠπόρει προςειπεῖν, τὴν κοινὴν ἐπωνυμίαν τῆς ὅλης ἡλικίας ὑπολαβών, παρα-

---

sium p. 199. Τὰς πατρίους εὐχάς: Earum saepe meminerunt oratores, et Schömann l. l. p. 93. suspicatur, summam eorum, quae in comitiis a praecone pronuntiari solebant, legi apud Aristoph. Thesmoph. v. 295-351 si demseris, quae de muliebribus rebus et de Euripide dicuntur.

περὶ ἱερῶν — — καὶ ὁσίων] Ammonius p. 101. ὅσιον καὶ ἱερὸν διαφέρει. ὅσια μὲν γάρ ἐστι τὰ ἰδιωτικά, ὧν ἐφίεσθαι ἔξεστι καὶ προςάψασθαι· ἱερὰ δὲ τὰ τῶν θεῶν, ὧν οὐκ ἔξεστι προςάψασθαι. Vide Valckenaer p. 184. Parum subtiliter Ammonius. Τὰ ἱερὰ sunt quidem, quae pertinent ad deos; τὰ ὅσια vero sunt gravissimae rerum humanarum, quae proximae sunt τοῖς ἱεροῖς, parentes, liberi, patria, et quae ad eos pertinent. Ὅσιος illustravit Schömann de comit. Athen. p. 298. not.

τίς ἀγορεύειν βούλεται τῶν ὑπὲρ πεντήκοντα ἔτη γεγονότων;] „Dudum hoc institutum neglectum et oblitteratum erat, et homines saepe adolescentuli, vix ephebórum numero egressi, prudentia exigua, temeritate autem et loquacitate maxima, de maximis rebus primi disserebant, et soli nonnumquam occupabant suggestum." Schömann l. l. p. 105.

τόλμα] Bekker Anecd. p. 66. τόλμη καὶ τόλμα, πρύμνη καὶ πρύμνα. νάρκη δὲ διὰ του η. Cf. Lobeck ad Phryn. p. 331. Noster ubique habet τόλμα et τόλμαν, ut Attici fere omnes. Genitivus et Dativus videntur formae τόλμη originem dedisse.

τὴν κοινὴν ἐπωνυμίαν τῆς ὅλης ἡλικίας ὑπολαβών] Κοινὴν deest in Lock. et Helmst., neque hoc vocabulo egemus. Sed parallelismum amat noster, quod demonstrabimus in loco, qui a viris doctis tentabatur. Neque video, cur ὑπολαβὼν tentandum sit. Idem significat, quod Reiskius conjecit ὑποβαλών, sed in bonam partem, substituens. Multifariam de successione adhibetur hoc vocabulum.

γένηται.“ τὸν γὰρ τὴν ἰδίαν οἰκίαν κακῶς οἰκήσαντα, καὶ τὰ κοινὰ τῆς πόλεως παραπλησίως ἡγήσατο διαθεῖναι. καὶ οὐκ ἐδόκει οἷόν τ' εἶναι τῷ νομοθέτῃ τὸν αὐτὸν ἄνθρωπον ἰδίᾳ μὲν εἶναι πονηρὸν, δημοσίᾳ δὲ χρηστόν. οὐδ' ᾤετο δεῖν ὁ νομοθέτης τον ῥήτορα ἥκειν ἐπὶ τὸ βῆμα, τῶν λόγων ἐπιμεληθέντα πρότερον, ἀλλ' οὐ τοῦ βίου. καὶ παρὰ μὲν ἀνδρὸς καλοῦ καὶ ἀγαθοῦ, κἂν πάνυ κακῶς κἂν ἁπλῶς ῥηθῇ λόγος, χρήσιμα τὰ λεγόμενα ἡγήσατο εἶναι τοῖς ἀκούουσι· παρὰ δὲ ἀνθρώπου βδελυροῦ, καὶ καταγελάστως μὲν κεχρημένου τῷ σώματι, αἰσχρῶς δὲ τὴν πατρῴαν οὐσίαν κατεδηδοκότος, οὐδ' ἂν εὖ πάνυ λέγῃ, συνοίσειν ἡγήσατο τοῖς ἀκούουσι. τούτους οὖν ἐξείργει τοῦ βήματος, τούτους ἀπαγορεύει μὴ δημηγορεῖν. ἐὰν δέ τις παρὰ ταῦτα μὴ μόνον λέγῃ, ἀλλὰ καὶ συκοφαντῇ, καὶ ἀσελγαίνῃ, καὶ μηκέτι τὸν τοιοῦτον ἄνθρωπον δύνηται

οἰκήσαντα] Wolfius et Reiskius scribi jubent διοικήσαντα, nec Reiskius Taylorum contra dicentem audit. At innumera loca Atticorum contra libros scriptos mutanda forent, si οἰκεῖν hac significatione rejiceretur. Laudat hunc ipsum locum Thomas Mag., ut ostendat, οἰκεῖν positum esse pro διοικεῖν. Tim. 30. καλῶς ἄρα τὴν πόλιν οἰκήσομεν, ubi nemo offendit, sed Wolfius vertit: Egregie profecto urbs incoletur. Cf. Sturzii Lex. Xen. Nec dubitarunt unquam viri doctissimi. Vide Valcken. ad Phoen. v. 489.

διαθεῖναι] Hoc recepi e Reg. 2. Lock. Helmst. pro vulgato διαθήσειν: quae correctio videtur librarii. Aoristum post verba, quae futuri quid involvant, satis vindicavi in notis Demosthenicis p. 83. ff. De eadem re accuratissime egit Lobeckius ad Phryn. 745. sqq.: qui liber, quum Demosthenica scriberem, nondum in nostras regiones pervenerat. Etiam apud Aeschinem viri docti in hoc aoristo offenderunt. Ctes. 58. οἴεσθέ ποτε, ὦ Ἀθηναῖοι, ἐθελῆσαί τινα ἐπασχεῖν. Conjiciunt vel οἴεσθ' ἄν ποτε vel ἐθελήσειν. Miror, eos intentatum praeteriisse, quod legitur Ctes. 52. ἐπίδοξος ἦν ἁλῶναι: id autem satis munivit Lobeck ad Phryn. p. 752. s.

κἂν πάνυ κακῶς κἂν ἁπλῶς ῥηθῇ λόγος.] Nihil muto. „Si plane contra rhetorices regulas, vel saltem sine elegantia peroretur."

λέγῃ] Ita scribi jusserunt Coisl. Mead. Lock. Helmst. pro vulgato λεχθῇ. Μηκέτι τὸν τοιοῦτον. Articulum addidi ex Mead. et Helmst. Significat hunc talem hominem, §. 14. τοὺς τοιούτους ἀνθρώπους.

φέρειν ἡ πόλις, „δοκιμασιαν μεν (φησὶν) επαγγειλατω Αθηναιων ο βουλομενος, οις εξεστιν·“ ὑμᾶς δ᾽ ἤδη κελεύει περὶ τούτων ἐν τῷ δικαστηρίῳ διαγινώσκειν. καὶ νῦν ἐγὼ κατὰ τοῦτον τὸν νόμον ἥκω πρὸς ὑμᾶς. 14. Ταῦτα μὲν ουν πάλαι νενομοθέτηται, ὑμεῖς δὲ τί; προςέθεσθε καινὸν νόμον μετὰ τὸ καλὸν παγκράτιον, ὃ οὗτος ἐπαγκρατίασεν ἐν τῇ ἐκκλησίᾳ. ὑπεραισχυνθέντες γὰρ ἐπὶ τῷ πράγματι, καθ᾽ ἑκάστην ἐκκλησίαν, νόμον ἐθήκατε καινὸν, ἀποκληροῦν φυλὴν ἐπὶ τὸ βῆμα, ἥτις προεδρεύσει. καὶ τί προςέταξεν ὁ τιθεὶς τὸν νόμον; καθῆσθαι κελεύει τοὺς φυλέτας, βοηθοῦντας τοῖς νόμοις, καὶ τῇ δημοκρατίᾳ· ὡς, εἰ μὴ βοήθειάν ποθεν μεταπεμψόμεθα ἐπὶ τοὺς οὕτω βεβιωκότας, οὐδὲ βουλεύεσθαι ἡμᾶς δυνησομένους περὶ τῶν σπουδαιοτάτων πραγμάτων. ἔστι δ᾽ οὐδὲν ὄφελος, ὦ Ἀθηναῖοι, ζητεῖν τοὺς τοιούτους ἀνθρώπους ἀπελαύνειν ἀπὸ τοῦ βήματος ταῖς κραυγαῖς· οὐ γὰρ αἰσχύνονται· ἀλλὰ ταῖς τιμωρίαις τούτους ἀπεθίζειν χρή· μόνως γὰρ ἂν οὕτως ἀνεκτοὶ γένοιντο. ἀναγνώσεται οὖν ὑμῖν τοὺς νόμους τοὺς περὶ τῆς εὐκοσμίας κειμένους τῶν ῥητόρων. τὸν γὰρ περὶ τῆς προεδρίας τῶν φυλῶν νομον Τίμαρχος οὑτοσὶ καὶ ἕτεροι τοιοῦτοι ῥήτορες συνελθόντες, γεγραμμένοι εἰσὶ μὴ ἐπιτήδειον εἶναι, ἵν᾽ ἐξῇ πράττειν αὐτοῖς, καὶ λέγειν, καὶ ζῆν, ὡς αὐτοὶ βούλονται. 15. Νόμοι. „Των ρητορων εαν τις λεγῃ εν βουλῃ, η εν

---

§. 14. ἥτις προεδρεύσει] „Minime confundenda ἡ προεδρεύουσα φυλὴ cum πρυτανευούσῃ. Fuerintne praesides illi e Senatu necne, ex veterum locis non patet. Tamen, quum apud Aeschinem, qui hujus instituti originem refert, prorsus nulla sit Senatus mentio, illud verius puto, fuisse aliquos, non Senatores, ex ea tribu, cujus sors evenisset, certo numero delectos ac delegatos, qui in gradibus suggestus, qui pro subselliis erant, praesiderent.“ Schömann l. l. p. 88 sqq.

εἰ μὴ – μεταπεμψόμεθα] Reiskius de suo dederat μεταπεμψώμεθα. Mirum, ut hic vir in rebus grammaticis partim coecutiat, partim acute videat.

§. 15. περὶ τοῦ εἰςφερομένου μὴ χωρὶς περὶ ἑκάστου] Vulgo ἢ περὶ

δημωι, περι του εισφερομενου μη χωρις περι εκαστου η δις περι του αυτου (ὁ αὐτὸς τοῖς αὐτοῖς) η λοιδορηται, η κακως αγορευηι τινα, η υποκρουηι, η χρηματιζοντων μεταξυ ανηκεστως λεγηι περι του μη επι βηματος, η

ἑκάστου Sed ἢ omittunt Mead. et Helmst., nec habet Brunckius, locum laudans ad Aristoph. Concionn. v. 293. — Matthiae Misc. Philoll. p. 233. not. 12. scribit ἢ μὴ χωρὶς περὶ ἑκάστου, eumque secutus est Schömann l. l. p. 115. not. 29; nec rejecerim, si Mss. addicant. Ad sensum idem valet nostra lectio. Praeterea Schömann l. l. scribit ex conjectura μὴ περὶ τοῦ εἰςφερομένου: quod non probo. Lex enim hic ostendit, quid cavendum sit oratori de re proposita loquenti; tum demum sermo est de eo, ne loquatur de alia re, ac quae proposita sit.

ὁ αὐτὸς τοῖς αὐτοῖς] Plerique Mss. addunt ὅτι, quod auctoritate cod. Bern. delevi, idque omisit etiam Brunckius l. l. Reiskius de conjectura scripsit δηλονότι. Si quaesiveris, unde ὅτι irrepserit, dicam, quod sentio. Mss. fluctuant inter τοῖς αὐτοῖς et τῆς αὐτῆς. Jam videtur quis adscripsisse ὅτ, quod est compendium voc. δοτικὴ (vide Bastium ad Greg. Cor. p. 805) Hinc natum ὅτι. Schömann l. l. omnia hæc verba pro glossemate habet; nec desideraverit ea quisquam, si absint; codd. tamen Mss. sequendos esse opinor.

χρηματιζόντων] Res, de quibus tractandum est in comitiis, populo proponere, Senatus consultum recitare, seu potius recitandum curare, oratoribusque dicendi potestatem facere — hæc omnia uno verbo, eoque proprio χρηματίζειν dicuntur. Schömann libro l. p. 89.

ἀνηκέστως λέγῃ] I t a u t s e r e t i n e r i n o n p a t i a t u r, u t j u s s i s n o n o b t e m p e r e t, u t n u l l u m a d s i t r e m e d i u m l o q u a c i t a t i s e t i m p u d e n t i a e. Adverbium m o d u m indicat, quo loquitur, nec confundendum cum adjectivo. Nec præpositio περὶ habet, quod offendat, si acceperis τοῦ μὴ ἐπὶ βήματος, quod recepi ex Helmst., quocum fere consentit Mead., pro neutro. Τὸ ἐπὶ βήματος est quod dicitur προβούλευμα, Senatus consultum, quod factum esse oportebat, ante quam quid ad populum proponi poterat. Brunckius l. l. vocabulum ἀνηκέστως ridiculum errorem appellat, scribens per metathesin litterarum ἀνεστηκὼς ex conjectura, quam cupide arripuit Schömann l. l. p. 115 et p. 218. Equidem facile tolero vulgatam, quum neminem videamus fuisse oratorum, qui non aliquando exspatiatus fuerit, veniam nactus, si vel ipse in viam redierit, vel se reduci passus sit: nec probanda est lex, quae vetat, quod evitari non posse omnis experientia docet; sed cavendum est, ne quid ultra modum procedat: quae cautela inest lectioni vulgatae.

παρακελευηται, η ελκη τον επιστατην αφειμενης της εκκλησιας η της βουλης, κυριευετωσαν οι προεδροι μεχρι πεντηκοντα δραχμων εις εκαστον αδικημα εγγραφειν τοις πρακτορσιν· εαν δε πλεονος αξιος ηι ζημιας, επιβαλοντες μεχρι πεν-

---

παρακελεύηται.] Hoc verbum Matthiae p. 233. not. 12. significatione mala accipit ad seditiosas vociferationes concitare; similiter Schömann l. l. seditiosis vociferationibus uti, v. c. postulare a Proedris, ut de hac vel illa re ad populum referant. Recte. Etiam quae inde derivantur, seriore inprimis aetate sic adhibentur.

ἢ ἕλκῃ τὸν ἐπιστάτην] Ἕλκειν τινὰ est vim inferre alicui. De epistata et proedris consulenda sunt, quae accurate disputat Schömann de comit. Athen. L. I. c. 7. Epistata, sorte ductus ex proedris, per quatuor et viginti horas praeses erat et βουλῆς et ἐκκλησίας. Proedri, decem numero ἐκ τῆς φυλῆς τῆς πρυτανευούσης i. e. ex ea tribu, quae locum primum ἐν τῇ βουλῇ sorte jam ab initio anni constitutum occupabat: quorum munus per septem dies erat, quingentos moderari, iis consulta proponere, et de universa republica ad eos referre, διοικεῖν ἅπαντα τὰ ὑπὸ τῆς βουλῆς πραττόμενα.

ἐγγράφειν τοῖς πράκτορσι] Sic dedi e conjectura Taylori, quam probavit Schömann l. l. p. 115. Vulgo ἐπιγράφειν. Sed ἐγγράφειν ut usitatissimum est de inscriptione nominis in tabulas publicas quascunque, sic inprimis in tabulas aerarii. Ἐπιγράφειν de his non inveni. Οἱ πράκτορες sunt, qui multas debitaque nomine aerarii publici colligebant et, si opus erat, exigebant. Cf. Sigonium de republica Atheniensium p. 617. Edit. Paris. „Die Gericht- und Strafgelder wurden von den Vorstehern des Gerichtshofes, welcher den Rechtshandel entschieden hatte, aufgeschrieben, und was dem Staate zufiel, an die sogenannten Einforderer (πράκτορες) überwiesen, was aber heilig war, an die Schatzmeister der Casse, welcher es zugehörte. Boeckh. Staatshaush. I. p. 167.

ἐὰν δὲ πλέονος ἄξιος ᾖ ζημίας] Ita dedi e cod. Bern. Vulgo ἐστὶ pro ᾖ, pro quo Reiskius de suo sensu, ut ait, dedit ἔῃ. In Weigeliana tamen editione, quae alias Reiskianam sequitur, recte scriptum est ᾖ.

ἐπιβαλόντες] Sic recte dedit Reiskius ex Mead. Lock. Helmst. pro vulgato ἐπιβάλλοντες. Quum enim proedri multam ipsis reo imponere concessam imposuissent, poterant, si crimen majus videbatur, eum εἰσφέρειν εἰς τὴν βουλὴν, atque etiam per Senatus consultum εἰς τὴν πρώτην ἐκκλησίαν. Εἰσφέρειν verbum proprium est de iis, qui caussae quaesitionem judicio committunt.

τηκοντα δραχμων, εισφερετωσαν εις την βουλην, η εις την πρωτην εκκλησίαν, εν τωι βουλευτηριωι. οταν διεξιωσι κλησεις, κρινατωσαν. και εαν καταγνωσθηι αυτου κρυβδην ψηφιζομενων των βουλευτων, εγγραψατωσαν οι προεδροι τοις πρακτορσι [των νομων]." 16. Τῶν μὲν οὖν νόμων ἀκηκόατε, ὦ Ἀθηναῖοι, καὶ εὖ οἶδ', ὅτι δοκοῦσιν ὑμῖν καλῶς ἔχειν. τούτους μέντοι τοὺς νόμους εἶναι χρησίμους ἢ ἀρχήστους, ἐφ' ὑμῖν ἐστίν. ἐὰν μὲν γὰρ κολάζητε τοὺς ἀδικοῦντας, ἔσονται ὑμῖν οἱ νόμοι καλοὶ καὶ κύριοι· ἐὰν δ' ἀφίητε, καλοὶ μόνον, κύριοι δὲ οὐκ ἔτι. βούλομαι δὲ, ὥςπερ ὑπεθέμην ἀρχόμενος τοῦ λόγου, ἐπειδὴ περὶ τῶν νόμων εἴρηκα, πάλιν τὸ μετὰ τοῦτο ἀντεξετάσαι τοὺς τρόπους τοὺς Τιμάρχου, ἵνα εἰδῆτε, ὅσον διαφέρουσι τῶν νόμων τῶν ὑμετέρων. δέομαι δ' ὑμῶν, ὦ Ἀθηναῖοι, συγ-

---

ὅταν διεξίωσι κλήσεις.] Κλῆσις, ἡ πρόκλησις, τουτέστι παραγγελία εἰς κρίσιν. Harpocration. Διεξιέναι, perquirere, num κλῆσις recte facta sit, necne. Post hoc punctum ponendum. Ad verbum κρινάτωσαν subjectum e contextu facile et certò suppletur, ut nihil desit enuntiationi.

ψηφιζομένων] Libri habent ψηφίζων ἐν, unde Wolfius, sequente Tayloro, effecit ψηφιζόντων, probante Wesselingio ad Petiti Legg. Att. p. 349., quum Petitus ipse, (qua est in numerorum notis inserendis, mutandis, delendis temeritate: Schömann. p 30.) voluisset ψηφιζόντων EN, i. e. πέντε καὶ πεντήκοντα: quod ingenii lusus est historica et fide et probabilitate destitutus. Reiskius ψηφιζομένων, quem secutus sum. Nam apud Atticos ψηφίζω est λογαριάζω (supputo) ψηφίζομαι δὲ τὸ ψήφους τίθημι, monente Scholiasta Sophocl. ad Aj. v. 449.

οὐκ ἄν ποτε
Δίκην κατ' ἄλλου φωτὸς ὧδ' ἐψήφισαν.

ubi activum pro medio. Sed in Attica prosa activum hac significatione non legitur, apud recentiores non infrequens est. Cf. Irmisch ad Herodian. II, 3, 10. qui, parum accurate, scriptores omnes permiscet. Et profecto emendatio Reiskii in litteris ipsis probabilior est.

[τῶν νόμων] Recte hoc Reiske uncis inclusit. Nusquam enim τοῖς πράκτορσιν additur, nec sua natura addi potest. Natum est ex sequentibus.

γνώμην μοι ἔχειν, ἐὰν ἀναγκαζόμενος λέγειν περὶ ἐπιτηδευμάτων, φύσει μὲν μὴ καλῶν, τούτῳ δὲ πεπραγμένων, προεξαχθῶ τι ῥῆμα εἰπεῖν, ὅ ἐστιν ὅμοιον τοῖς ἔργοις τοῖς Τιμάρχου. οὐδὲ γὰρ ἂν δικαίως ἐμοὶ ἐπιτιμήσαιτε, εἴ τι σαφῶς εἴποιμι, διδάσκειν ὑμᾶς βουλόμενος· ἀλλὰ πολὺ μᾶλλον τουτῳί. οὕτω γὰρ αἰσχρῶς τυγχάνει βεβιωκὼς, ὥςτε τὸν τὰ τούτῳ πεπραγμένα διεξιόντα ἀδύνατον εἶναι εἰπεῖν, ὡς αὐτὸς βούλεται, ἐὰν μή τι καὶ τῶν τοιούτων φθέγξηται ῥημάτων. εὐλαβήσομαι δ' αὐτὸ ποιεῖν ὡς ἂν δύνωμαι μάλιστα. 17. σκέψασθε δὲ, ὦ Ἀθηναῖοι, ὡς μετρίως μέλλω προςφέρεσθαι Τιμάρχῳ τουτῳί. ἐγὼ γὰρ, ὅσα μὲν παῖς ὢν εἰς τὸ σῶμα τὸ ἑαυτοῦ ἡμάρτηκεν, ἀφίημι· καὶ ἔστω ταῦτα ἄκυρα, ὥςπερ τὰ ἐπὶ τῶν τριάκοντα, ἢ τὰ πρὸ τοῦ Εὐκλείδου, ἢ εἴ τις ἄλλη πώποτε τοιαύτη γέγονε προθεσμία· ἃ δὲ ἤδη φρονῶν, καὶ μειράκιον ὢν, καὶ τοὺς νόμους ἐπιστάμενος τοὺς τῆς πόλεως, διαπέπρακται, περὶ

---

§. 16. προεξαχθῶ] Nescio an hoc vocabulum nusquam apud Graecos scriptores legatur; nec ut ἅπαξ λεγόμενον satis est tutum propter varietatem lectionis. Nam ἐξαχθῶ legitur in Lock. Bern. Helmst. et Reiskio vulgata e duabus, quae olim obtinebant, lectionibus (προαχθῶ et ἐξαχθῶ) nata videtur. Ubique προάγεσθαι sic usurpatur ab Aeschine, nusquam ἐξάγεσθαι: quod parum commendat lectionem laudatorum codd., quamquam utroque vocabulo alii scriptores utuntur. Nec video, cur in se damnandum sit προεξάγεσθαι, quum vi compositionis significationem habeat, impelli ad aliquid, quod a decoro abhorret. Quid? quod in decompositis librarii alterutram praepositionem haud raro omittunt. Sic supra c. 4. προδιεξελθεῖν. Non igitur ausus sum προεξαχθῶ e Graecia exterminare.

§. 17. πρὸ τοῦ Εὐκλείδου] Articulum addidi e cod. Helmst. Euclides Archon fuit Olymp. CIV, 2. qui annus recreatam vidit rem publicam, et ex integro multis novis legibus praeclare saluberrime fundatam." Cf. F. A. Wolf. Prolegg. ad Leptin. p. CXXVIII. sqq.

γέγονε] Sic dedi, obsecutus Mead. Lock. Helmst. Vulgo ἐγένετο.

πρῶτον μὲν πάντων] Sic dedi e Lock. et Helmst. Vulgo πρῶτον πάντων μὲν Mead. habet πάντων μὲν πρῶτον. In Bern. μὲν prorsus deest.

οὔτε ἡλικιώτῃ, οὔτε [παρ'] ἐπιτρόπῳ· ἀλλὰ παρ' ἀλλοτρίῳ, καὶ παρὰ πρεσβυτέρῳ ἑαυτοῦ, καὶ παρ' ἀκολάστῳ περὶ ταῦτα, ὡραῖος ὤν. 19. πολλὰ μὲν οὖν καὶ ἄλλα καταγέλαστα πέπρακται Τιμάρχῳ κατ' ἐκείνους τοὺς χρόνους· ἓν δὲ, ὃ καὶ διηγήσασθαι ὑμῖν βούλομαι. ἦν μὲν Διονυσίων τῶν ἐν ἄστει πομπή. ἐπόμπευον δὲ ἐν ταυτῷ ὅ, τε Μισγόλας, ὁ τοῦτον ἀνειληφὼς, καὶ Φαῖδρος ὁ Καλλίου Σφήττιος. συνθεμένου δὲ αὐτοῖς συμπομπεύειν Τιμάρχου τουτουῒ, οἱ μὲν περὶ τὴν ἄλλην παρασκευὴν διέτριβον, οὗτος δὲ οὐκ ἐπανῆκε. παρωξυμμένος δὲ πρὸς τὸ πρᾶγμα ὁ Μισγόλας ζήτησιν αὐτοῦ ἐποιεῖτο μετὰ τοῦ Φαίδρου· ἐξαγγελθέντος δὲ αὐτοῖς, εὑρίσκουσι τοῦτον ἐν συνοικίᾳ μετὰ ξένων τινῶν συναριστῶντα. διαπειλησαμένων δὲ τοῦ Μισγόλα καὶ τοῦ Φαίδρου τοῖς ξένοις, καὶ κελευόντων ἤδη ἀκολουθεῖν εἰς τὸ δεσμωτήριον, ὅτι μειράκιον ἐλεύθερον διέφθειραν, φοβηθέντες οἱ ξένοι, φεύγοντες ᾤχοντο, καταλιπόντες τὰ παρεσκευασμένα. καὶ ταῦθ' ὅτι ἐγὼ ἀληθῆ λέγω, ἅπαντες,

---

οὔτε [παρ'] ἐπιτρόπῳ] Praepositionem Wolfio jure suspectam uncis inclusi. Etiam ad hoc pertinet, quod antecedit participium.

§. 19. Διονυσίων τῶν ἐν ἄστει] Celebratissima inter multa genera, quae in Bacchi (Διονύσου) honorem agebantur, haec erant ἐν ἄστει, mense Aprili (Elaphebolione) celebrata. Singularem de Dionysiis librum scripsit Jo. Meursius.

Σφήττιος] Σφηττὸς (sic enim scribendum non Σφιττὸς) δῆμος τῆς Ἀκαμαντίδος, Harpocration. Acuti vel potius acerbi (ὀξεῖς καὶ πικροὶ) videbantur Sphettii. Cf. Jo. Meursium de populis Atticis s. v.

παρωξυμμένος] De duplice μ perfecti passivi hujus similiumque verborum vide Lobeck. ad Phryn. p. 35. In Ald. et Lock. per unum μ scriptum est, de quo vide eundem p. 34.

ἐν συνοικίᾳ] Συνοικία hic cauponam significat, ut interdum tum apud Atticos tum apud reliquos. Isaeus περὶ τοῦ Φιλοκτήμονος κλήρου p. 131. τὴν δ' ἄνθρωπον ταύτην καθίστησιν Εὐκτήμων ἐπιμελεῖσθαι τῆς ἐν Κεραμεικῷ συνοικίας, τῆς παρὰ τὴν πυλίδα, οὗ ὁ οἶνος ὤνιος. Dixeris etiam lupanar; nam eadem pagina post οἴκημα infertur, quod saepe lupanar significat.

ὅσοι κατ' ἐκείνους τοὺς χρόνους ἐγίνωσκον Μισγόλαν καὶ Τίμαρχον, ἴσασιν· ἐγὼ δὲ καὶ πάνυ χαίρω, ὅτι μοι γέγονεν ἡ δίκη πρὸς ἄνθρωπον ουκ ἠγνοημένον ὑφ' ὑμῶν, οὐδ' ἀπ' ἄλλου γινωσκόμενον οὐδενὸς, ἢ ἀπ' αὐτοῦ τοῦ ἐπιτηδεύματος, περὶ οὗ καὶ τὴν ψῆφον μέλλετε φέρειν. περὶ μὲν γὰρ τῶν ἀγνοουμένων, σαφεῖς ἴσως προςήκει τὰς ἀποδείξεις ποιεῖσθαι τὸν κατήγορον· περὶ δὲ τῶν ὁμολογουμένων, οὐ λίαν ἔγωγε μέγα ἔργον εἶναι νομίζω τὸ κατηγορεῖν· ἀναμνῆσαι γὰρ μόνον προςήκει τοὺς ἀκούοντας. 20. ἐγὼ τοίνυν, καίπερ ὁμολογουμένου τοῦ πράγματος ὄντος, ἐπειδὴ ἐν δικαστηρίῳ ἐσμὲν, γέγραφα μαρτυρίαν Μισγόλᾳ, ἀληθῆ μὲν, οὐκ ἀπαίδευτον δὲ, ὡς ἐγὼ ἐμαυτὸν πείθω· αὐτὸ μὲν γὰρ τοὔνομα τοῦ ἔργου, ὃ ἔπραττε πρὸς τοῦτον, οὐκ ἐγγράφω, οὐδ' ἄλλο γέγραφα οὐδὲν, ὃ ἐπιζήμιόν ἐστιν ἐκ τῶν νόμων τῷ τἀληθῆ μαρτυρήσαντι· ἃ δέ ἐστιν ὑμῖν μὲν ἀκούουσι γνώριμα, ἀκίνδυνα δὲ τῷ μαρτυροῦντι, καὶ μὴ αἰσχρὰ, ταῦτα γέγραφα. ἐὰν μὲν οὖν ἐθελήσῃ ὁ Μισγόλας δεῦρο παρελθὼν τἀληθῆ μαρτυρεῖν, τὰ δίκαια ποιήσει· ἐὰν δὲ προαιρῆται ἐκκλητευθῆναι μᾶλλον ἢ τἀληθῆ

---

§. 20. ἀπαίδευτον] Ἀπαίδευτος cum conjugatis significat rusticitatem, inhumanitatem. Tim. §. 54. δεινῆς ἀπαιδευσίας ἀρχήν. 68. πρὸς τοῖς ἄλλοις κακοῖς ἄμουσός τις οὗτος καὶ ἀπαίδευτος ἄνθρωπός ἐστι. Cf. §. 75. παραπρ. §. 41.

ἐγγράφω] Hanc codicum lectionem revocavi, quum Reiskius de suo dederit ἐγγέγραφα: quod quidem tempus cum ceteris congruit. Sed contra Mss. nil mutavi, quum praesens videatur hoc momentum ut grave notare.

ὑμῖν μὲν ἀκούουσι γνώριμα, ἀκίνδυνα δὲ] Μὲν est ex Wolfii conjectura, haud necessaria, ut opinor. Nonnulli libri habent τε, quod corruptum videtur ex τοῖς.

ἐκκλητευθῆναι] Pollux VIII, 36 s. Τὸν οὐ βουλόμενον μαρτυρεῖν, ἐκλήτευον, ἀνάγκην τοῦ μαρτυρῆσαι προςθέντες. ἔδει δὲ αὐτὸν ἢ μαρτυρεῖν, ἢ ἐξομόσασθαι, ὡς οὐκ εἰδείη, ἢ μὴ παρείη, ἢ χιλίας ἀποτίνειν. Κλητεύεσθαι μὲν οὖν ἐστὶ τὸ καλεῖσθαι εἰς μαρτυρίαν. ἐκκλητεύεσθαι δὲ τὸ δίκην ὀφείλειν: ubi interpretes consuli possunt. Suidas

πολὺν ἀριθμὸν χρόνου γεγονότες, παντάπασι νέοι [δοκοῦντες εἶναι.] τούτων δ' ἐστὶ τῶν ἀνδρῶν ὁ Μισγόλας. τυγχάνει μὲν γὰρ ἡλικιώτης ὢν ἐμὸς, καὶ συνέφηβος· καὶ ἔστιν ἡμῖν τουτὶ πέμπτον καὶ τετταρακοστὸν ἔτος. καὶ ἐγὼ μὲν τοσαυτασὶ πολιὰς ἔχω, ὅσας ὑμεῖς ὁρᾶτε, ἀλλ' οὐκ ἐκεῖνος. διὰ τί δὴ ταῦτα προλέγω; ἵνα μὴ ἐξαίφνης αὐτὸν ἰδόντες θαυμάσητε, καὶ τοιοῦτόν τι τῇ διανοίᾳ ὑπολάβητε· ὦ Ἡράκλεις, ἀλλ' οὗτός γε τούτου οὐ πολὺ διαφέρει. ἅμα μὲν γάρ ἐστιν ἡ φύσις τοιαύτη τοῦ ἀνθρώπου, ἅμα δὲ ἤδη μειρακίῳ ὄντι αὐτῷ ἐπλησίαζεν. ἵνα δὲ μὴ διατρίβω, πρῶτον μὲν κάλει μοι τοὺς εἰδότας Τίμαρχον τουτονὶ

---

cration: προφερεῖς οἱ νέοι μὲν ὄντες, πρεσβύτεροι δὲ φαινόμενοι. Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου. Oppositum est σκληφρὸς seu σκληρὸς, quod addit Pollux l. l. σκληρὸς δὲ ὁ τούτῳ ὑπεναντίος, ὃν καὶ νεωειδῆ ἂν εἴποις. Cf. Heindorf ad Plat. Euthydem. §. 1. — Hunc sensum rejicit in nostro loco H. Stephanus in Thes. „Nam si προφερεῖς illi dicantur, qui aetate juvenes sint, ore vero senes videantur, totum hoc comma unam illam vocem denotare." Sed προφερὴς hic tropice adhibetur, quod ne perperam intelligatur, orator addit, quod significationem ejus constituat: cujusmodi ampliationes apud oratores inprimis frequentes sunt. Hunc usum illustravi in Demosthen. p. 59. sqq. Προφερὴς proprie significat pronus in anterius. Hinc vel contextus vel additum vocabulum significationem accuratius definit, quod hic fit per πρεσβύτεροι.

[δοκοῦντες εἶναι]] Haec leguntur vocabula in Ald., sine uncis. Stephanus scripsit δοκοῦσιν εἶναι, quod legitur in Mead. et Reg. 1, et quod Reiskius recepit. Jn Lock. et Helmst. eorum loco est φαίνονται! quae Mss. varietas supplementum librariorum indicat. Hinc Aldinam lectionem uncis inclusam exhibui.

ὁ Μισγόλας] Articulum addidi ex Lock. et Helmst.

τουτὶ πέμπτον καὶ τετταρακοστὸν ἔτος] Perperam Reiskius non a natu sed a principio militiae annum esse numeratum opinatur. Sed hic est annus aetatis.

οὗτός γε τούτου οὐ πολὺ διαφέρει] Οὗτος sc. ὁ Μισγόλας, τούτου sc. τοῦ Τιμάρχου.

πρῶτον μὲν κάλει μοι] Hunc verborum ordinem recepi ex Lock. et Helmst. Vulgo: κάλει μοι πρῶτον μὲν

διαιτώμενον ἐν τῇ Μισγόλα οἰκίᾳ· ἔπειτα τὴν Φαίδρου μαρτυρίαν ἀναγίνωσκε· τελευταίαν δέ μοι λάβε τὴν αὐτοῦ Μισγόλα μαρτυρίαν· ἵνα καὶ τοὺς θεοὺς δεδιὼς, καὶ τοὺς συνειδότας αἰσχυνόμενος, καὶ τοὺς ἄλλους πολίτας, καὶ ὑμᾶς τοὺς δικαστὰς, ἐθελήσῃ τἀληθῆ μαρτυρεῖν. Μαρτυρία.
22. *„Μισγολας Νικιου Πειραιευς μαρτυρει. εμοι εγενετο εν συνηθεια Τιμαρχος ο επι του Ευθυδικου ιατρειου ποτε καθεζομενος, και κατα την γνωσιν μου την προς αυτον πολυωρων εις την νυν ου διελιπον.“ Εἰ μὲν τοίνυν, ὦ Ἀθηναῖοι, Τίμαρχος οὑτοσὶ παρέμεινε παρὰ τῷ Μισγόλᾳ, καὶ μηκέτι ὡς ἄλλον ἧκε, μετριώτερα ἂν διεπέπρακτο· εἰ δή τι τῶν τοιούτων ἐστὶ μέτριον· καὶ ἔγωγε οὐκ ἂν ὤκνησα*

ἵνα - ἐθελήσῃ] Taylor pro ἵνα conjecit ἐάν. Sed nec ἵνα damnandum. Eo significatur, quod fieri optat is, qui loquitur. ἐθελήσῃ pro ἐθέλῃ dedi e Mead. Lock. Helmst. — Ald. habet ἐθέλῃτ'.

§. 22. Μισγόλας Νικίου Πειραιεὺς] Haec aperte falsa. Legimus enim §. 18. Μισγόλας Ναυκράτους Κολυττεὺς, et sic ceteri. Itaque nostro loco aut idem restituendum, aut Νικίου Πειραιεὺς delendum. In Helmst. desunt Μισγόλας Νικίου. Fortasse ob scribendi compendium error natus.

καὶ κατὰ τὴν γνῶσιν μου - πολυωρῶν εἰς τὴν νῦν οὐ διέλιπον] Lectionem Mss. retinui et dedi. Pro μου vulgo legitur μοι. Genitivum nobis obtulit Bern. Reiskius de suo dedit διέλιπεν pro διέλιπον, et praepositionem κατὰ delevit, locum sic interpretans: non desiit (Timarchus puta) observare consuetudinem meam secum. Sed vulgata lectio eam plane sententiam habet, qua Aeschines se Misgolae scripturum esse testimonium promiserat; humanitatem, studiumque res turpes involucro verborum tegendi. Misgolas testatur hoc de se ipso: Numquam ego κατὰ τὴν γνῶσιν μου pro familiaritate mea (quod, ut plerumque in bonam partem accipitur, hic obscoena significatione accipiendum) desii ejus curam habere (etiam hoc obscoena significatione).

οὐκ ἂν ὤκνησα αὐτὸν οὐδὲν αἰτιᾶσθαι ἢ] Pro ὤκνησα Reiske conjicit ἐτόλμησα. Si utrumque esset in Mss., equidem ἐτόλμησα pro glossa haberem. Οὐκ ὀκνεῖν enim significat paratum esse ad aliquid faciendum; vel etiam acquiescere aliqua re: quae significatio originem habet ex significatione non recusandi: —

βελτιόνων διατριβῶν ἥψατο· ἀλλὰ διημέρευσεν ἐν τῷ κυβείῳ, οὗ ἡ τηλία τίθεται, καὶ τοὺς ἀλεκτρυόνας συμβάλλουσι, καὶ κυβεύουσιν· ἤδη γὰρ οἶμαι ὑμῶν τινὰς ἑωρακέναι ἃ λέγω· εἰ δὲ μή, ἀλλ' ἀκηκοέναι γε. τῶν δὲ ἐκ τῆς διατριβῆς ταύτης ἐστί τις Πιττάλακος, ἄνθρωπος

---

nominativi singularis excipiant. Sed quum ratio ejus idonea reddi non possit, equidem cum Corayo aliisque facio, qui id nusquam admittunt. Cf. Coray ad Isocrat. T. II. p. 292. Atque etiam miror tam rara esse hujus generis peccata librariorum. Semel adhuc in Aeschine notavi Tim. 45. Etiam in Demosthene rarissima est corruptela.

τηλία] Quamquam rarius est vocabulum apud scriptores antiquos, quorum opera supersunt, glossographi tamen et scholiastae vocabuli significationem divinant potius quam explicant. Brunckius ad Aristoph. Vesp. v. 147. scribit: „Τηλία nomen est generale mensae, quibusvis usibus aptae. Aleatorum tabula, compacti asseres, super quibus committebantur gallinacei et coturnices; mensa, super qua structi panes venum exponebantur, aliaeque id genus communi τηλίας nomine indigetabantur.“ Mihi, omnibus rite expensis, sic appellatum esse videtur vas, quod per ambitum extante margine circumdatum erat. Nam Pluto v. 1036. Chremylus, irridens anum libidinosam, quum haec dixisset: ἄλγους κατατέτηκα, respondet

Κατασέσηπας, ὥς γέ μοι δοκεῖς.
Anus. διὰ δακτυλίου μὲν οὖν ἐμέ γ' ἂν διελκύσαις.
Chrem. εἰ τυγχάνει γ' ὁ δακτύλιος ὢν τηλία.

ubi recte Scholiastes τηλίαν per κύκλον κοσκίνου explicat. Ea significatio, qua sit tabula, qua committebantur gallinacei, nescio an non ex nostro Aeschinis loco hausta sit propter adjectum καὶ τοὺς ἀλεκτρυόνας συμβάλλουσι. Verum etiam hic τηλία tabulam aleatorum significat. Facile quidem concedo, etiam alterum significare posse τηλίαν; antiqui tamen scriptoris locum non inveni, ubi certa sit haec significatio.

καὶ τοὺς ἀλεκτρυόνας συμβάλλουσι] Gallinaceorum certamen, quod publice institutum est post secundum bellum Persicum laudabili consilio, (vide Aelianum Varr. Historr. II, 28 ibique interpretes) declinavit per caupones in delicias petulantium adolescentulorum.

ἄνθρωπος δημόσιος οἰκέτης] Bekker. Anecd. p. 374. Δημόσιος: ὁ τῆς πόλεως δοῦλος. Ἐγίνοντο δὲ Θρᾷκές τινες καὶ Σκύθαι ἢ ἄλλοι

δημόσιος οἰκέτης τῆς πόλεως· οὗτος εὐπορῶν ἀργυρίου, καὶ ὁρῶν τοῦτον ἐν τῇ διατριβῇ ταύτῃ, ἀνέλαβεν αὐτὸν, καὶ εἶχε παρ' ἑαυτῷ. καὶ ταῦτ' οὐκ ἐδυςχέραινεν ὁ μιαρὸς οὑτοσὶ, μέλλων ἑαυτὸν καταισχύνειν πρὸς ἄνθρωπον δημόσιον οἰκέτην τῆς πόλεως· ἀλλ' εἰ λήψεται χορηγὸν τῇ βδελυρίᾳ τῇ ἑαυτοῦ, τοῦτο μόνον ἐσκέψατο, τῶν δὲ καλῶν, ἢ τῶν αἰσχρῶν οὐδεμίαν πώποτε πρόνοιαν ἐποιήσατο. καὶ τοιαῦτα ἁμαρτήματα καὶ τοιαύτας ὕβρεις ἐγὼ ἀκήκοα γεγονέναι ὑπὸ τοῦ ἀνθρώπου τουτου εἰς το σῶμα τὸ Τιμάρχου, οἵας ἐγὼ μὰ τὸν Δία τὸν Ὀλύμπιον οὐκ ἂν τολμήσαιμι πρὸς ὑμᾶς εἰπεῖν. ἃ γὰρ αὐτὸς ἔργῳ πράττων οὐκ ᾐσχύνετο, ταῦτ' εγὼ λόγῳ μόνον σαφῶς ἐν ὑμῖν εἰπὼν, οὐκ ἂν ἐδεξάμην ζῆν. 24. ὑπὸ δε τοὺς αὐτοὺς χρόνους τούτους, ἐν οἷς οὗτος ἦν παρὰ τῷ Πιτταλάκῳ, καταπλεῖ δεῦρο ἐξ Ἑλληςποντου Ἡγήσανδρος, ὁ τοῦτον ἀνειληφώς. περὶ οὗ πάλαι εὖ οἶδ' ὅτι θαυμάζετε, διότι οὐ μέμνημαι. οὕτως ἐναργές ἐστιν, ὃ ἐρῶ. οὗτος ὁ Ἡγήσανδρος ἀφικνεῖται, ὃν ὑμεῖς ἴστε κάλλιον ἢ ἐγώ. ἔτυχε δὲ τότε συμπλεύσας εἰς Ἑλληςποντον ταμίας ἅμα Τιμομάχῳ τῷ Ἀχαρνεῖ, τῷ στρατηγήσαντι· καὶ ἧκε δεῦρο ἀπολελαυκὼς, ὡς λέγεται, τῆς ἐκείνου εὐηθείας, ἔχων οὐκ ἐλάττους ἢ ὀγδοήκοντα μνᾶς ἀργυρίου, καὶ τρόπον τινὰ οὐχ ἥκιστα αἴτιος ἐγένετο Τιμομάχῳ τῆς συμφορᾶς. ὢν δ' ἐν τοιαύτῃ ἀφθονίᾳ, καὶ φοιτῶν ὡς τὸν Πιττάλακον, συγκυβευτὴν ὄντα, καὶ τοῦτον ἰδὼν ἐκεῖ πρῶτον, ἥσθη τε, καὶ ἐπεθύμησε,

---

βάρβαροι δοῦλοι πρὸς ὑπηρεσίαν τῶν δικαστηρίων καὶ τῶν κοινῶν τόπων καὶ ἔργων. ἐλλειπτικῶς δὲ λέγουσι τὸν δημόσιον, παρέντες οἰκέτην. Quod non ita intelligendum, quasi nusquam substantivum οἰκέτης addatur. In ea enim, quae hic et paullo post leguntur, nulla cadit corruptelae suspicio. Sed verum est, plerumque δημόσιος hac significatione absolute poni.

§. 24. Τιμομάχῳ] Fuit imperator classis Atheniensis in Thracia, quo tempore Cotys emporia Thraciae et Chersonesi Atheniensibus eripiebat; ipsiusque mentio fit haud raro apud Demosthenem.

καὶ ἐβουλήθη ὡς αὐτὸν ἀναλαβεῖν. καί πως ἴσως αὐτὸν ἡγήσατο ἐγγὺς εἶναι τῆς αὐτοῦ φύσεως. πρῶτον μὲν οὖν τῷ Πιτταλάκῳ διελέχθη, δεόμενος παραδοῦναι τοῦτον. ὡς δὲ οὐκ ἔπειθεν, αὐτῷ τούτῳ προςβάλλει· καὶ οὐ πολὺν ἀνάλωσε λόγον, ἀλλ' εὐθὺς ἐπεπείκει. καὶ γὰρ εἰς αὐτὸ τὸ πρᾶγμα δεινὴ ἡ ἀκακία καὶ εὐπιστία· ὥςτε καὶ ἐξ αὐτῶν τούτων εἰκότως ἂν μισοῖτο. 25. ὡς δὲ ἀπήλλακτο μὲν ἀπὸ τοῦ Πιτταλάκου, ἀνείληπτο δὲ ὑπὸ τοῦ Ἡγησάνδρου, ὠδυνᾶτο, οἶμαι, ὁ Πιττάλακος, τοσοῦτον ἀργύριον μάτην, ὡς ᾤετο, ἀνηλωκὼς, καὶ ἐζηλοτύπει τὰ γινόμενα, καὶ ἐφοίτα ἐπὶ τὴν οἰκίαν. ὅτι δὲ αὐτοῖς ἠνώχλει, σκέψασθε μεγάλην ῥώμην Ἡγησάνδρου καὶ Τιμάρχου. μεθυσθέντες γάρ ποτε καὶ αὐτοὶ, καὶ τῶν συγκυβευτῶν τινὲς, καὶ ἄλλοι, ὧν οὐ βούλομαι τὰ ὀνόματα λέγειν, εἰςπηδήσαντες νύκτωρ εἰς τὴν οἰκίαν, οὗ ᾤκει ὁ Πιττάλακος, πρῶτον

δεινὴ ἡ ἀκακία καὶ εὐπιστία.] Hoc ironice dictum est multa cum acerbitate. Ἄκακος proprie est nec mali quid faciens, nec mali quid ominans. Hoc loco de eo qui tale ingenium obscoena cum libidine simulat. Item εὔπιστος qui facile sibi persuaderi patitur, hic de re obscoena: turpe obsequium praestans. Ceterum non erat, cur Reiskius εὐπειστία scriberet. Hanc litem olim inter Leunclavium et Stephanum ad Xenophontis Cyropaediam acerbe agitatam recentiores dudum composuerunt. Cf. Valckenaer ad Herodot. VI. 108. Etiam, si discrimen inter εὔπιστον et εὔπειστον obtineat, quod Hermannus constituit ad Sophocl. Aj. v. 151., εὐπιστία hic non mutandum.

§. 25. ἀνηλωκὼς] Hic verbum augmento instructum est, modo §. 24. eo destitutum erat. Equidem jam in Demosth. p. 90. significavi, mihi a Mss. lectione non videri recedendum esse. In Aeschine tantum non ubique augmentum additur. Praeter nostrum locum nonnisi Tim. 70. legitur ἀνάλωσε cum variatione ἀπώλεσε.

ὅτι δὲ αὐτοῖς ἠνώχλει, σκέψασθε] Brachylogice dictum. Recentiores hanc fere enuntiandi rationem sequerentur; ὅτι δ' αὐτοῖς ἠνώχλει, γνώσεσθε σκεψάμενοι cet. Sed in unum conjungit orator γνώσεσθε σκεψάμενοι. Ῥώμη autem hic per irrisum dicitur de audaci et petulanti facinore. Qualia qui penetrant, roboris sui specimina edidisse se opinantur.

μὲν συνέτριβον τὰ σκευάρια, καὶ διεῤῥίπτουν εἰς τὴν ὁδὸν ἀστραγάλους τέ τινας διασείστους καὶ φιμοὺς, καὶ κυβευτικὰ ἕτερα ὄργανα· καὶ τοὺς ὄρτυγας καὶ τοὺς ἀλεκτρυόνας, οὓς ἠγάπα ὁ τρισκακοδαίμων ἄνθρωπος, ἀπέκτειναν· τὸ δὲ τελευταῖον δήσαντες πρὸς τον κίονα αὐτὸν τὸν Πιττάλακον ἐμαστίγουν τὰς ἐξ ἀνθρώπων πληγὰς, οὕτω πολὺν χρόνον, ὥςτε καὶ τοὺς γείτονας αἰσθέσθαι τῆς κραυγῆς. τῇ δὲ ὑστεραίᾳ ὑπεραγανακτήσας τῷ πράγματι ὁ Πιττάλακος ἔρχεται γυμνὸς εἰς τὴν ἀγορὰν, καὶ καθίζει ἐπὶ τὸν βωμὸν τὸν τῆς Μητρὸς τῶν θεῶν· ὄχλου δὲ συνδραμόντος, οἷον εἴωθε γίνεσθαι, φοβηθέντες ὅ, τε Ἡγήσανδρος καὶ ὁ Τίμαρχος, μὴ ἀνακηρυχθῇ αὐτῶν ἡ βδελυρία εἰς πᾶσαν τὴν πολιν· ἐπῄει δὲ ἐκκλησία· θέουσι πρὸς τὸν βωμὸν καὶ αὐτοὶ, καὶ τῶν συγκυβευτῶν τινὲς, καὶ περιστάντες ἐδέοντο τοῦ Πιτταλά-

---

ἀστραγάλους τέ τινας διασείστους] Διασείστους videtur epitheton ornans talorum, quo amatores praestantiam eorum significarent. Habiles enim erant et facile movebantur, non graves, ut plumbei. D'Orville Vann. Crit. p. 205. interpretatur saepe antea concussos ab ipsis, qui eas nunc in viam projiciebant.

τὰς ἐξ ἀνθρώπων πληγὰς] Τὸ ἐξ ἀνθρώπων dicitur, quod fere excedit hominum naturam, immensum, grave. Aelian. Histor. Animal. X, 21. ἐξαρτήσαντες (τοὺς κροκοδείλους) μετεώρους πολλαῖς καὶ ταῖς ἐξ ἀνθρώπων ξαίνουσι κνυζομένους καὶ δακρύοντας: ubi nihil mutandum. Cf. Heindorf. ad Plat. Theaet. §. 71.

ἐπὶ τὸν βωμὸν τὸν τῆς Μητρὸς τῶν θεῶν] Considebat in ara Matris deorum, ut scilicet querelam ad populum deferret, ejusque beneficio ulcisceretur homines potentes, quos in judicio persequi neque facile neque tutum sibi existumabat. Supplices enim considere solebant in aris aut Matris deorum, aut Misericordiae, quae erant in foro, aut in aliis locis sacris oculis hominum expositis, donec in senatum aut concionem productis venia daretur, impune quae vellent, eloquendi. Schömann de com. p. 332. s. Nudus autem sedebat Pittalacus, ut plagarum aspectu misericordiam moveret.

κου ἀναστῆναι, λέγοντες, ὅτι τὸ ὅλον πρᾶγμα παροινία γέγονεν· καὶ αὐτὸς δε οὗτος οὐδέπω μὰ Δία, ὥςπερ νῦν, ἀργαλέος ὢν τὴν ὄψιν, ἀλλ᾽ ἔτι χρήσιμος, ὑπογενειάζων

παροινία] ὕβρις ἐκ τοῦ οἴνου, ex temulentia nascens petulantia et injuria.

καὶ αὐτὸς δὲ] Abest in Mead. δέ. Saepe in hac formula καὶ-δὲ librarios negligentes δὲ omississe monet Schaeferus ad Longum p. 350. God. Stallbaum ad Plat. Phileb. p. 14. statuit, formulam semper vim adversativam habere, sive ea clarius cernatur, sive obscurius lateat. Eam dixerim augentis esse in oppositione. Saepe ea legitur in Aeschine. Librarii etiam interdum καὶ omittunt. Sic παραπρ. 15. καὶ σκέψασθε δὲ, ubi καὶ in Harl. deest. Ctes. 39. autem recte Bekkerus pro καὶ τῶν πολλῶν δὲ ἐψειμένων ex optimis codd. edidit καὶ τῶν πολλῶν διαφειμένων.

οὐδέπω-ἀργαλέος] Mead. οὔπω. Sed οὐδέπω, μηδέπω interdum poni videtur, ut fortius οὔπω, μήπω nondum sane. Xenophon Cyrop. I, 3, 8. ὡς ἂν παῖς μηδέπω ὑποπτήσσων, ubi Muretus, probante Schneidero, conjicit μηδέν πω: quo non opus esse recte Fischerus vidit. Sic idem Schneiderus L. II. 1, 20. e cod. Altorf. recepit: οἱ πολέμιοι ἐλέγοντο μὲν προςιέναι, παρῆσαν δ᾽ οὔπω. Ceteri codd. οὐδέπω, quod recte restituit Poppo. Eurip. Med. 130 ff.

Ἔκλυον φωνὰν, ἔκλυον δὲ βοὰν
Τᾶς δυςτάνας
Κολχίδος. οὐδέ πω ἤπιος.

ubi probo Elmsleyum, quod signum interrogationis post ἤπιος in punctum mutavit. Sensus est: adhuc graviter est commota. Noster Tim. 54. τοὺς μὲν υἱεῖς τοὺς μηδέπω γεγονότας, ubi item cod. Mead. μήπω. Ctes. 75. ὑπὲρ τοῦ μηδέπω κεκρίσθαι ὑπ᾽ ἐμοῦ. Ἀργαλέος nusquam ratione faciei et oris positum inveni. Significabit tristem, horridum.

ὑπογενειάζων] Bekker Anecd. p. 312. ὑπογενειάζων, τοῦ γενείου λαμβανόμενος καὶ ἀσπαζόμενος. Hesychius explicat λιτανεύων ἀπὸ τοῦ γενείου ἁπτόμενος. Scholiastes ad Eurip. Hec. 336. οἱ παλαιοὶ ἱκετεύοντες ἐδράττοντο τῆς γενειάδος καὶ τῆς χειρὸς καὶ τοῦ γόνυος. τῆς μὲν γενειάδος, ὡς κατανεῦσαι ἢ εἰπεῖν τι πρὸς ἄλλον ὑπὲρ τοῦ δεομένου, εἴγε δεήσει ποιεῖν, τῆς δὲ χειρὸς, ὡς ἐνεργῆσαι, τοῦ δὲ ποδὸς ὡς βαδίσαι.

τὸν ἄνθρωπον, καὶ πάντα φάσκων πράξειν, ἃ ἂν ἐκείνῳ συνδοκῇ· πέρας πείθουσιν ἀναστῆναι τὸν ἄνθρωπον ἀπὸ τοῦ βωμοῦ, ὡς τευξόμενόν τινος τῶν δικαίων. ὡς δ' ἀπῆλθεν ἐκ τῆς ἀγορᾶς, οὐκ ἔτι προςεῖχον αὐτῷ τὸν νοῦν. 26. βαρέως δὲ φέρων τὴν ὕβριν αὐτῶν ὁ ἄνθρωπος, δίκην ἑκατέρῳ αὐτῶν λαγχάνει. ὅτι δὲ ἐδικάσατο· (σκέψασθε μεγάλην ῥώμην Ἡγησάνδρου) ἄνθρωπον μηδὲν αὐτὸν ἠδικηκότα, ἀλλὰ τοὐναντίον ἠδικημένον, οὐδὲν προςήκοντα αὐτῷ, ἀλλὰ δημόσιον οἰκέτην τῆς πόλεως, ἦγεν εἰς δουλείαν, φάσκων αὐτοῦ εἶναι δοῦλον. ἐν παντὶ δὲ κακῷ γενόμενος ὁ Πιττάλακος, προςπίπτει πρὸς τὰ γόνατα ἀνδρὶ καὶ μάλα χρηστῷ. ἔστι τις Γλαύκων Χολαργεύς. οὗτος αὐτὸν ἀφαιρεῖται εἰς ἐλευθερίαν. τὸ δὲ μετὰ τοῦτο λήξεις δικῶν ἐποιήσαντο. προϊόντος δὲ τοῦ χρόνου ἐπέτρεψαν διαγνῶναι τὸ πρᾶγμα Διοπείθει τῷ Σουνιεῖ, δημότῃ τε ὄντι τοῦ Ἡγησάνδρου, καὶ ἤδη ποτὲ καὶ χρησαμένῳ, ὅτ' ἦν ἐν ἡλικίᾳ. παραλαβὼν δὲ τὸ πρᾶγμα ὁ Διοπείθης ἀνεβάλλετο, χαριζόμενος τούτοις, χρόνους ἐκ χρόνων. ὡς δὲ

ἃ ἂν ἐκείνῳ συνδοκῇ] Verbum compositum videtur summum obsequium indicare et studium sincerrimum cuncta, quae ipsi placuerint, praestandi.

26. δίκην - λαγχάνει] **Litem sortitur, dictat**, quoniam Athenis judices sorte legebantur. Paullo post periphrasis legitur λήξεις δικῶν ἐποιήσαντο.

ἦγεν εἰς δουλείαν] Ἄγειν εἰς δουλείαν coram judicio contendere, aliquem esse servum. Contrarium est ἀφαιρεῖσθαι εἰς ἐλευθερίαν, in libertatem vindicare. Vide Vales. ad Harpocrat. p. 28.

χρησαμένῳ] Χρῆσθαι, inprimis obscoena significatione, interdum sine dativo ponitur, si nulla est ambiguitas, sed casus facile e contextu suppletur. Demosth. κατὰ Νεαίρας p. 1382. τί οἴεσθε ποιεῖν; ἆρ' οὐχ ὑπηρετεῖν τοῖς χρωμένοις ἐφ' ἁπάσας ἡδονάς;

ἀνεβάλλετο] Ammonius: ἀναβάλλεσθαι καὶ ὑπερτίθεσθαι διαφέρει. Ἀναβάλλεσθαι μὲν γάρ ἐστι τὸ προΐεσθαι καὶ παριέναι τὸν ἐπιτήδειον καιρὸν τῶν πράξεων· ὑπερτίθεσθαι δὲ τὸ ἐπιμένειν τὸν ἐπιτήδειον καιρὸν τῶν πράξεων. Quod discrimen quamquam nostro loco conveniat, tamen id haud raro non obtinet, ut docuerunt intpp. ad Thomam Mag. p. 61 s.

παρῆν ἐπὶ τὸ βῆμα τὸ ὑμέτερον ὁ Ἡγήσανδρος· ὅτε καὶ προςεπολέμει Ἀριστοφῶντι τῷ Ἀζηνιεῖ, πρὶν αὐτῷ τὴν αυτὴν ταύτην ἠπείλησεν ἐπαγγελίαν ἐν τῷ δήμῳ, ἥνπερ ἐγω Τιμάρχῳ ἐπήγγειλα· καὶ ἐπειδὴ Κρωβύλος, ὁ ἀδελφὸς αυτοῦ, ἐδημηγόρει, καὶ ὅλως ἀπετόλμων ἐν ἡμῖν πρῶτοι οὗτοι

παρῆν ἐπὶ τὸ βῆμα] Revocavi hanc omnium Mss. lectionem, pro qua Reiskius e conjectura dederat παρῄει, quod probare videtur Schömann I. I. p. 107. Sed Demosth. Olynth. I. p. 11. R. παρῇσαν ἐπὶ τὸ βῆμα. Noster Ctes. 21. καὶ παρῆμεν τῇ ὑστεραίᾳ εἰς τὴν ἐκκλησίαν. Cf. Demosth. nostra p. 81.

Ἀριστοφῶντι τῷ Ἀζηνιεῖ] Sic recte scriptum e codd. pro eo, quod ante legebatur Ἀιξωνεῖ. Idem est Aristophon, de quo ad vitam anonymi p. 2. locutus sum. Harpocration: Ἀζηνία δῆμος φυλῆς τῆς Ἱπποθοντίδος, καὶ ὁ φυλέτης (l. δημότης) Ἀζηνιεύς. Cf. Meursium. Tim. 64. recte scribitur Ἀριστοφῶν ὁ Ἀζηνιεύς, item Ctes. 45. 64.

πρὶν — ἠπείλησεν] Jurinus mavult πρὶν — ἀπειλῆσαι. Sed πρὶν cum indic. significat donec tandem, ut ostendit Elmsley ad Eurip. Med. v. 1142.

ἐπαγγελίαν] Haec proprie erat, quum quis oratori, cui propter flagitiosam inhonestamque vitam verba in comitiis facere per leges non liceret, sed qui tamen id jus usurpare soleret, accusationem denotabat πρὸς δοκιμασίαν τοῦ βίου i. e. quo cogeretur in judicio vitae suae rationem reddere, et, si convictus esset, ἄτιμος fieret, et foro comitiisque arceretur.

Κρωβύλος] Hoc nonnisi cognomen est, ab Aeschine homini datum. Ejus nomen est Hegesippus, qui in republica eodem sensu, quo Demosthenes, erat. Vide Ruhnkenium Histor. Crit. Oratt. Graecc. p. LXXVIII. s. Κρωβύλος proprie est nodus crinium in verticem recinctorum; qui videtur mos fuisse elegantulorum hominum. Pluribus hoc nomen tanquam proprium tributum fuisse ostendit Fr. Jacobs Antholog. T. VIII. p. 122.

πρῶτοι] „Anne hi primi, interrogat Taylor, qui verba fecerunt de summa rerum Graecarum?. Delendum credo. certe abest a Lock.," atque etiam ab Helmst. Reiske respondet: „Subauditur τοιοῦτοι ὄντες. Nam ante eos nemo fuit, paribus flagitiis convictus,

περὶ τῶν Ἑλληνικῶν συμβουλεύειν, ἐνταῦθα ἤδη καταμεμψάμενος αὐτὸν ὁ Πιττάλακος, καὶ ἐκλογισάμενος, ὅςτις ὢν πρὸς οὕςτινας ἐπολέμει, εὖ ἐβουλεύσατο· δεῖ γὰρ τἀληθῆ λέγειν· ἡσυχίαν ἔσχε, καὶ ἠγάπησεν, εἴ τι μὴ προςλάβοι καινὸν κακόν. 27. ἐνταῦθα δὴ τὴν καλὴν ταύτην νίκην νενικηκὼς ὁ Ἡγήσανδρος ἀκονιτὶ, εἶχε παρ' ἑαυτῷ Τίμαρχον τουτονί. καὶ

---

qui ausus esset rempublicam attingere et conciones ad vos de rebus tam gravibus habere." Sed hoc πρῶτοι spectat ad auctoritatem, quam in concione sibi arrogabant et habebant: maxima auctoritate pollentes. Multum enim valebant Hegesander et Hegesippus, multumque sibi arrogabant. Itaque consueta hyperbole πρῶτοι appellantur.

ἐνταῦθα ἤδη] Cod. Helmst. ἐνταῦθα δὴ, quae saepe permutantur. Ἐνταῦθα ἤδη et ἐνταῦθα δὴ eadem significatione apodosi praeponuntur, ut in eam praecipuam moveant attentionem. παραπρ. 4. ἐπιστάντος δ' οὐδενὸς, ἐνταῦθα ἤδη δίδωσι ψήφισμα Φιλοκράτης: ubi cod. Harl. δή. Ib. 11. ἐπειδὴ δὲ κατεστρεψεν εἰς φιλανθρωπίαν τοὺς λόγους — — ἐνταῦθα ἤδη cet. sine varietate. Ctes. 43. ἐπειδὴ Φίλιππος — — παρέδωκε — — ἐνταῦθ' ἤδη — μετεπέμψαντο Ἀθηναίους. Legitur etiam ἐνταῦθα δὴ in apodosi sine varietate. Ctes. 31. ἀπαγαγὼν ἡμᾶς ἄπωθεν ἀπὸ τοῦ κλέμματος — — ἐνταῦθα δὴ συστρέψας γράφει. Equidem in his a Mss. auctoritate standum esse censeo.

ὅςτις ὢν πρὸς οὕςτινας ἐπολέμει]. Notandum, idem vocabulum eadem enuntiatione diversa significatione positum. Ὅςτις est quam impotens, οὕςτινας quam potentes.

27. ἐνταῦθα δὴ] Helmst. δὲ pro δή. Sed ἐνταῦθα δὴ oratione progrediente cum vi illativa et intensiva ponitur. Ctes. 21. sine varietate. Tim. 55. κἀνταῦθα δή τινα καταδρομὴν μέλλει περὶ ἐμοῦ ποιεῖσθαι. Etiam ἐνταῦθα ἤδη sic ponitur. Tim. 39. ἐνταῦθα ἤδη ἐκρίνετο ἐπὶ τὸ καταφαγεῖν τὴν πατρῴαν οὐσίαν. Sed codd. Lock. et Helmst. ἐνταῦθα δὴ Ctes. 33. ἐνταῦθα ἤδη τέτακται sine varietate. ib. 38. ἐνταῦθ' ἤδη πολλαὶ μὲν τῶν Ἀμφισσέων ἐγένοντο κατηγορίαι. Helmst. ἐνταῦθα δ' ἤδη. — Si quid inter utrumque discriminis esse statuimus, ἤδη adjunctam habet perspicuam temporis notionem.

τὴν καλὴν ταύτην νίκην νενικηκὼς] Hunc verborum ordinem dedi e codd. Mead. Lock. Helmst. Vulgo: τὴν καλὴν νίκην ταύτην νενικηκώς.

ταῦτα ὅτι ἐγὼ ἀληθῆ λέγω, πάντες ἴστε. τίς γὰρ ὑμῶν οὐ πώποτε εἰς τοὔψον ἀφῖκται, καὶ τὰς δαπάνας τὰς τουτων οὐ τεθεώρηκεν; ἢ τίς οὐ τοῖς τούτων κώμοις καὶ μοιχείαις περιτυχὼν, οὐκ ἠχθέσθη ὑπὲρ τῆς πόλεως; ὅμως δὲ, ἐπειδὴ ἐν δικαστηρίῳ ἐσμὲν, κάλει μοι Γλαύκωνα Χολαργέα, τὸν ἀφελόμενον εἰς ἐλευθερίαν τὸν Πιττάλακον, καὶ τὰς ἑτέρας μαρτυριας ἀναγίνωσκε. Μαρτυρια. „Μαρτυρει Γλαυκων Τιμαιου Χολαργευς. εγω αγομενον εις δουλειαν υπο Ηγησανδρου Πιτταλακον αφειλομην εις ελευθεριαν. χρονωι δ' υστερον ελθων προς εμε Πιτταλακος εφη βουλεσθαι διαλυθηναι τα προς Ηγησανδρον και προςπεμψας αυτωι διαλυσιν της δικης ευρεσθαι, ην τε

εἰς τοὔψον.] Bekker. Anecd. p. 307. *τοὔψον τί ἐστίν; ὅπου τὰ ὄψα πιπράσκεται.* Eurip. Schol. ad Med. 67. *ἀπὸ τῶν ἐν τοῖς τόποις ὠνόμαζον τόπους· πεσσοὺς γὰρ τοὺς τόπους τῶν κυβευτῶν, ὡς ὄψον καὶ μύρα, ἔνθα ταῦτα συνήθως ἐστί.* Vide prae ceteris Piers. ad Moer. p. 351.

τίς γὰρ ὑμῶν οὐ πώποτε — — ἢ τίς οὐ — οὐκ ἠχθέσθη] Sic constitui locum, praecipuos codices secutus. Vulgo post *ὑμῶν* additur *ὅς*, quod delevi auctoritate codd. Lock. et Helmst. Quod sequitur *οὐ* post *τίς*, Reiskius de suo mutavit in *ὅς*, inprimis offensus, opinor, repetita negatione ante *ἤχθετο.* Ea vero repetitio haud admodum rara apud Graecos, neque Aeschini inusitata. Ctes. 23. *οὐδέ γε ὁ πονηρὸς οὐκ ἄν ποτε γένοιτο δημοσίᾳ χρηστός* Ib. 64. *ἀλλ' οὐχὶ ὁ Κέφαλος — οὐχ οὕτως.* Nempe post interjecta, negatio, ne in oblivionem cadat, cum vi repetitur. Ex tragicis nonnulla habet Erfurdt in Sophocl. Ant. v. 5. 6. Add. Addam nonnulla ex oratoribus. Demosth. *περὶ Ῥοδίων ἐλευθ.* p. 156. *οὐδ' εἰ δίκαιά τις ἂν φήσειε Ῥοδίους πεπονθέναι, οὐκ ἐπιτήδειος ὁ χρόνος ἐφησθῆναι*, ubi nonnulli libri omiserunt *οὐδ'*. *Κατὰ Μειδ.* p. 532. *τὸν δὲ χορηγὸν αὐτὸν οὐδ' ὁ συγκόψας παρὰ πάντας τοὺς νόμους οὕτω φανερῶς οὐ δώσει δίκην; Κατὰ Τιμοκρ.* p. 746. *οὐδ' ἐάν τις καταλύῃ τὸν δῆμον τὸν Ἀθηναίων, ἢ λέγῃ, ἢ ἐπιψηφίζῃ παρὰ ταῦτα, οὐ πείσομαι.* Ib. p. 767. *οὐδ' ἂν εἰ δὶς τοσαῦτα γένοιθ', ὅσα νῦν ἐστὶν, οὐδ' ὁτιοῦν ἂν ὄφελος εἴη.*

διάλυσιν τῆς δίκης εὑρέσθαι] Vulgo pro *εὑρέσθαι* legitur *ἄρασθαι.* Reiskius dedit *εὕρασθαι.* Dubitarat F. A. Wolfius ad Lept. p 216., num apud genuinos Atticos *εὑράμην* in usu fuerit, et Phrynichus

αυτος ενεκαλεσατο Ηγησανδρον και Τιμαρχον, και ην Ηγησανδρος της δουλειας αυτον, και διελυθησαν ωςαυτως." Μαρτυρια. „Αμφισθενης μαρτυρει. εγω αγομενον εις δουλειαν υπο Ηγησανδρου Πιτταλακον αφειλομην εις ελευθεριαν," καὶ τὰ ἑξῆς. 28. Οὐκοῦν καὶ αὐτὸν ὑμῖν καλέσω τὸν Ἡγήσανδρον. γέγραφα δ' αὐτῷ μαρτυρίαν κοσμιωτέραν μὲν ἢ κατ' ἐκεῖνον, μικρῷ δὲ σαφεστέραν, ἢ τῷ Μισγόλᾳ. ουκ ἀγνοῶ δ', ὅτι ἀπομεῖται καὶ ἐπιορκήσει. διὰ τί οὖν αὐτὸν καλῶ ἐπὶ τὴν μαρτυρίαν; ἵν' ὑμῖν ἐπιδείξω, οἵους ἀπεργάζεται ἀνθρώπους τὸ ἐπιτήδευμα τοῦτο· ὡς καταφρονοῦντας μὲν τῶν θεῶν, ὑπερορῶντας δὲ τοὺς νόμους, ὀλιγώρως δὲ ἔχοντας πρὸς ἅπασαν αἰσχύνην. κάλει μοι τὸν Ἡγήσανδρον. Μαρτυρία. „Ηγησανδρος Διφιλου Στειριευς μαρτυρει. Οτε κατεπλευσα εξ Ελληςποντου, κατελαβον παρα Πιτταλακωι τωι κυβευτηι διατριβοντα τον Τιμαρχον τον Αριζηλου, και εξ εκεινης της γνωσεως εχρησαμην Τιμαρχωι ομιλων τηι αυτηι πραξει, ηι και το προτερον Λεωδαμαντι. — —" Οὐκ ἠγνόουν, ὅτι ὑπερόψεται

---

p. 139. diserte tradit; εὕρασθαι οὐκ ἐρεῖς προπαροξυτόνως διὰ τοῦ α, ἀλλὰ παροξυτόνως διὰ τοῦ ε, εὑρέσθαι, nec Atticorum exempla certa profert Lobeck, nec ipse inveni. Ergo rescripsi εὑρέσθαι.

28. κοσμιωτέραν μὲν ἢ κατ' ἐκεῖνον.] Magis quidem honestum (testimonium) quam quod illi conveniat, nimis honestum si ejus mores spectantur. Sic post comparativum praepositio κατὰ saepe legitur. Tim. 29. σαφέστερον ἢ κατὰ τὴν ἐμαυτοῦ φύσιν. Cf. Matthiae Gr. Gr. §. 449.

Στειριεὺς] Sic ex Bern. edidit Reiske. Vulgo Σπειραιεὺς, quod corruptum est. Stephanus Byz. Στειριά, δῆμος Ἀττικὸς Πανδιονίδος φυλῆς, θηλυκῶς καὶ οὐδετέρως. §. 26. Hegesander quidem dicitur δημότης τοῦ Διοπείθους τοῦ Σουνιέως.

ηι και το προτερον Λεωδαμαντι — —] Per aposiopesin haec dicta videntur. Auditores quidem satis intelligebant, quid sibi vellet. Sed erat tale, ut, si diserte dictum fuerit, humanitatem excederet, neque quisquam tale testimonium sui aequo animo tulisset. Supplendum ἐγὼ συνεγενόμην. Λεωδαμαντι pro Λαοδαμαντι scripsi e Mead. Sic enim hoc nomen ubique apud nostrum scribitur.

τὸν ὅρκον, ὦ Ἀθηναῖοι· ἀλλὰ καὶ προεῖπον ὑμῖν. κἀκεῖνο δέ μοι πρόδηλόν ἐστιν, ὅτι ἐπειδὴ νῦν οὐκ ἐθέλει μαρτυρεῖν, αὐτίκα πάρεισιν ἐν τῇ ἀπολογίᾳ· καὶ οὐδὲν μὰ Δία θαυμαστόν. ἀναβήσεται γάρ, οἶμαι, δεῦρο πιστεύων τῷ αὐτοῦ βίῳ, ἀνὴρ καλὸς κἀγαθὸς καὶ μισοπόνηρος· καὶ τὸν Λεωδάμαντα ὅςτις ἦν οὐ γινώσκων, ἐφ᾽ ᾧ ὑμεῖς ἀνεθορυβήσατε, τῆς μαρτυρίας ἀναγινωσκομένης. ἆρα γε προαχθήσομαι ἔτι σαφέστερον εἰπεῖν, ἢ κατὰ τὴν ἐμαυτοῦ φύσιν; 29. εἴπατέ μοι πρὸς τοῦ Διὸς καὶ τῶν ἄλλων θεῶν, ὦ Ἀθηναῖοι, ὅςτις αὐτὸν κατῄσχυνε πρὸς Ἡγήσανδρον, σὺ δοκεῖ ὑμῖν πρὸς τὸν πόρνον πεπορνεῦσθαι; ἢ τίνας οὐκ οἰόμεθ᾽ αὐτοὺς ὑπερβολὰς ποιεῖσθαι βδελυρίας, παροινοῦντας καὶ μονουμένους; οὐκ οἴεσθε τὸν Ἡγήσανδρον ἀπολογούμενον τὰς πρὸς τὸν Λεωδάμαντα πράξεις τὰς περιβοήτους, ἃς ὑμεῖς ἅπαντες σύνιστε, ὑπερήφανα τούτῳ ἐπιτάγματα ἐπιτάττειν, ὡς ταῖς τούτου ὑπερβολαῖς αὐτὸν δόξοντα μέτρια διαπεπρᾶχθαι; Ἀλλ᾽ ὅμως ὄψεσθε, ὅτι καὶ μάλα ἐπιστρεφῶς καὶ ῥητορικῶς αὐτὸς καὶ ὁ ἀδελφὸς αὐτοῦ Κρώβυλος αὐτίκα μάλα δεῦρο ἀναπηδήσαντες, ταῦτα μὲν εἶναι πολλῆς ἀβελτερίας φήσουσιν, ἃ ἐγὼ λέγω· ἀξιώσουσι δέ με μάρτυρας παρασχέσθαι διαῤῥήδην μαρτυροῦντας, ὅπου ἔπραττεν, ὅπως ἐποίει, ἢ τίς εἶδεν, ἢ τίς ἦν ὁ τρόπος· πρᾶγμα, οἶμαι, ἀναιδὲς λέγοντες. οὐ γὰρ

τὸν ὅρκον] De hoc jurejurando, quod Hegesander praestare noluit, vide supra c. 20. ἐκκλητεύεσθαι.

29. παρασχέσθαι] Hoc dedi e Mead. Lock. Helmst. Vulgo παρέχεσθαι.

ἢ τίς εἶδεν, ἢ τίς ἦν ὁ τρόπος;] Perperam Reiskius putat haec verba scholion esse, quoniam nihil aliud dicant quam praemissa. Sed in quo quis magnum ponit momentum, id per varias formulas solet enuntiare, ne scilicet res in oblivionem cadat. Ctes. 29. τὰ δέκα τάλαντα ὁρώντων, φρονούντων, βλεπόντων Παθόν ὑμῶν ὑφελόμενοι. Ib. 31. ἑτέρους αἱρεῖσθαι εἰς Ὠρεὸν πρὸς τοὺς Ὠρείτας πρέσβεις, ubi Reiske πρὸς τοὺς Ὠρείτας uncis inclusit.

πρᾶγμα - ἀναιδὲς λέγοντες] Aliquid flagitantes, quod ipsorum impudentiam satis probat.

οἴομαι ἔγωγε ὑμᾶς οὕτως ἐπιλήσμονας εἶναι, ὥστε ἀμνημονεῖν ὧν ὀλίγῳ πρότερον ἠκούσατε ἀναγινωσκομένων τῶν νόμων, ἐν οἷς γέγραπται, „εαν τις μισθωσηται τινα Αθηναιον επι ταυτην την πραξιν, η εαν τις αυτον μισθωσῃ, ενοχον ειναι τοις μεγιστοις και τοις ισοις επιτιμιοις.“ 30. Τίς οὖν οὕτω ταλαίπωρός ἐστιν ἄνθρωπος, ὅστις ἂν ἐθελήσειε σαφῶς τὴν τοιαύτην μαρτυρίαν μαρτυρῆσαι, ἐξ ἧς ὑπάρχει αὐτῷ, ἐὰν τἀληθῆ μαρτυρῇ, ἐπιδεικνύναι ἔνοχον ὄντα αὐτὸν τοῖς ἐσχάτοις ἐπιτιμίοις; οὐκοῦν ὑπόλοιπόν ἐστι τὸν πεπονθότα αὐτὸν ὁμολογεῖν. ἀλλὰ διὰ τοῦτο κρίνεται, ὅτι ταῦτα πράξας, παρὰ τοὺς νόμους ἐδημηγόρει. βούλεσθε οὖν τὸ ὅλον πρᾶγμα ἀφῶμεν, καὶ

ὧν ὀλίγῳ πρότερον ἠκούσατε ἀναγινωσκομένων τῶν νόμων] Sic dedi e Reg. 2. Lock. Helmst. pro vulgato ὀλίγῳ πρότερον ἀκούσαντας cet.

30. ταλαίπωρος] Vocabula, quae infortunii notionem habent, interdum ad mentem referuntur, quoniam mentis imbecillitas, stupiditas. gravissimum profecto est infortunium. Demosth. Ol. III. p. 34. οὐ γὰρ οὕτως ἄφρων οὐδ' ἀτυχής τις εἰμὶ ἐγὼ, ὥστε ἀπεχθάνεσθαι βούλεσθαι, μηδὲν ὠφελεῖν νομίζων. Isocr. Areop. 18. οὓς νῦν εὐφυεῖς προσαγορεύουσιν, ἐκεῖνοι δυστυχεῖς ὠνόμαζον.

ἐπιδεικνύναι] Lock. et Helmst. ἐπιδεικνύειν. Veteres Grammatici vituperant terminationes indicativi et infinitivi verborum in υμι, quae ductae sint a verbis in ύω. Corayus vero ad Isocratem T. II. p. 71. promiscue Atticos ait ύω et υμι usurpasse. Mihi videtur ad cujusvis scriptoris usum attendendum, quibus modis ac personis υω aut υμι adhibuerint. Aeschines v. c. plerumque sequitur terminationem υμι, et in praesenti infinitivi activi ubique. Ctes. 13. ἐπιδεικνύναι. Tim. 74. καταῤῥηγνύναι. Ctes. 21. ὀμνύναι. Ergo vulgata lectio minime mutanda, etsi boni codd. alteram formam habeant. Personus ad Eurip. Med. 744 monet, forma, ubi ύω pro υμι in fine verbi ponatur, numquam uti Tragicos, rarissime veteres Comicos, saepius mediae, saepissime novae comoediae poëtas. Paullatim et parce adhiberi coepta est sub mediam fere Aristophanis aetatem.

ἕκαστος ἡμῶν ψῆφον δίδωσι περὶ τοῦ σώματος, ὅστις Ἀθηναῖος ὄντως ἐστὶ, καὶ ὅστις μή. καὶ ἔγωγε, ἐπειδὰν

---

sit enim saepenumero, ut δῆμοι aut δήμων praefecti, pretio aut gratia corrupti, multos in tabulas lexiarchicas inscriberent peregrinos aut illicitis matrimoniis procreatos, quos civium numero haberi leges vetuerant. — Institutum quidem a veteribus legislatoribus erat, ut cuivis eum, qui civium tabulis per nefas irrepsisset et civilia jura sibi non debita usurpasset, reum facere, quin, si forte primo judicio damnationem pretio et largitionibus redemisse videretur, iterum in judicium vocare liceret; quae accusationes ξενίας et δωροξενίας γραφαὶ dicebantur. (Harpocration et Suidas in δωροξενία Pollux VIII, 40. Beck. Anecd. 240.) Sed quum ne sic quidem ab omni illorum hominum fraude satis caveri posset, alia quoque ratio inita est, ut ipsis δημόταις de insitivis civibus judicium committeretur. Auctorem hujus instituti Demophilum quendam fuisse tradunt, Archia, ut videtur, archonte, hoc est, Olymp. XC. 2. Erat autem ejus modi. Si quando suspicio incidisset, esse quosdam in lexiarchicis tabulis cives insitivos (παρεγγράπτους Attici dicunt) jubebantur δῆμοι tabularum suarum recognitionem instituere et eos, qui injuria inscripti essent, ejicere. Constituto igitur die singuli δῆμοι, e suo quisque pago, in urbem conveniebant. Cuique conventui praeerat Demarchus, et una fortassis cum Demarcho senator aliquis, qui ejusdem δήμου esset. — — Postquam convenerant δημόται, primum omnium jusjurandum eos dare oportebat, se juste atque ex animi sententia, nec gratiae aut inimicitiae obsequentes, suffragium laturos esse. Tunc apertis tabulis omnium, qui inscripti erant, nomina recitabantur. Δημόται de singulis interrogabantur. Licuit cuivis surgere et insitivum aliquem esse arguere. Criminationem sequebatur defensio cum probationibus et testimoniis ab utraque parte. Denique in suffragium δημόται mittebantur, aut, si tempus non suppeteret, res in posterum diem differebatur. Qui ejecti erant, quod ἀποψηφισθῆναι Attici dixerunt, hi, si acquiescerent δημοτῶν judicio, nihil amplius multabantur, nisi quod civitate privati, in inquilinorum statum redibant. Sed si qui se putarent injuste a δημόταις ejectos esse, ad aliud judicium provocare poterant, ita tamen, ut, si hic quoque condemnati essent, servi fierent ac venum darentur. Eubulidea Demosthenis una hodie ex hoc genere superest." Schömann de Comit. Atheniens. p. 381. sqq.

ψῆφον δίδωσι] Rarius ψῆφον διδόναι, ut hoc loco, dicitur de

προσίω πρὸς τὸ δικαστήριον, καὶ ἀκροάσωμαι τῶν ἀγωνιζομένων, ὁρῶ, ὅτι ἀεὶ τὸ αὐτὸ ἰσχύει παρ' ὑμῖν. ἐπειδὰν γὰρ εἴπῃ ὁ κατήγορος· ἄνδρες δικασταὶ, τούτου κατεψηφίσαντο οἱ δημόται ὀμόσαντες, οὐδενὸς ἀνθρώπου, οὔτε κατηγορήσαντος, οὔτε καταμαρτυρήσαντος, ἀλλ' αὐτοὶ συνειδότες· εὐθὺς, οἶμαι, θορυβεῖτε ὑμεῖς, ὡς οὐ μετὸν τῷ κρινομένῳ τῆς πόλεως. οὐδὲν γὰρ, οἶμαι, δοκεῖ προςδεῖσθαι ὑμῖν λόγων οὐδὲ μαρτυρίας, ὅσα τις σαφῶς οἶδεν αὐτός. 33. φέρε δὴ, πρὸς τοῦ Διὸς, εἰ ὥςπερ περὶ τοῦ γένους, οὕτω καὶ περὶ τοῦ ἐπιτηδεύματος τούτου ἐδέησε δοῦναι ψῆφον Τίμαρχον, εἴτε ἔνοχός ἐστιν, εἴτε μή· ἐκρίνετο δὲ τὸ πρᾶγμα ἐν τῷ δικαστηρίῳ· εἰςήγετο δὲ εἰς ὑμᾶς, ὥςπερ νῦν· μὴ ἐξῆν δ' ἐκ τοῦ νόμου ἢ τοῦ ψηφίσματος, μήτε ἐμοὶ κατηγορεῖν, μήτε τούτῳ ἀπολογεῖσθαι· ὁ δὲ κῆρυξ ὁ νυνὶ παρεστηκὼς ἐμοὶ, ἐπηρώτα ὑμᾶς τὸ ἐκ τοῦ νόμου κήρυγμα, „των ψηφων· η τετρυπημενη, οτωι δοκει πεπορνευσθαι Τιμαρχος, η δε πληρης, οτωι μη" τί ἂν ἐψηφίσασθε; ἀκριβῶς οἶδ', ὅτι κατέγνωτ' ἂν αὐτοῦ. εἰ δή τις

---

eo, qui in caussa est, ut de eo ipso in suffragia sit eundum. *Διδόναι ψῆφον τῷ δήμῳ* Epistata dicitur, quum populum in suffragia mittit. Ut nostro loco, legitur §. 33. *εἰ-ἐδέησε δοῦναι ψῆφον Τίμαρχον, εἴτε ἔνοχός ἐστιν εἴτε μή*: ubi locum tentant viri docti. Sed nihil mutandum, ut monuit etiam Schömann l. l. p. 122.

προσίω πρὸς τὸ δικαστήριον] *Πρὸς* addidit Reiske e Coisl. Regg. 1. et 2. Lock. Helmst. — Mead. habet *εἰς*, quod facile praebere potest glossae suspicionem. Sed quamquam interdum verbis cum praepositione compositis, praepositione non repetita, casus jungatur, quem praepositio flagitat, Aeschini tamen hoc non est in usu, nec usquam *προςιέναι* adhibet cum accusativo sine praepositione.

εὐθὺς, οἶμαι, θορυβεῖτε ὑμεῖς] Jurinus *οἶμαι* deleri vult, ut plane superfluum et sensum turbans. Sed inest in eo lenis ironia cum affirmatione.

τετρυπημένη-πλήρης] Calculi nigri, qui condemnabant, erant perforati, albi, qui absolvebant, integri. Aristoph. Schol. ad Vesp. 981. Petitus Legg. Att. L. IV. Tit. IV.

με ἔροιτο ὑμῶν, σὺ δὲ τί οἶσθα, εἰ ἡμεῖς ἂν τούτου κατεψηφισάμεθα; εἴποιμ᾽ ἄν, διότι ἐπαῤῥησιάσασθέ μοι, καὶ διείλεχθε· καὶ ὁπότε καὶ ὅπου ἕκαστος, ἐγὼ ὑμᾶς ὑπομνήσω. ὅταν οὑτοσὶ ἐν τῷ δήμῳ ἀναβῇ ἐπὶ τὸ βῆμα· καὶ ἡ βουλή, ὅτε ἐβούλευσε πέρυσιν· ἢ ἐὰν μνησθῇ τειχῶν ἐπισκευῆς ἢ πύργου· ἢ ὡς ἀπήγετό ποί τις· εὐθὺς ἐγελᾶτε καὶ ἐβοᾶτε, καὶ αὐτοὶ ἐλέγετε τὴν ἐπωνυμίαν τῶν ἔργων, ὧν σύνιστε αὐτῷ. καὶ τὰ μὲν πολλὰ καὶ παλαιὰ ἐάσω. τὰ δὲ ἐν αὐτῇ τῇ ἐκκλησίᾳ γενόμενα, ὅτε ἐγὼ τὴν ἐπαγγελίαν ταύτην Τιμάρχῳ ἐπήγγειλα, ταῦθ᾽ ὑμᾶς ἀναμνῆσαι βούλομαι.

σὺ δὲ τί οἶσθα] Sic verba collocavi, secutus codd. Mead. Lock. et Helmst. Vulgo *τί δὲ σὺ οἶσθα.* Quod recepi, itam magis simulat.

ὅταν οὑτοσὶ cet.] Locus difficilis, qui vix sine Mss. novorum ope restitui possit. Hariolor ego: *ὅτε οὑτοσὶ ἐν τῷ δήμῳ ἀνέβη ἐπὶ τὸ βῆμα, καὶ ἡ βουλὴ ὅτε ἐβούλευσε πέρυσιν, ὅτ᾽ ἀνεμνήσθη τειχῶν ἐπισκευῆς ἢ πύργου, ἢ ὡς ἀπήγετο ποί τις* cet. *Ὅτε* pro *ὅταν* scripsi e conjectura, *ἀνέβη* pro *ἀναβῇ* e Bern. Pro *ἐὰν μνησθῇ* Mead. habet *ὅταν ἐμνήσθη*, unde feci *ὅτ᾽ ἀνεμνήσθη.* „Quum hicce in concione suggestum ascendebat et anno praecedente in senatu quum meminerat murorum restitutionis et turrium, aut quo quis esset abducendus.“ Quod ad sententiam attinet, frustra, opinor, interpretes sudant, usitatam obscoenitatis metaphoram in singulis verbis evestigantes. Fieri solet, ut, si quis obscoenitatis infamia laboret, in hanc partem, quaecunque dicuntur, transferantur, et quo obscurior est metaphora, eo clariorem risum movent *οἱ εὐφυεῖς*, ut scilicet ingeniosi videantur. Quam late pateat ejusmodi allusionum ambitus, intelligitur ex nota Rhunkenii ad Rutil. Lup. p. 258. sqq.

ἐπαγγελίαν — ἐπήγγειλα] „Falso Reiskius h. l. *ἐπαγγελίαν* idem quod *δοκιμασίαν* esse dicit. *Ἐπαγγελίαν ἐπαγγεῖλαι* eodem modo dictum est, quo *μάχην μάχεσθαι, γραφὴν γράφεσθαι*, aliaque quamplurima. Sed *δοκιμασία* est ipsum judicium, ut Tim. 1. 13. *Ἐπαγγελία* autem est accusationis denunciatio, quam sequitur *δοκιμασία*, s. judicium. Itaque non absurde Ulpianus ad Demosth. adv. Androt. p. 388. 43. *ἐπαγγελίαν δίκην* esse dicit *πρὸς δοκιμασίαν τοῦ βίου*, quamquam *δίκης* nomine non accurate utitur.“ Schömann l. l. p. 241. not. Cf. etiam Tim. 26.

34. τῆς γὰρ βουλῆς τῆς ἐν Ἀρείῳ πάγῳ πρόσοδον ποιουμένης πρὸς τὸν δῆμον κατὰ τὸ ψήφισμα τὸ τούτου, ὃ οὗτος εἰρήκει περὶ τῶν οἰκήσεων τῶν ἐν τῇ Πνυκί· ἦν μὲν ὁ τὸν λόγον λέγων ἐκ τῶν Ἀρεοπαγιτῶν Αὐτόλυκος· καλῶς, νὴ τὸν Δία τὸν Ὀλύμπιον καὶ τὸν Ἀπόλλω, καὶ σεμνῶς καὶ ἀξίως τοῦ συνεδρίου ἐκείνου βεβιωκώς· ἐπειδὴ δέ που προϊόντος τοῦ λόγου εἶπεν, ὅτι τό γε εἰσήγημα τὸ Τιμάρχου ἀποδοκιμάζει ἡ βουλή, καὶ περὶ τῆς ἐρημίας ταύτης καὶ τοῦ τόπου τοῦ ἐν τῇ Πνυκὶ, μὴ θαυμάσητε, ὦ Ἀθηναῖοι, ἔφη, εἰ Τίμαρχος ἐμπειροτέρως ἔχει τῆς βουλῆς τῆς ἐξ Ἀρείου πάγου· ἀνεθορυβήσατε ὑμεῖς ἐνταῦθα, καὶ ἔφατε τὸν Αὐτόλυκον ἀληθῆ λέγειν· εἶναι γὰρ αὐτὸν τούτων ἔμπειρον. ἀγνοήσας δὲ ὑμῶν τὸν θόρυβον ὁ Αὐτόλυκος, μάλα σκυθρωπάσας καὶ διαλιπὼν εἶπεν· ἡμεῖς μέντοι, ὦ Ἀθηναῖοι, ἔφη, οἱ Ἀρεοπαγῖται οὔτε κατηγοροῦμεν Τιμάρχου, οὔτε ἀπολογούμεθα· οὐ γὰρ ἡμῖν πάτριόν ἐστιν· ἔχομεν δὲ τοιαύτην τινὰ συγγνώμην

---

34. τῆς - βουλῆς - πρόσοδον ποιουμένης] Πρόσοδον ποιεῖσθαι, ut phrasin propriam de iis, qui in concione prodeunt consilia daturi, illustravit Hemsterhusius ad Lucian. T. I. p. 33. Tulerat scilicet psephisma Timarchus, ut de aedificiis circa Pnycem reficiendis Areopagitarum sententia exquireretur, iique, quid sibi videretur, populo renuntiarent. Neque vero quidquam ad universam Areopagi auctoritatem hoc psephisma pertinebat, ut bene contra Meursium monuit Schömann l. l. p. 294. not.

ὁ Αὐτόλυκος] Articulus accessit ex Helmst.

ὦ Ἀθηναῖοι, ἔφη] Lock. et Helmst. non habent ἔφη: parum curate. Nam ante vel post allocutionem ἔφη, εἶπεν saepe infertur, ubi necessarium non est, ut faciunt etiam hodierni populi, in primis Germani, narrantes. Sic mox Reiske ex cod. Mead. ἡμεῖς μέντοι, ἔφη, ubi vulgo ἔφη deest. Saepe librarii hac in re peccarunt. Vide Heindorf ad Plat. Phaedon. §. 148.

οὐ γὰρ ἡμῖν πάτριόν ἐστιν] Primae edd. et fortasse etiam Mss. habent πατρικόν, quod mutavit Wolfius. Πάτρια dici τὰ ἤθη καὶ τὰ

Τιμάρχῳ. οὗτος ἴσως, ἔφη, ᾠήθη ἐν τῇ ἡσυχίᾳ ταύτῃ μικρὸν ἡμῶν ἑκάστῳ ἀνάλωμα γίνεσθαι. καὶ πάλιν, ἐπὶ τῇ ἡσυχίᾳ καὶ τῷ μικρῷ ἀναλώματι, μείζων ἀπήντα παρ᾽ ὑμῶν μετὰ γέλωτος θόρυβος. ὡς δ᾽ ἐπεμνήσθη τῶν οἰκοπέδων καὶ τῶν λάκκων, οὐδ᾽ ἀναλαβεῖν αὐτοὺς ἠδύνασθε. ἔνθα δὴ καὶ παρέρχεται Πύῤῥανδρος ἐπιτιμήσων ὑμῖν καὶ ἤρετο τὸν δῆμον, εἰ οὐκ αἰσχύνοιντο γελῶντες παρούσης

νόμιμα καὶ τὰ μυστήρια καὶ τὰς ἑορτὰς monent Glossographi. Cf. Hermann. ad Eurip. Med. v. 420. Nempe Areopago antiquitus solemne erat, rem ipsam, nulla cujuscunque rei alienae ratione habita, investigare.

οἰκοπέδων καὶ τῶν λάκκων] Suidas *οἰκόπεδον, ἔρημον κατάπτωμα οἴκου.* Idem *Λάκκος. Ἀθηναῖοι καὶ οἱ ἄλλοι τῶν Ἑλλήνων ὀρύγματα ὑπὸ τὴν γῆν ποιοῦντες εὐρύχωρα καὶ στρόγγυλα καὶ τετράγωνα, καὶ ταῦτα κονιῶντες οἶνον ὑπεδέχοντο καὶ ἔλαιον εἰς αὐτὰ καὶ ταῦτα λάκκους ἐκάλουν. Τοῖς οἰκοπέδοις καὶ λάκκοις* homines obscoenos ad patranda facinora sua abusos fuisse, credibile; alii mulierum corpora et membra, quorum abusus fiebat, intelligunt. Fortasse in vocabulo *λάκκος* allusionem videbant ad vocabulum *λακκόπρωκτος* et *λακκοπρωκτία*: de quo vide Toupium in addendis ad Theocr. T. II. p. 428. edit. Heind.

οὐδ᾽ ἀναλαβεῖν αὐτοὺς ἠδύνασθε] *Ἠδύνασθε* pro *ἐδυνήθητε* dedi ex Lock. et Helmst. Imperfectum, quod actionis durantis est, praestat. *Αὐτοὺς*, i. q. *ὑμᾶς αὐτούς.* Elmslejus, qui ad Eurip. Heracl. 144. Sophoclem et Euripidem hoc non ita usurpasse, persuasum habebat, ipse se in viam reduxit ad Bacch. v. 722. Nos ex Demosthene satis multa attulimus in Demosthen. p. 71. Ut secundae personae pronomen, apud nostrum alio loco suspectum fuit, Ctes. 81. *βούλει σε θῶ καὶ φοβηθῆναι καὶ χρήσασθαι τῷ ἑαυτοῦ τρόπῳ* ubi Marklandus vult *σεαυτοῦ.* Hermannus ad Soph. Trach. 451. monet, *αὑτοῦ* initio poëtarum, et in his tragicorum licentia de prima secundaque persona dictum esse, inde paullatim in communem usum venisse, ac primo in plurali, ne opus esset *ἡμῶν αὐτῶν, ὑμῶν αὐτῶν* dicere. Inde magis frequentari coepit, etiam in prosa oratione, ut fere exquisita paullatim vulgaria fieri solent.

Ἔνθα δὴ καὶ παρέρχεται] Sic ex Helmst. dedi pro vulgato *ἔνθα καὶ παρ. Ἔνθα δὴ* frequens in oratione progredienti, cum vi,

τῆς βουλῆς τῆς ἐξ Ἀρείου πάγου. ὑμεῖς δ' ἐξεβάλετε αὐτὸν, ὑπολαβόντες· ἴσμεν, ὦ Πύῤῥανδρε, ὅτι οὐ δεῖ γελᾶν τούτων ἐναντίον· ἀλλ' οὕτως ἰσχυρόν ἐστιν ἡ ἀλήθεια, ὥστε πάντων ἐπικρατεῖ τῶν ἀνθρωπίνων λογισμῶν. Ταύτην ἐγὼ ὑπολαμβάνω τὴν μαρτυρίαν μεμαρτυρῆσθαι ἡμῖν ὑπὸ τοῦ δήμου τῶν Ἀθηναίων, ἣν ἁλῶναι ψευδομαρτυριῶν οὐ καλῶς ἔχει. οὐκοῦν ἄτοπον ἂν εἴη, ὦ Ἀθηναῖοι, εἰ μηδὲν μὲν ἐμοῦ λέγοντες αὐτοὶ βοᾶτε τὴν ἐπωνυμίαν τῶν ἔργων, ὧν σύνιστε τούτῳ, ἐμοῦ δὲ λέγοντος ἐπιλέλησθε· καὶ, μὴ γενομένης μὲν κρίσεως περὶ τοῦ πράγματος, ἥλω ἄν, γεγονότος δὲ ἐλέγχου, ἀποφεύξεται. 35. ἐπειδὴ δὲ ἐμνήσθην τῶν διαψηφίσεων, καὶ τῶν τοῦ Δημοφίλου πολιτευμάτων, βούλομαί τι καὶ ἄλλο παράδειγμα περὶ τούτων εἰπεῖν. ὁ γὰρ αὐτὸς οὗτος ἀνὴρ καὶ πρότερόν τι τοιοῦτο πολίτευμα ἐπολιτεύσατο. ᾐτιάσατό τινας εἶναι, οἵπερ ἄρα ἐνεχείρουν συνδεκάζειν τὴν ἐκκλησίαν καὶ τἄλλα

ἐξεβάλετε αὐτὸν] Revocavi ἐξεβάλετε, quod Reiskius e solo Mead. in ἐξεβάλλετε mutavit. Res est momenti, non durans. Ἐκβάλλειν autem oratores dicuntur, quibus cum severitate silentium imponitur.

μεμαρτυρῆσθαι ἡμῖν] Sic dedi cum Wolfio, quamquam nescio an Mss. ὑμῖν habeant, perpetua confusione. Aeschines dicit, hoc testimonium esse in suam ipsius rem.

ἥλω] Atticistae nonnulli monent, Atticos dicere ἑάλωκα et ἑάλων, non ἥλωκα et ἥλων. In nostro quidem scriptore dubium, an numquam dixerit ἑάλων. Hic quidem libri omnes ἥλω, ut παραπρ. 5. Ὄλυνθος ἥλω. Ibidem 4. est in edd. ἑάλω ὑπὸ λῃστῶν; sed cod. Harl. habet ἥλω.

35. συνδεκάζειν] Sic Mss.; at edd. antt. συνδικάζειν. Bekker. Anecd. p. 236. Δεκάζειν, τὸ διαφθείρειν τοὺς δικαστὰς ἢ ἐκκλησίαν χρήμασι καὶ δώροις. Pollux VIII, 42. Δώρων κατὰ τοῦ ἐπὶ δώροις δικάσαντος ἦν ἡ γραφή. δεκασμοῦ δὲ κατὰ τοῦ διαφθείραντος. καὶ ὁ μὲν δεκάζειν, ὁ δὲ δεκάζεσθαι ἐλέγετο. Sic paullo post τὸν μὲν, (διαφθείροντα) δεκάζειν, τὸν δὲ, (διαφθειρόμενον) δεκάζεσθαι. „Largitiones non minus in Atheniensium comitiis quem alicubi, versari saepissime solebant, queritur que Isocrates (Symmach. p. 400. Ed. W.) suo tempore, ut quis impudentissime largitus sit, ita

δικαστήρια, ὥςπερ καὶ νῦν Νικόστρατος· καὶ περὶ τούτων κρίσεις αἱ μὲν ἐγένοντο πάλαι, αἱ δὲ νεωστὶ, αἱ δὲ νῦν ἔτ' εἰσί. φέρε δὴ, πρὸς τοῦ Διὸς καὶ τῶν θεῶν, εἰ ἐπὶ τὴν αὐτὴν ἐτράποντο ἀπολογίαν, ἥνπερ Τίμαρχος νυνὶ, καὶ οἱ συναγορεύοντες αὐτῷ, καὶ ἠξίουν διαῤῥήδην τινὰ μαρτυρεῖν περὶ τῆς αἰτίας, ἢ τοὺς δικαστὰς μὴ πιστεύειν· ἅπασα δήπου ἀνάγκη ἦν ἐκ τοῦ λόγου τούτου μαρτυρεῖν, τὸν μὲν, ὡς ἐδέκαζε, τὸν δὲ, ὡς ἐδεκάζετο, προκειμένης ἑκατέρῳ ζημίας ἐκ τοῦ νόμου θανάτου· ὥςπερ ἐνθάδε, ἐάν τις μισθώσηταί τινα Ἀθηναίων ἐφ' ὕβρει, καὶ πάλιν, ἐάν τις Ἀθηναίων ἐπὶ τῇ τοῦ σώματος αἰσχύνῃ ἑκὼν μισθαρνῇ. 36. ἔστιν οὖν ἢ μάρτυς, ὅςτις ἐμαρτύρησεν, ἢ κατήγορος, ὃς ἐνεχείρησε τοιαύτην ποιεῖσθαι τὴν ἀπόδειξιν τοῦ πράγματος; οὐ δῆτα. τί οὖν; ἀπέφυγον οἱ

---

maxime imperatorem creari, et quo quis plures cives corruperit, eo ampliores magistratus adipisci, quamquam capitali judicio illud crimen (δεκασμοῦ) leges vindicari jubeant." Schömann l. l. p. 327. s. Demosth. Philipp. III. p. 121. R. Συνδεκάζειν τὴν ἐκκλησίαν totam concionem corrumpere.

αἱ μὲν ἐγένοντο πάλαι, αἱ δὲ νεωστὶ, αἱ δὲ νῦν ἔτ' εἰσί] Sic scripsi ductu Mss. Lock. et Helmst. Vulgo *αἱ μὲν πάλαι γεγόνασιν, αἱ δὲ νῦν ἐνεστᾶσιν ἔτι.* Codd., quos nominavi, habent *ἐγένοντο πάλαι, αἱ δὲ νεωστὶ ἔτ' εἰσί*: unde partim jam Reiskius vidit id restituendum, quod dedi.

εἰ ἐπὶ τὴν αὐτὴν ἐτράποντο ἀπολογίαν, ἥνπερ Τίμαρχος νυνὶ] Praepositio ἐπὶ repetenda ad ἥν περ. Fit enim saepe, ut, quae praepositio addita sit substantivo relativum statim antecedenti, ea ad relativum ipsum assumenda sit. Quamquam interdum viri docti offenderunt. *Παραπρ.* 23. *ἐν ἐκείνῃ μεν οὖν ἡμέρᾳ, ᾗ ὑμεῖς ἐψηφίσασθε τὴν εἰρήνην, οὐδεμία μνεία ἐγένετο περὶ Κερσοβλέπτου*; ubi Scaliger vult ἐν ᾗ. Multa habet variorum scriptorum loca God. Stallbaum et qui ab eo laudantur ad Plat. Phileb. p. 34. Andocides *περὶ μυστηρίων* p. 6. R. *ἰέναι ἐπὶ τὸ μειράκιον, ὃ ὁ Πυθόνικος ἐκέλευε.* ubi Reiskius verum vidit inter falsa, cui non obsecuti sunt Valckenaer et Sluiter Lett. Andocc. p. 108.

ἐὰν τις μισθώσηται] Ἐὰν dedi pro ἂν ex Mead. et Helmst.

κρινόμενοι; μὰ τὸν Ἡρακλέα, θανάτῳ ἐζημιώθησαν. πολὺ, νὴ τὸν Δία καὶ τὸν Ἀπόλλω, ἔλαττον ἁμάρτημα ἡμαρτηκότες τούτου τοῦ ἀνθρώπου. ἐκεῖνοι μέν γε οἱ ταλαίπωροι, οὐ δυνάμενοι γῆρας ἅμα καὶ πενίαν ὑπενεγκεῖν, τὰ μέγιστα τῶν ἐν ἀνθρώποις κακῶν, ταύταις ἐχρήσαντο ταῖς συμφοραῖς· οὗτος δ᾽ οὐκ ἐθέλων τὴν ἑαυτοῦ βδελυρίαν κατέχειν. εἰ μὲν τοίνυν ἦν ὁ ἀγὼν οὗτος ἐν πόλει ἐκκλήτῳ, ὑμᾶς ἂν ἔγωγε ἠξίωσα μάρτυράς μοι γενέσθαι, τοὺς ἄριστα εἰδότας, ὅτι ἀληθῆ λέγω· εἰ δ᾽ ὁ μὲν ἀγών ἐστιν Ἀθήνησιν, οἱ δ᾽ αὐτοὶ δικασταί μοι καὶ μάρτυρές ἐστὲ τῶν λόγων, ἐμοὶ μὲν ἀναμιμνήσκειν προςήκει, ὑμᾶς δέ μοι μὴ ἀπιστεῖν. καὶ γάρ ἔμοιγε δοκεῖ Τίμαρχος, ὦ Ἀθηναῖοι, οὐχ ὑπὲρ αὑτοῦ μόνον ἐσπουδακέναι, ἀλλὰ καὶ περὶ τῶν ἄλλων τῶν ταὐτὰ διαπεπραγμένων αὐτῷ· εἰ γὰρ ἡ μὲν πρᾶξις αὕτη ἔσται, ὥςπερ εἴωθε γίνεσθαι, λάθρα, καὶ ἐν ἐρημίαις, καὶ ἐν ἰδίαις οἰκίαις· ὁ δὲ ἄριστα μὲν εἰδὼς καταισχύνας τινὰ τῶν πολιτῶν, ἐὰν τἀληθῆ μαρτυρήσῃ, ἔνοχος ἔσται τοῖς μεγίστοις ἐπιτιμίοις· ὁ δὲ κρινόμενος, καταμεμαρτυρημένος ὑπὸ τοῦ ἑαυτοῦ βίου, καὶ τῆς ἀληθείας, ἀξιώσει μὴ ἐξ ὧν γινώσκεται, ἀλλ᾽ ἐκ τῶν μαρτυριῶν κρίνεσθαι· ἀνῄρηται ὁ νόμος καὶ ἡ ἀλήθεια· καὶ δέδεικται φανερὰ ὁδὸς, δι᾽ ἧς οἱ τὰ μέγιστα

---

36. *Μὰ τὸν Ἡρακλέα, θανάτῳ ἐζημιώθησαν*] Vulgo *ἐπεὶ θανάτῳ ἐζημιώθησαν*. Delevi *ἐπεὶ* auctoritate Lock. et Helmst. Fortior enim est *ἀσύνδετος* oratio.

ἐν πόλει ἐκκλήτῳ] Bekker. Anecd. p. 247. *ἔκκλητος πόλις ἐστὶν ἣν ἐκκαλεῖταί τις εἰς τὸ κρῖναι αὐτῷ ἀγῶνά τινα, δῆλον ὅτι φεύγων τὴν πρώτην ὡς πρὸς ἔχθραν ἢ χάριν κρίνουσαν. ἐξῆν δὲ τοῖς ξένοις μάλιστα ἐκκαλεῖσθαι, τοῖς δὲ πολίταις ἥκιστα. ὡσαύτως δὲ καὶ δικαστήριον ἔκκλητον λέγουσιν.* Idem docet Etymolog. M.

ἐὰν τἀληθῆ μαρτυρήσῃ] *Μαρτυρήσῃ* pro *μαρτυρῇ* scripsi e Mead. Lock. Helmst. Aoristus conjunctioni *ἐὰν* et similibus junctus vim habet futuri exacti, cui respondet futurum actionis durantis *ἔσται*, pro quo perperam Helmst. *ἐστί*.

τως οὐδεὶς ἔτι οὐδέν· ἡ δὲ βδελυρὰ φύσις καὶ ἀνόσιος ἀεὶ ἡ τούτου τῶν αὐτῶν ἐπεθύμει, καὶ καθ' ὑπερβολὴν ἀκρασίας ἕτερον ἐφ' ἑτέρῳ ἐπίταγμα ἐπέταττε, καὶ μηδὲν ἀπεφέρετο εἰς τὸ καθ' ἡμέραν ἔθος· ἐνταῦθα ἤδη ἐτράπετο ἐπὶ τὸ καταφαγεῖν τὴν πατρῴαν οὐσίαν. καὶ οὐ μόνον κατέφαγεν, ἀλλ', εἰ οἷόν τ' εἰπεῖν, καὶ κατέπιε. καὶ γὰρ οὐδὲ τῆς ἀξίας ἕκαστον τῶν κτημάτων ἀπεδίδοτο, οὐδ' ἐδύνατ' ἀναμένειν, τὸ πλέον, οὐδὲ τὸ λυσιτελοῦν, ἀλλὰ τοῦ ἤδη εὑρίσκοντος ἀπεδίδοτο. οὕτως ἠπείγετο σφόδρα πρὸς

ἔξωρος factus esse, non demum fieri. Videtur etiam scholiastes sic legisse, explicans, ἀνὴρ ἤδη ἐγεγόνει. In seqq. imperfectum ἐδίδου bonum est. Hoc enim ἐκ τοῦ ἔξωρον γενέσθαι consequebatur et durabat.

καὶ μηδὲν ἀπεφέρετο] Quamquam μηδὲν desit in omnibus Mss., tamen recte illud videtur Wolfius addidisse. Reiskius quidem ἀποφέρεσθαι de eo dici ait, qui, vel invitus et repugnans, praeceps et occoecatus aufertur. Sed locum, in quo haec significatio obtineat, nec ille attulit, nec ego habeo in promtu. Contra μηδὲν ἀποφέρεσθαι eleganter significat, nihil accipere pro praestita opera: quod contextui aptissimum est. Sumptus indies fiebant majores, reditus autem minores. Hinc quum libidinibus moderari non posset, cogebatur, quae a patre haereditate acceperat, devorare.

ἀλλ' εἰ οἷόν τ' εἰπεῖν καὶ κατέπιε] Adnotavit hunc usum verbi καταπίνειν ut novum Pollux VI, 20. Καταφαγεῖν quidem frequens jam inde ab Homero, qui primus adhibuit Od. III, 135 et al. Latini etiam comedere, devorare. ἐκπίνειν tamen et καταπίνειν hac significatione illustrat Valckenaer ad Hippolyt. 626. Hic Aeschines vocabulo usus ad notandum omne genus gulae.

τοῦ - εὑρίσκοντος] Mss. plurimi τοῦ εὑρισκομένου pro captu librariorum. Sed in Lock. alterum servatum. Locus Xenophontis Memorr. II, 5, 5. ἀποδίδοται τοῦ εὑρόντος defendit nostrum, nostroque defenditur. Εὑρίσκειν interdum de pretio dici, quid valeat res, dubitari non potest, et apparet ex loco apud Pollucem IX, 79., quem laudavit. Koenius ad Greg. Cor. p. 281. edit. nov. Hinc τὸ εὑρίσκον pretium, et, ut in derivatis ab εὑρίσκειν saepe notio inest levitatis et vilitatis, sic in hoc participio.

τὰς ἡδονάς. 40. τούτῳ γὰρ κατέλιπεν ὁ πατὴρ οὐσίαν, ἀφ' ἧς ἕτερος μὲν ἂν καὶ ἐλειτούργει, οὗτος δὲ οὐδὲ αὑτῷ διαφυλάξαι ἐδυνήθη. οἰκίαν μὲν γὰρ ὄπισθεν τῆς πόλεως, ἐσχατιὰν δὲ Σφηττοῖ, Ἀλωπεκῆσι δὲ ἕτερον χωρίον· χωρὶς δὲ οἰκέτας δημιουργοὺς τῆς σκυτοτομικῆς τέχνης ἐννέα ἢ δέκα· ὧν ἕκαστος τούτῳ δύ' ὀβολοὺς ἀποφορὰν ἔφερε τῆς ἡμέρας, ὁ δ' ἡγεμὼν τοῦ ἐργαστηρίου, τριώβολον· ἔτι δὲ πρὸς τούτοις, γυναῖκα ἀμόργινα ἐπισταμένην ἐργάζεσθαι, καὶ ἔργα λεπτὰ εἰς τὴν ἀγορὰν ἐκφέρουσαν, καὶ ἄνδρα ποικιλτήν, καὶ

---

40. ὄπισθεν τῆς πόλεως] Ὄπισθεν si de situ dicitur, borealis loci pars intelligitur, sicut per πρόσθεν meridionalis. Similiter omnes linguae, ut nos oben, unten.

ἐσχατιὰν] Bekker Anecd. p. 256. τὰ χωρία λέγουσι τὰ πρὸς τοῖς ὅροις τῆς χώρας ἢ τὰ πρὸς τῇ θαλάσσῃ. Significat etiam χωρίον in extremis finibus δήμου Ἀττικοῦ, ut hic. Cf. Hemsterhus. ad Lucian. T. 1. p. 143.

ἀποφορὰν ἔφερε] Sic dedi e Reg. 2. Lock. Helmst. Jam supra §. 10. monui, librariis saepe cognatorum conjunctionem offensioni fuisse. Vulgo ἀπέφερε. Ἀποφορὰ autem, ut Ammonius tradit, ἐστὶ τὰ ἀπὸ τῶν δούλων τοῖς δεσπόταις παρεχόμενα χρήματα. Vide Valesium ad Harpocrat. p. 241 s.

τριώβολον] „Grofsen Einflufs hatte die Kunst auf den Werth eines Sclaven. Wenn der Bergwerkssclave nur einen Obolos täglich abwarf, so trug ein Lederarbeiter zwey, und ein Vorsteher der Werkstätte drey Obolen. Für die geschickten Sclaven scheint der Werth von fünf Minen kein ungewöhnlicher gewesen zu seyn." Boeckh Staatshaushaltung T. I. p. 75.

ἀμόργινα] „Die Amorgischen Zeuge waren sehr fein, beynahe durchsichtig und gefärbt, und sollen ihren Nahmen von der Insel Amorgus haben, (einer der Sporadischen Inseln im Aegäischen Meere), wo sie am besten verfertiget wurden, obgleich andere denselben von der Farbe oder der Pflanze (ἀμόργη) herleiten, von welcher letztern vermuthlich die Insel selbst genannt war." Boeckh l. l. p. 115.

ποικιλτὴν] Pollux VII. 34. ποικιλτὴν δὲ Αἰσχίνης Τιμάρχου κατηγορῶν εἴπεν. ἔστι δὲ καὶ τοῦτο ὑφαντικὸν εἶδος, ἡ δὲ τέχνη ποικιλ-

ὀφείλοντάς τινας αὐτῷ ἀργύριον καὶ ἔπιπλα. ὅτι δὲ ταῦτ' ἀληθῆ λέγω, ἐνταῦθα μέντοι νὴ Δία σαφῶς πάνυ καὶ διαῤῥήδην ἔργῳ μαρτυροῦντας ὑμῖν τοὺς μάρτυρας παρέξομαι. οὐδεὶς γὰρ κίνδυνος, ὥςπερ ἐκεῖ, οὐδ' αἰσχύνη πρόςεστιν οὐδεμία τῷ τἀληθῆ μαρτυροῦντι. τὴν μὲν γὰρ οἰκίαν τὴν ἐν ἄστει ἀπέδοτο οὗτος Ναυσικράτει, τῷ κωμικῷ ὑποκριτῇ· ὕστερον δ' αὐτὴν ἐπρίατο παρὰ τοῦ Ναυσικράτους εἴκοσι μνῶν Κλεαίνετος ὁ χοροδιδάσκαλος· τὴν δ' ἐσχατιὰν ἐπρίατο παρ' αὐτοῦ Μνησίθεος ὁ Μυῤῥινούσιος, τόπον μὲν πολὺν, δεινῶς δ' ἐξηγριωμένον ὑπὸ τούτου· τὸ

τικὴ, καὶ ὁ ἀνὴρ ποικιλτικὸς, καὶ τὸ πρᾶγμα ποίκιλσις κατὰ Πλάτωνα, τὸ ῥῆμα ποικίλλειν, καὶ τὸ ἐπίῤῥημα ποικιλτικῶς. Verfertiger buntgewebter Gewänder.

ἔπιπλα] Harpocration. τὰ κατὰ τὴν οἰκίαν σκεύη ἔπιπλα λέγουσιν, οἷον ἐπιπόλαιον κτῆσιν καὶ μετακομίζεσθαι δυναμένην. Cf. Intpp. ad Gregor. Corinth. p. 516. s.

ἔργῳ μαρτυροῦντος] Mead. Lock. Helmst. ἐγώ. Sed ἔργῳ verum videtur, et est id, quod nos dicimus persönlich. Vocabulum quidem non est necessarium, quum sententia satis certa sit ex σαφῶς καὶ διαῤῥήδην. Sed jam notavimus, notionem primariam pluribus solere exponi.

πρόςεστιν] Sic dedi ex Mead. et Helmst. pro vulgato προςέσται.

Ναυσικράτει τῷ κωμικῷ ὑποκριτῇ] Coisl. Reg. 1. Mead. Lock. pro ὑποκριτῇ habent ποιητῇ. Et Nausicratis quidem κωμῳδιοποιοῦ mentio fit apud Athenaeum L. VII. c. 47. p. 296. c. 127. p. 325. c. 139. p. 330. — L. IX. c. 61. p. 399. vocatur Ναυκράτης, nisi corrigendum sit Ναυσικράτης, quod correxit Grotius. Fortasse erat et poëta et actor.

χοροδιδάσκαλος] „Artifex, per quem χορηγὸς τοὺς χορευτὰς erudiendos et exercendos curabat in iis artibus, in quibus certatio esset futura." Wolf Prolegg. in Leptin. p. XCI.

εἴκοσι μνῶν] „Die Preise der Häuser, welche in den alten Schriftstellern vorkommen, gehen von drey Minen (68 Thlr. 18 gr.) bis auf hundert und zwanzig (1250 Thlr.) je nach der Gröfse, Lage und Beschaffenheit." Boeckh. l. l. p. 71., qui cuncta uberius exponit.

δ' Ἀλωπεκῆσι χωρίον, ὃν ἄποθεν τοῦ τείχους ἕνδεκα ἢ δώδεκα στάδια· ἱκετευούσης καὶ ἀντιβολούσης τῆς μητρὸς, ὡς ἐγὼ πυνθάνομαι, ἐᾶσαι καὶ μὴ ἀποδόσθαι, ἀλλ', εἰ μή τι ἄλλο, ἐνταφῆναι ὑπολιπεῖν αὐτῇ· οὐδὲ τούτου τοῦ χωρίου ἀπέσχετο, ἀλλὰ καὶ τοῦτ' ἀπέδοτο δισχιλίων δραχμῶν. καὶ τῶν θεραπαινῶν καὶ τῶν οἰκετῶν οὐδένα κατέλιπεν, ἀλλὰ πάντας πέπρακε. καὶ ταῦθ' ὅτι οὐ ψεύδομαι, ἐγὼ μὲν, ὡς κατέλιπεν αὐτῷ ὁ πατὴρ, μάρτυρας παρέξομαι· οὗτος δ' εἰ μή φησι πεπρακέναι, τὰ σώματα τῶν οἰκετῶν ἐμφανῆ παρασχέσθω. 41. ὡς δὲ καὶ ἀργύριον τισὶν ἐδάνειζεν,

---

τὸ δ' Ἀλωπεκῆσι χωρίον — — οὐδὲ τούτου τοῦ χωρίου ἀπέσχετο] Anacoluthiae genus et intellectu facile et satis usitatum. Enuntiatio incipit a casu, praesertim nominativo vel accusativo, cui erat in animo verbum adjungere, quo casus ille regatur. Tum vero, sive paucis sive multis interjectis, quod in animo erat verbum, memoriam effugit ejusque loco synonymum ponitur, aliam substantivi constructionem flagitans. Hic v. c. ab initio in animo habebat scribere τὸ δ' Ἀλωπεκῆσι χωρίον - καὶ τοῦτο ἀπέδοτο, aut simile quid; dein obvenit notio οὐκ ἀπέχεσθαι: quo addito τὸ χωρίον suo regimine destituitur. Saepe viri docti in ea re offenderunt. Haud pauca dedi ex utriusque linguae scriptoribus exempla ad Cic. de fin. bon. et mal. L. II. c. 33.; quaedam tamen immiscui, quae alius constructionis censeri possunt. παραπρ. 50. καὶ δέομαι σῶσαί με, καὶ μὴ τῷ λογογράφῳ καὶ Σκύθῃ κακῷ ὄντι παραδοῦναι, ὅσοι μὲν πατέρες εἰσὶ παίδων, ἢ νεωτέρους περὶ πολλοῦ ποιεῖσθε, ἀναμνησθέντες. Posuit ἀναμνησθέντες, quasi dixerit σώσατέ με. Attentus cod. Bern. librarius scripsit ἀναμνησθέντας.

ἄποθεν τοῦ τείχους] Per τὸ τεῖχος Reiskius oppidulum Alopecas intelligit. Sed intelligitur τεῖχος Athenarum, ut vidit etiam R. A. ad Meursium de pagis Atticis s. v. Pagorum et sitorum in pagis locorum distantiam ab urbe metiuntur, si locus non additur expressis verbis.

παρασχέσθω] Sic dedi ex Mead. Vulgo παρασχέτω. Helmst. παρεχέσθω. De μαρτυρίαις similibusque unice forma media in usu.

41. ἐδάνειζεν] Primo adspectu pronus eris, Timarchum subjecti loco habere; sed si sententiam aliquantulum consideres, intelliges ad Timarchi patrem hoc referendum esse. Antiqui attentos sibi et auditores et lectores cogitabant; nos cuncta sic propinamus, ut nihil restet ceterorum operae.

ὃ κομισάμενος οὗτος ἀνήλωκε, μάρτυρα παρέξομαι ὑμῖν Μεταγένη τὸν Σφήττιον, ὃς ὤφειλησε μὲν ἐκείνῳ πλείους ἢ τριάκοντα μνᾶς· ὃ δ' ἦν ὑπόλοιπον, τελευτήσαντος τοῦ πατρὸς, τούτῳ ἀπέδωκεν ἑπτὰ μνᾶς Τιμάρχῳ. καί μοι κάλει Μεταγένη τὸν Σφήττιον. πασῶν δὲ πρώτην ἀνάγνωθι τὴν Ναυσικράτους μαρτυρίαν, τοῦ τὴν οἰκίαν πριαμένου, καὶ τὰς ἄλλας ἁπάσας λάβε, περὶ ὧν ἐμνήσθην ἐν τῷ αὐτῷ λόγῳ. Μαρτυρίαι. Ὡς τοίνυν ἐκέκτητο ὁ πατὴρ αὐτοῦ ἀργύριον οὐκ ὀλίγον, ὃ οὗτος ἠφάνικε, τοῦθ' ὑμῖν ἐπιδείξω. φοβηθεὶς γὰρ τὰς λειτουργίας ἀπέδοτο, ἃ ἦν αὐτῷ, κτήματα, ἄνευ τῶν ἀρτίως εἰρημένων χωρίων· Κηφισιᾶσιν ἕτερον, ἀγρὸν Ἀμφιτροπῆσιν, ἐργαστήρια δύο ἐν τοῖς ἀργυρείοις, ἓν μὲν ἐν Αὐλῶνι, ἕτερον δὲ ἐπὶ Θρασύλλῳ. 42. ὅθεν δὲ ταῦτ' ηὐπόρησεν, ἐγὼ ἐρῶ. ἦσαν οὗτοι τρεῖς ἀδελφοὶ, Εὐπόλεμός τε ὁ παιδοτρίβης, καὶ Ἀρίζηλος, ὁ τούτου πατὴρ, καὶ Ἀρίγνωτος, ὃς ἔτι καὶ νῦν ἐστὶ, πρεσβύτης, διεφθαρμένος τοὺς ὀφθαλμούς. τούτων πρῶτος ἐτελεύτησεν, ἀνεμήτου τῆς οὐσίας οὔσης, Εὐπόλεμος, δεύτερος δ' Ἀρίζηλος, ὁ Τιμάρχου πατήρ. ὅτε δ' ἔζη, πᾶσαν τὴν οὐσίαν διεχείριζε, διὰ τὴν νόσον καὶ τὴν συμφορὰν τὴν περὶ τὰ ὄμματα τοῦ Ἀριγνώτου, καὶ διὰ τὸ τετελευτηκέναι τὸν Εὐπόλεμον· καί τι καὶ εἰς τροφὴν

Κηφισιᾶσιν] *Κηφισιαὶ* pagus Erechtheidis tribus. Popularis *Κηφισιεὺς* dicebatur. *Ἀμφιτροπὴ* pagus Antiochidis tribus.

ἐν Αὐλῶνι] *Αὐλὼν* proprie significat locum cavum et profundum, montibus subjacentem. Hinc transiit quasi in nomen proprium argentifodinae.

ἐπὶ Θρασύλλῳ] Prope sepulcrum Thrasylli, ad quod erat argentifodina. De homine vide Valckenaer ad Xen. Memorr. I, 1, 18.

42. *ὃς ἔτι καὶ νῦν ἐστὶ.*] Sic dedi ex Mead. et Helmst. pro vulgato *ὅς ἐστι καὶ νῦν*. Aeschini solemne *ἔτι καὶ νῦν* et enuntiatio, ut eam exhibui, numerosior. Tim. 55. *καὶ ἔτι καὶ νῦν εἶναι*. 62. *ἐνίοις δὲ τῶν ἐν ἡλικίᾳ ἔτι καὶ νῦν εἰσὶν* (*ἐρασταὶ*) 63. *τῶν ἐν παισὶν ἔτι καὶ νῦν ὄντων*.

συνταξάμενος ἐδίδου τῷ Ἀριγνώτῳ. ἐπειδὴ δὲ καὶ ὁ Ἀρίζηλος ἐτελεύτησεν, ὁ Τιμάρχου τουτουῒ πατὴρ, τοὺς μὲν πρώτους χρονους, ἕως παῖς ἦν οὗτος, ἅπαντα τὰ μέτρια παρὰ τῶν ἐπιτρόπων ἐγίνετο τῷ Ἀριγνώτῳ· ἐπειδὴ δ' ἐνεγράφη Τίμαρχος οὗτος εἰς τὸ ληξιαρχικὸν γραμματεῖον, καὶ κύριος ἐγένετο τῆς οὐσίας, παρωσάμενος ἄνδρα πρεσβύτην, καὶ ἠτυχηκότα, θεῖον ἑαυτοῦ, τήν τε οὐσίαν ἠφάνισε, καὶ τῶν ἐπιτηδείων οὐδὲν ἐδίδου τῷ Ἀριγνώτῳ, ἀλλὰ περιεῖδεν ἐκ τοσαύτης οὐσίας ἐν τοῖς ἀδυνάτοις μισθοφοροῦντα. καὶ τὸ τελευταῖον, ὃ καὶ δεινότατον, ἀπολειφθέντος τοῦ πρεσβύτου τῆς γινομένης τοῖς ἀδυνάτοις δοκιμασίας, καὶ ἱκετηρίαν θέντος εἰς τὴν βουλὴν ὑπὲρ τοῦ μισθοῦ, βουλευτὴς ὢν, καὶ προεδρεύων ἐκείνην τὴν ἡμέραν, οὐκ ἠξίωσεν αὐτῷ συνειπεῖν, ἀλλὰ περιεῖδεν ἀπολέσαντα τὸν τῆς πρυτανείας μισθόν. ὅτι δ' ἀληθῆ λέγω, κάλει μοι Ἀρίγνωτον Σφήττιον, καὶ τὴν μαρτυρίαν ἀναγί-

---

εἰς τὸ ληξιαρχικὸν γραμματεῖον] Vide ad §. 9.

ἐν τοῖς ἀδυνάτοις μισθοφοροῦντα] „Eine löbliche Anstalt war die Unterstützung der Bürger, welche wegen körperlicher Gebrechen oder Schwäche unfähig waren (ἀδύνατοι) ihren Unterhalt zu erwerben; diese war aber den Athenern ausschliefsend eigen, wie jene, die Kinder der im Kriege gebliebenen bis zur Mannbarkeit zu unterhalten. — Zuerkannt wurde dieser Sold durch Volksbeschlufs; aber die Prüfung der Personen geschah vom Rathe der Fünfhundert; die Bezahlung erhielten sie nach Prytanien; daher wer die Prüfung in einer Prytanie versäumte, den Sold in derselben verlor, und bis zur andern warten mufste. Niemahls war der Sold der Schwachen täglich mehr als zwey Obolen, niemahls unter einem, nach Verschiedenheit der Zeitalter." Böckh. Staatsh. I. 260. sqq.

ἱκετηρίαν θέντος] Tzetzes Chil. XII, 301. ἱκετηρία μέν ἐστιν, ἄν τις ποιῇ δέησιν, εἰκόνα φέρων ἐν χερσὶν ἢ κλάδον ἢ λαμπάδα, εἴτε καὶ χάρτην ἔχουσαν τὰς δεήσεις. Differt ab ἱκετεία, ἥ ἐστιν ἡ διὰ τῶν λόγων, ὅταν δέηταί τις συγγνώμης τυχεῖν ἢ ἐλέου. Bekker. Anecd. p. 267.

προεδρεύων] H. l. i. q. ἐπιστάτης ὢν, qui quis sit, vide Tim. 15. Haud raro πρόεδρος pro ἐπιστάτῃ ponitur,

νωσκε. Μαρτυρία. 43. Ἀλλ' ἴσως ἄν τις εἴποι, ὡς ἀποδόμενος τὴν πατρῴαν οἰκίαν, ἑτέραν ἄλλοθί που τοῦ ἄστεός ἐκτήσατο, ἀντὶ δὲ τῆς ἐσχατιᾶς καὶ τοῦ χωρίου τοῦ Ἀλωπεκῆσι, καὶ τῶν δημιουργῶν, καὶ τῶν ἄλλων, εἰς τἀργυρεῖά τι κατεσκευάσατο, ὥσπερ καὶ ὁ πατὴρ αὐτοῦ πρότερον. ἀλλ' οὐκ ἔστι τούτῳ λοιπὸν οὐδὲν, οὐκ οἰκία, οὐ συνοικία, οὐ χωρίον, οὐκ οἰκέται, οὐ δάνεισμα, οὐκ ἄλλ' οὐδὲν, ἀφ' ὧν ἄνθρωποι μὴ κακοῦργοι ζῶσιν. ἀλλὰ τούτῳ ἀντὶ τῶν πατρῴων περίεστι βδελυρία, συκοφαντία, θράσος, τρυφὴ, δειλία, ἀναίδεια, τὸ μὴ ἐπίστασθαι ἐρυθριᾷν ἐπὶ τοῖς αἰσχροῖς· ἐξ ὧν ἂν ὁ κάκιστος καὶ ἀλυσιτελέστατος πολίτης γένοιτο. οὐ τοίνυν μόνον τὰ πατρῷα κατεδήδοκεν, ἀλλὰ καὶ τὰ κοινὰ τὰ ὑμέτερα, ὅσων πώποτε κύριος γέγονεν. οὗτος γὰρ ταύτην τὴν ἡλικίαν ἔχων, ἣν ὑμεῖς ὁρᾶτε, οὐκ ἔστιν ἥντινα πώποτ' οὐκ ἦρξεν ἀρχὴν, οὐδεμίαν λαχὼν, οὐδὲ χειροτονηθεὶς, ἀλλὰ πάσας παρὰ τοὺς νόμους πριάμενος. ὧν τὰς μὲν πλείστας παρήσω, δυοῖν δὲ ἢ τριῶν μόνων μνησθήσομαι. 44. Λογιστὴς γὰρ

---

43. οὐ συνοικία] Quid sit, explicat Aeschines ipse Tim. 50. ὅπου μὲν γὰρ πολλοὶ μίαν οἴκησιν μισθωσάμενοι διελόμενοι ἔχουσι, συνοικίαν καλοῦμεν, ὅπου δ' εἷς ἐνοικεῖ, οἰκίαν: quae quidem verba pro scholio habet Valckenaer ad Ammonium p. 103. sine caussa, opinor. Interdum viri docti perperam vocabulum intellexerunt. Kuhnium correxit Perizonius ad Ael. Varr. Historr. XIII, 12.

44. Λογιστὴς] „Solenne hoc erat, ut quicunque aut magistratum aut curationem cum pecuniae publicae administratione quocunque modo conjunctam gesserant, exacto munere rationem ad logistas referrent. Schömann l. l. p. 293. Den Unterschied zwischen λογισταὶ und εὔθυνοι hatte Aristoteles in der Verfassung der Athener angegeben, aber die Grammatiker haben nicht beliebt, sich genau darüber zu erklären. Nach Harpokration waren zehn Logisten, bey denen man binnen dreifsig Tagen nach niedergelegtem Amte Rechenschaft gab; eben so viel Euthynen, bey welchen dasselbe geschah. — Welches aber die Verschiedenheit ihrer Geschäfte war, läfst sich zum Theil nur vermuthen. Die Logisten sind die Hauptpersonen, und bey ihnen wurden die Rechnungen oder Rechenschaften eingegeben, deren Richtigkeit sie untersuchten: auch Liquidation der Staats-

γενόμενος, πλεῖστα μὲν τὴν πόλιν ἔβλαψε, δῶρα λαμβάνων παρὰ τῶν οὐ δικαίως ἀρξάντων, μάλιστα δ' ἐσυκοφάντησε τῶν ὑπευθύνων τοὺς μηδὲν ἠδικηκότας. ἦρξε δ' ἐν Ἄνδρῳ, πριάμενος τὴν ἀρχὴν τριάκοντα μνῶν, δανεισάμενος ἐπ' ἐννέα ὀβολοῖς τὴν μνᾶν, εὐπορίαν τῇ βδελυρίᾳ τῇ ἑαυτοῦ τοὺς συμμάχους τοὺς ὑμετέρους ποιούμενος. καὶ τοσαύτην ἀσέλγειαν ἐπεδείξατο εἰς ἐλευθέρων ἀνθρώπων γυναῖκας, ἡλίκην οὐδεὶς πώποθ' ἕτερος· ὧν οὐδένα ἐγὼ παρακαλῶ δεῦρο, τὴν αὐτοῦ συμφορὰν, ἣν εἵλετο σιγᾶν, εἰς πολλοὺς ἐκμαρτυρῆσαι· ἀλλ' ὑμῖν τοῦτο καταλείπω σκοπεῖν. τί δὲ

---

schulden besorgten sie als die Rechner des Staates. Aber mit der Rechnung (λογισμὸς oder λόγος) oder auch später, wenn ein Kläger auftrat, welcher jedoch nur binnen der bestimmten Zeit von dreifsig Tagen nach Niederlegung des Amtes klagen konnte, mufste Red und Antwort über den richtigen Bestand (εὔθυνα) gegeben werden. Hierzu nun scheinen die Euthynen als Gehülfen der Logisten bestimmt gewesen zu seyn, wie der Nahme schliefsen läfst. Die Euthynen konnten erkennen, dafs die Rechenschaft unbefriedigend, das Geld entwendet, Geschenke angenommen worden seyn und dergleichen; dis Sache kam alsdann für einen Gerichtshof, so gut als wenn ein öffentlicher Kläger auftrat." Boeckh. Staatsh. I. 205. sqq.

ἦρξε δ' ἐν Ἄνδρῳ] Athenienses apud socios ipsorum imperio subjectos habebant Archontes, qui possunt cum Lacedaemoniorum harmostis comparari. Vögte, Oberamtmänner. Boeckh. I. p. 436. s.

ἐπ' ἐννέα ὀβολοῖς τὴν μνᾶν] Die Zinsen hatten kein gesetzlich bestimmtes Mafs. Der Zinsfufs von fünf Obolen oder zehn pro Cent kam besonders unter Freunden vor. Zwölf bis achtzehn vom Hundert (ἓξ ἢ ἐννέα ὀβολοὶ ἐπὶ μνᾶν) scheint der gewöhnlichste Zins in Athen gewesen zu seyn. Beyspiele höherer Zinse finden sich mehrere. Boeckh. l. l. I. p. 143. sqq. Magnitudo foenoris, si id ad nostram rationem examinetur, tribuenda est raritati pecuniae.

ἐκμαρτυρῆσαι] Harpocration: Ἐκμαρτυρία διαφέρει τῆς μαρτυρίας, ὅτι ἡ μὲν μαρτυρία τῶν παρόντων ἐστίν· ἡ δ' ἐκμαρτυρία, τῶν ἀπόντων. Hac significatione hic verbum non ponitur, nec aptum est, quod legitur in Bekk. Anecd. p. 288. ἐκμαρτυρεῖν τὸ καταμαρτυρεῖν οὐχ ἅπερ εἶδέ τις ἀλλ' ἅπερ ἤκουσεν. Sed hoc loco nil significare potest nisi palam testari, testimonio suo enuntiare: quam significationem certis locis confirmare non possum. Non igitur celandum, in cod. Helmst. simplex legi μαρτυρῆσαι.

προςδοκᾶτε; τὸν Ἀθήνησιν ὑβριστὴν οὐκ εἰς τοὺς ἄλλους μόνον, ἀλλὰ καὶ εἰς τὸ σῶμα τὸ ἑαυτοῦ, νόμων ὄντων, ὑμῶν ὁρώντων, ἐχθρῶν ἐφεστηκότων, τοῦτον αὐτὸν λαβόντα ἄδειαν καὶ ἐξουσίαν καὶ ἀρχὴν, τίς ἂν ἐλπίσειεν ἀπολελοιπέναι τι τῶν ἀσελγεστάτων ἔργων; ἤδη, νὴ τὸν Δία καὶ τὸν Ἀπόλλω, πολλάκις ἐνεθυμήθην τὴν εὐτυχίαν τὴν τῆς ἡμετέρας πόλεως, κατὰ πολλὰ μὲν καὶ ἄλλα, οὐχ ἥκιστα δὲ καὶ κατὰ ταῦτα, ὅτι κατ' ἐκείνους τοὺς χρόνους οὐδεὶς ἐγένετο τῆς Ἀνδρίων πόλεως ὠνητής. 45. ἀλλ' ἴσως καθ' αὐτὸν μὲν ἄρχων, φαῦλος ἦν οὗτος, μετὰ πλειόνων δὲ, ἐπιεικής. πόθεν; οὗτος, ὦ Ἀθηναῖοι, βουλευτὴς ἐγένετο ἐπὶ ἄρχοντος Νικοφήμου. ἅπαντα μὲν οὖν διεξελθεῖν, ἃ ἐν τούτῳ τῷ ἐνιαυτῷ ἐκακούργησε, πρὸς μικρὸν μέρος τῆς ἡμέρας οὐκ ἄξιον ἐπιχειρεῖν· ἃ δ' ἐστὶν ἐγγυτάτω τῆς αἰτίας, καθ' ἣν ἡ παροῦσα κρίσις ἐστὶ, ταῦτ' ἐρῶ διὰ βραχέων. ἐπὶ τοίνυν τοῦ αὐτοῦ ἄρχοντος, ὅτ' ἐβούλευεν οὗτος, ταμίας

---

45. *πόθεν;*] Elliptice ponitur. Si plenam enuntiationem exprimere velis, dicendum *πόθεν τοῦτο ὑπολαμβάνεις; πόθεν τοῦτο δυνατόν;* aut simile quid. Hinc Scholiastae ad hoc vocabulum annotant: *πόθεν; ἀρνητικῶς, ἴσον τῷ οὐδαμῶς.* Et hac quidem forma recentiores linguae plerumque pro illa utuntur. Interrogandi vero modus Graecorum ingenio aptior. Cf. F. A. Wolf. ad Lept. p. 238.

ἐπὶ ἄρχοντος Νικοφήμου] Nicophemus Archon fuit Ol. CIV, 4. Meminit hujus etiam Diodorus Sic. L. XV. c. 95., ubi videndus Wesselingius.

ταμίας ἦν τῆς θεοῦ] In Athen war der vorzüglichste heilige Schatz der der Athene auf der Burg, in welchen, um von den dahin gelieferten öffentlichen Geldern nichts zu sagen, aufser den bedeutenden Weihgeschenken und Pachtgeldern, manche Geldstrafen ganz, von andern der zehnte Theil, defsgleichen der Zehnte der Beute und eingezogenen Güter flofs. Diesen Athenäischen Tempelschatz verwahren die zehn Schatzmeister der heiligen Sachen der Athene oder Göttinn, *ταμίαι τῆς θεοῦ* oder *τῶν τῆς θεοῦ, ταμίαι τῶν ἱερῶν χρημάτων τῆς Ἀθηναίας, ταμίαι τῶν ἱερῶν χρημάτων τῆς θεοῦ*). Sie wurden durchs Loos ernannt aus den Pentakosiomedimnen "; i. e. ex iis, qui quingentis medimnis censi erant. Boeckh. l. l. I. p. 173. sqq.

ἦν τῶν τῆς θεοῦ Ἡγήσανδρος, ὁ Κρωβύλου ἀδελφός. ἔκλεπτον δὲ τῆς πόλεως κοινῇ καὶ μάλα φιλεταίρως χιλίας δραχμάς. αἰσθόμενος δὲ τὸ πρᾶγμα ἀνὴρ ἐπιεικὴς Πάμφιλος ὁ Ἀχερδούσιος, προσκρούσας τι τούτῳ, καὶ παροξυνθεὶς, ἐκκλησίας οὔσης, εἶπεν ἀναστάς· Ὦ Ἀθηναῖοι, κλέπτουσιν ὑμῶν κοινῇ χιλίας δραχμὰς ἀνὴρ καὶ γυνή. θαυμασάντων δὲ ὑμῶν, πῶς ἀνὴρ καὶ γυνὴ, καὶ τίς ὁ λόγος, εἶπε μικρὸν διαλιπών· Ἀγνοεῖτε, ἔφη, ὃ λέγω; ὁ μὲν ἀνήρ ἐστιν Ἡγήσανδρος ἐκεῖνος νυνὶ, ἔφη, πρότερον δ' ἦν καὶ αὐτὸς Λεωδάμαντος γυνή· ἡ δὲ γυνὴ Τίμαρχος οὑτοσί. ὃν δὲ τρόπον κλέπτεται τὸ ἀργύριον, ἐγὼ ἐρῶ. μετὰ ταῦτα ἤδη διεξῄει περὶ τοῦ πράγματος, καὶ μάλα εἰδότως καὶ σαφῶς. διδάξας δὴ ταῦτα, Τί οὖν ἐστὶν, ὦ Ἀθηναῖοι, ἔφη, ὃ συμβουλεύω ὑμῖν; ἐὰν μὲν ἡ βουλὴ καταγνοῦσα τουτονὶ ἀδικεῖν, καὶ ἐκφυλλοφορήσασα δικαστηρίῳ παραδῷ, δότε τὴν δωρεὰν αὐτοῖς· ἐὰν δὲ μὴ

ἔκλεπτον] Hegesander et Timar:hus.

χιλίας δραχμὰς ἀνὴρ καὶ γυνή] Hunc verborum ordinem recepi ex Helmst. Cum vi vocabula *ἀνὴρ καὶ γυνή* in finem enuntiationis rejiciuntur. Vulgo collocantur ante *χιλίας*.

ἀγνοεῖτε, ἔφη, ὃ λέγω;] Sic dedi e Mead. Vulgo *ὅ τι*

οὑτοσί] Sic dedi. Vulgo *οὑτοσίν*. Vide ad c. 23.

μάλα εἰδότως] Perperam vertit Wolfius valde probabiliter, quasi legerit *μάλα εἰκότως*. Bene Jurinus ut qui rem optime compertam habeat. Lectionis veritatem confirmat Thomas M., qui s. v. *ἐπισταμένως* habet: *μὴ μόνον ἐπισταμένως, ἀλλὰ καὶ εἰδότως, ὡς Αἰσχίνης· καὶ μάλα εἰδότως καὶ σαφῶς διδάξας δὴ ταῦτα.* Sed perperam videtur adverbia cum sequente *διδάξας* junxisse.

ἐκφυλλοφορήσασα δικαστηρίῳ παραδῷ.] Bekker. Anecd. p. 248. *φυγῆς ὄνομα ἡ ἐκφυλλοφορία. ἔστι δὲ τοῦτο. εἰ ἐδόκει τις τῶν βουλευτῶν* (sic scribendum pro *πολιτῶν*) *ἀδικεῖν καὶ ἀνάξιος εἶναι τοῦ συνεδρίου τῶν πεντακοσίων, ἐσκόπει ἡ βουλὴ περὶ αὐτοῦ, εἰ χρὴ αὐτὸν μηκέτι βουλεύειν, ἀλλ' ἀπελασθῆναι ἀπὸ τοῦ συνεδρίου. ἀντὶ δὲ τῆς ψήφου κρίνουσα περὶ τοῦ τοιούτου φύλλοις ἐλαίας ἐχρῆτο, ᾧ ἕκαστος ἐπεσημήνατο τὴν ἑαυτοῦ γνώμην. — ἐνέγραφον δὲ τοῖς φύλλοις διὰ τῶ*

κολάσωσι, μὴ δότε, ἀλλ' εἰς ἐκείνην αὐτοῖς τὴν ἡμέραν ἀπομνημονεύσατε. μετὰ ταῦτα ὡς ἐπανῆλθεν ἡ βουλὴ εἰς τὸ βουλευτήριον, ἐξεφυλλοφόρησε μὲν αὐτὸν, ἐν δὲ τῇ ψήφῳ κατεδέξατο. ὅτι δ' οὐ παρέδωκε δικαστηρίῳ, οὐδ' ἐξήλασεν ἐκ τοῦ βουλευτηρίου, ἄχθομαι μὲν λέγων, ἀνάγκη δέ ἐστιν εἰπεῖν, ὅτι τῆς δωρεᾶς ἀπετύγχανε. μὴ τοίνυν φανῆτε, ὦ Ἀθηναῖοι, τῇ μὲν βουλῇ χαλεπήναντες, καὶ πεντακοσίους ἄνδρας τῶν πολιτῶν ἀστεφανώτους ποιήσαντες, ὅτι τοῦτον οὐκ ἐτιμωρήσαντο, αὐτοὶ δὲ ἀφῆτε· καὶ τὸν τῇ βουλῇ μὴ συνενεγκόντα ῥήτορα, τοῦτον τῷ δήμῳ περιποιή-

---

τοῖς κυάμοις κακουργοῦντα ἁλῶναι Ξενότιμον τὸν ὑπηρέτην. τριχὶ γὰρ ὑὸς τρήσας τὸν κύαμον, ἀνέφερε ταύτην τὴν ψῆφον. Primo βουλὴ ἐξεφυλλοφόρησε. Tum decernendum erat, cuinam δικαστηρίῳ ὁ ἐκφυλλοφορηθεὶς tradendus esset. Ex nostro loco videtur patere, βουλὴν sibi ipsi jus quaestionis vindicare potuisse: in qua Timarchum absolvit. Hinc τῇ βουλῇ crimini datum, quod non alii judicio commiserit poenam. Parum accurate et lexicographi veteres et recentiores viri docti hoc tractarunt.

ὅτι τῆς δωρεᾶς ἀπετύγχανε] Contra codd. Taylor ὅτι deleri vult. Quo deleto quamquam oratio non fit deterior, caussa tamen delendi est nulla, quum legitime verbum λέγειν sequatur conjunctio ὅτι.

αὐτοὶ δὲ ἀφῆτε] Revocavi Mss. omnium lectionem, quum Reiskius de suo dederit αὐτόν. Sed αὐτοὶ δὲ apertam oppositionem facit cum τῇ μὲν βουλῇ. Ἀφιέναι accusativo facile destituitur.

τοῦτον τῷ δήμῳ μὴ περιποιήσητε] Sic scripsi cum Bern. Lock. Helmst. Vulgo μὴ deest. Sed quamquam negatio necessaria non sit, ea tamen cum vi repetitur. Librarii saepe hanc repetitionem non tolerarunt. Sic eam Brunckius, sequente Porsono aliisque, in Eurip. Med. v. 851. Pors. perperam delevit, ubi Mss. plurimi recte dant:

μὴ, πρὸς γονάτων σε πάντες
πάντως ἱκετεύσομεν,
μὴ τέκνα φονεύσῃς.

In versu antistrophico v. 861. cum Hermanno scribendum:

εὐτλάμονι θυμῷ

De negationis repetitione egimus jam supra §. 27.

σιῆτε. 46. ἀλλὰ περὶ μὲν τὰς κληρωτὰς ἀρχὰς ἐστὶ τοιοῦτος, περὶ δὲ τὰς χειροτονητὰς βελτίων. καὶ τις ὑμῶν οὐκ οἶδεν, ὡς περιβοήτως ἐξηλέγχθη κλέπτης ὤν; πεμφθεὶς γὰρ ὑφ' ὑμῶν ἐξεταστὴς τῶν ἐν Ἐρετρίᾳ ξένων, μόνος τῶν ἐξεταστῶν ὡμολόγει λαβεῖν ἀργύριον· καὶ οὐ περὶ τοῦ πράγματος ἀπελογεῖτο, ἀλλ' εὐθὺς περὶ τοῦ τιμήματος ἱκέτευεν, ὁμολογῶν ἀδικεῖν. ὑμεῖς δὲ τοῖς μὲν ἐξάρνοις ἐπετιμήσατε ταλάντου ἑκάστῳ, τούτῳ δὲ τριάκοντα μνῶν· οἱ δὲ νόμοι κελεύουσι τῶν κλεπτῶν τοὺς μὲν ὁμολογοῦντας θανάτῳ ζημιοῦσθαι, τοὺς δ' ἀρνουμένους κρίνεσθαι. τοιγαροῦν οὕτως ὑμῶν κατεφρόνησεν, ὥστ' εὐθὺς ἐπὶ ταῖς δημοσίαις διαψηφίσεσι δισχιλίας ἔλαβε δραχμάς. φήσας γὰρ Φιλωτάδην τὸν Κυδαθηναιέα, ἕνα τῶν πολιτῶν, ἀπελεύθερον

46. ἐξεταστὴς τῶν ἐν Ἐρετρίᾳ ξένων] Sic verba collocavi ex Mead. et Helmst. Vulgo τῶν ξένων ἐν Ἐρετρίᾳ. Ἐξεταστὴς Bekker Anecd. p. 252. Ἐξετασταί· οἱ πεμπόμενοι ἄρχοντες προεξετάσαι τοὺς ξένους, πόσοι εἰσίν, ἵνα μισθὸς αὐτοῖς πέμπηται, διὰ τὸ τοὺς στρατηγοὺς ψευδομένους πλείονας καταριθμεῖν. Cf. Boeckh. I. p. 315.

εὐθὺς περὶ τοῦ τιμήματος ἱκέτευεν] Bene novit Athenienses, qui mitius puniebant supplicantes quam negantes.

ἀδικεῖν] Pro ἠδικηκέναι. Frequens est usus temporis praesentis hujus verbi, ubi praeteriti significationem habet, ut docuit Heindorf ad Platonis Protag. §. 4. Etiam alia sic usurpantur, ut res praeterita quasi praesens animo proponatur. παραπρ. 16. κἂν παρεῖναι καὶ μὴ ἀποδημεῖν, ὅτε ἡ πόλις τὴν εἰρήνην ἐποιεῖτο, μαρτυρήσωσιν. Nihil frequentius, quam ἀκούειν. Vide Heindorf ad Plat. Gorg. 126.

τούτῳ δὲ τριάκοντα μνῶν] I. e. semitalento. Non enim in Attica solum, verum in omnibus Graeciae civitatibus, atque etiam extra Graeciam valebant talenta sexaginta μνῶν.

διαψηφίσεσι] Vide supra §. 32.

Κυδαθηναιέα] Κυδαθήναιον δῆμος τῆς Πανδιονίδος φυλῆς. ὁ δημότης Κυδαθηναιεύς. Ita δημότην vocat Aristophanes, Stephanus Byz., Harpocration. Κυδαθηναῖον tamen Plutarchus, vel potius auctor Vitarum Oratt. in Andoc. et Hesychius; et habet hic cod. Mead. Κυδαθηναῖον.

εἶναι ἑαυτοῦ, καὶ πείσας ἀποψηφίσασθαι τοὺς δημότας, ἐπιστὰς τῇ κατηγορίᾳ ἐπὶ τοῦ δικαστηρίου, καὶ λαβὼν εἰς τὴν ἑαυτοῦ χεῖρα τὰ ἱερὰ, καὶ ὀμόσας μήτε λαβεῖν δῶρα, μήτε λήψεσθαι, καὶ ἐπομόσας τοὺς ὁρκίους θεοὺς, καὶ τὴν ἐξώλειαν ἐπαρασάμενος ἑαυτῷ, εἰληφὼς ἠλέγχθη παρὰ Λευκωνίδου, τοῦ Φιλωτάδου κηδεστοῦ, διὰ Φιλήμονος τοῦ ὑποκριτοῦ, εἴκοσι μνᾶς, ἃς ἐν ὀλίγῳ χρόνῳ πρὸς Φιλοξένην ἀνήλωσε τὴν ἑταίραν, καὶ προὔδωκε τὸν ἀγῶνα, καὶ τὸν ὅρκον ἐπιώρκησεν. ὅτι δὲ ἀληθῆ λέγω, κάλει μοι Φιλήμονα τὸν δόντα Τιμάρχῳ τὸ ἀργύριον, καὶ Λευκωνίδην, τὸν Φιλωτάδου κηδεστὴν, καὶ τῶν συνθηκῶν ἀνάγνωθι τὰ ἀντίγραφα, καθ' ἃς τὴν πρᾶσιν

ἀποψηφίσασθαι] Bekker. Anecd. p. 439. Ἀποψηφισθέντα: εἴ τις ξένος ἔδοξεν εἶναι καὶ οὐ πολίτης, τοῦτον ἐν ταῖς διαψηφίσεσι τῶν δήμων ἀπεψηφίζοντο οἱ δημόται, καὶ ἐλέγετο ἀπεψηφισμένος. εἶτα εἰσήγετο εἰς τὸ δικαστήριον, καὶ ἐκρίνετο ξενίας. καὶ εἰ μὲν ἑάλω, ἐπιπράσκετο ὡς ξένος, εἰ δὲ ἐκράτει, ἀνελαμβάνετο εἰς τὴν πολιτείαν. Idem habet Suidas. Vide Schömann l. l. p. 283.

τὰ ἱερὰ] Fiebat sacrificium, quum quis juraret, et, qui jurabat, manibus prensabat intestina victimae.

ὁρκίους θεοὺς] Deos, qui invocabantur tamquam testes veritatis jurisjurandi. Thucydidis Scholiastes L. I. c. 71. eos explicat τοὺς ἐφόρους τῶν ὅρκων et c. 78. οὓς ἐν σπονδαῖς ὠμόσαμεν. Nomina non habet. Scholiastes ad nostrum locum nominat Ἀπόλλωνα καὶ Δήμητρα καὶ Δία, ὥς φησι Δείναρχος. Pollux L. VIII, 142. τρεῖς θεοὺς ὀμνύναι κελεύει Σόλων, Ἱκέσιον, Καθάρσιον, Ἐξακεστήριον: quae sunt unius Jovis cognomina. Cf. T. Hemsterh. ad Lucian. T. I. p. 98 s. Demosthenes κατὰ Τιμοκρ. p. 747. l. 13. ἐπόμνυμι Δία, Ποσειδῶ, Δήμητρα. Diversi homines diversis temporibus diversos Deos in jurejurando videntur obtestati esse.

ἐξώλειαν ἐπαρασάμενος ἑαυτῷ] Ἐπαρᾶσθαι τὴν ἐξώλειαν ἑαυτῷ, perniciem sibi imprecari, atque etiam τῷ οἴκῳ, familiae suae, usitatissima erat juris jurandi formula, ubique obvia. Cf. Schömann l. l. p. 242.

καθ' ἃς] Libri καθώς. Phrynichus p. 425. καθώς: Γάϊός τις Ἀρεθούσιος γραμματικὸς ἔφασκε δόκιμον εἶναι τοὔνομα· κεχρῆσθαι γὰρ

ἐποιήσατο τοῦ ἀγῶνος. Μαρτυρίαι. Συνθῆκαι. 47. Περὶ μὲν οὖν τοὺς πολίτας καὶ τοὺς οἰκείους οἷος γεγένηται, καὶ τὴν πατρῴαν οὐσίαν ὡς αἰσχρῶς ἀνήλωκε, καὶ τὴν ὕβριν τὴν εἰς τὸ ἑαυτοῦ σῶμα ὡς ὑπερεώρακε, σύνιστε μὲν καὶ πρὶν ἐμὲ λέγειν, ἱκανῶς δ' ὑμᾶς ὑπομιμνήσκει καὶ ὁ παρ' ἐμοῦ λόγος. δύο δε μοι τῆς κατηγορίας εἴδη λέλειπται, ἐφ' οἷς ἐμαυτόν τ' εἰπεῖν εὔχομαι τοῖς θεοῖς πᾶσι καὶ πάσαις ὑπὲρ τῆς πόλεως ὡς προῄρημαι, ὑμᾶς τε βουλοίμην ἂν [ἀκοῦσαι], οἷς ἐγὼ μέλλω λέγειν, καὶ προςέχειν τὸν νοῦν, καὶ παρακολουθεῖν εὐμαθῶς. ἔστι δ' ὁ μὲν πρῶτός μοι λόγος, προδιήγησις τῆς ἀπολογίας, ἧς ἀκούω μέλλειν γίνεσθαι· ἵνα μὴ τοῦτό μου παραλιπόντος, ὁ τὰς τῶν λόγων τέχνας κατεπαγγελλόμενος τοὺς νέους διδάσκειν, ἀπάτῃ τινὶ παραλογισάμενος ὑμᾶς ἀφέληται τὸ τῆς πόλεως συμφέρον. ὁ δὲ δεύτερος ἔστι μοι λόγος, παράκλησις τῶν πολιτῶν πρὸς ἀρετήν. ὁρῶ δὲ πολλοὺς μὲν τῶν νεωτέρων προςεστηκότας πρὸς τῷ δικαστηρίῳ,

---

αὐτῷ Φύλαρχον. ὦ τοῦ μάρτυρος, ὡς ἔοικε τοῦ ἐπαγομένου· ὃς οὐδὲ Θουκυδίδου ἤκουσε λέγοντος· καθὸ δεῖ εἰς Σικελίαν πλεῖν, οὐ καθώς· καὶ τὸ καθὰ δόκιμον. Duos laudat Atticorum locos Lobeck, in quos irrepserit καθώς, alterum Aristophanis Equitt. 716. Br., alterum hunc nostrum, quorum illum Dawesius, hunc Reiskius, suis uterque rationibus ducti, ideoque ad fidem propiores (quod scilicet non auctoritatem Grammatici, sed sententiam loci sequebantur) non invitos in ordinem restituit.

47. ἐφ' οἷς – εἰπεῖν] Si notionem in universum spectes, idem fere est, quod περὶ ὧν. Vide Matthiae Gr. Gr. §. 586. Sed in ἐπὶ cum Dativo inest notio, aliquid in favorem rei dici.

[ἀκοῦσαι] οἷς ἐγὼ μέλλω λέγειν, καὶ προςέχειν τὸν νοῦν καὶ παρακολουθεῖν εὐμαθῶς] Ἀκοῦσαι uncis inclusi auctoritate cod. Coisl. Additum videtur, ut oppositio cum εἰπεῖν in oculos incurrat. Sed fortior est, hoc omisso, in iis, quae sequuntur. — Multi etiam librarii ex antecedente praepositionem repetentes ἐφ' ante οἷς collocarunt.

κατεπαγγελλόμενος - διδάσκειν] Jactans se docere. Praesens vel aoristus infinitivi plerumque τῷ ἐπαγγέλλεσθαι hanc significationem tribuit, qua in universum differt ab ὑπισχνεῖσθαι.

πολλοὺς δὲ τῶν πρεσβυτέρων· οὐκ ἐλαχίστους δὲ τῶν ἐκ τῆς ἄλλης Ἑλλάδος, συνειλεγμένους ἐπὶ τὴν ἀκρόασιν· οὓς μὴ νομίζετ' ἐμὲ θεωρήσοντας ἥκειν, ἀλλὰ πολὺ μᾶλλον ὑμᾶς εἰσομένους, εἰ μη μόνον εὖ νομοθετεῖν ἐπίστασθε, ἀλλα καὶ κρίνειν τὰ καλὰ καὶ τὰ μὴ καλὰ δύνασθε· καὶ εἰ τιμᾶν ἐπίστασθε τους ἄνδρας τοὺς ἀγαθοὺς, καὶ εἰ θελετε κολάζειν τοὺς ὀνείδη τὸν ἑαυτῶν βίον τῇ πόλει παρασκευάζοντας. 48. λέξω δὲ πρῶτον πρὸς ὑμᾶς περὶ τῆς ἀπολογίας. ὁ γὰρ περιττὸς ἐν τοῖς λόγοις Δημοσθένης, ἢ τοὺς νόμους φησὶν ὑμᾶς ἐξαλείφειν δεῖν, ἢ τοῖς ἐμοῖς λόγοις οὐκ εἶναι προσεκτέον. ἀποθαυμάζει γάρ, εἰ μὴ πάντες μέμνησθ', ὅτι καθ' ἕκαστον ἐνιαυτὸν ἡ βουλὴ πωλεῖ τὸ πορνικὸν τέλος· καὶ τοὺς πριαμένους τὸ τέλος

οὐκ ἐλαχίστους δὲ τῶν ἐκ τῆς ἄλλης Ἑλλάδος] Reiskius, nescio cur, τῶν uncis inclusit. τῶν ἐκ τῆς ἄλλης Ἑλλάδος idem est, quod τῶν ἄλλων Ἑλλήνων. Comma posui post Ἑλλάδος. Nam συνειλεγμένους εἰς τὴν ἀκρόασιν referendum ad omnium hominum ordines, προσεστηκότας πρὸς τῷ δικαστηρίῳ.

τοὺς ὀνείδη τὸν ἑαυτῶν βίον τῇ πόλει παρασκευάζοντας] Ὄνειδος significat h. l. id., quod alicui est probro, quemadmodum vocabula fere omnia, quae vel dedecus vel laudem denotant. Pluralis notionem auget: quod est magnae infamiae.

48. περιττὸς ἐν τοῖς λόγοις] Qui non strictim manet in re de qua sermo est; sed qui diffunditur in multa parum ad rem pertinentia, ut scilicet auditores ab ipsa re avertat. Cf. Jo. Christ. Theoph. Ernesti Lexicon technologiae Graecorum rhetoricae s. v, περιττὸς et quae inde derivantur.

τὸ πορνικὸν τέλος] „Die schändlichste aller Gewerbsteuern ist die Hurensteuer, welche auch in Rom von Caligula eingeführt wurde. In Athen wurde sie vom Rathe jährlich verpachtet. Die Pächter wufsten sehr genau alle, welche dieses Gewerbe trieben, sowohl Männer als Weiber, indem sogar jene, wie unter Caligula, besteuert waren. Nach einer Stelle des Suidas und Zonaras bestimmten die Agoranomen den Preis, welchen jede Hure nehmen durfte; es scheint daher dafs die Steuer nach ihrem verschiedenen Gewinn verschieden war, wie in der Anordnung des Caligula. Suetonius Calig. 40." Boeckh. St. I. p. 357.

τοῦτο οὐκ εἰκάζειν, ἀλλ' ἀκριβῶς εἰδέναι τοὺς ταύτῃ χρωμένους τῇ ἐργασίᾳ. ὁπότε οὖν δὴ τετόλμηκα ἀντιγράψασθαι, πεπορνευμένῳ Τιμάρχῳ μὴ ἐξεῖναι δημηγορεῖν, ἀπαιτεῖν φησὶ τὴν πρᾶξιν αὐτὴν οὐκ αἰτίαν κατηγόρου, ἀλλὰ μαρτυρίαν τελώνου τοῦ παρὰ Τιμάρχου τοῦτο ἐκλέξαντος τὸ τέλος. ἐγὼ δὲ πρὸς ταῦτ', ὦ Ἀθηναῖοι, σκέψασθ' ἂν ἁπλοῦν ὑμῖν καὶ ἐλευθέριον δόξω λόγον εἰπεῖν. αἰσχύνομαι γὰρ ὑπὲρ τῆς πόλεως, εἰ Τίμαρχος, ὁ τοῦ δήμου σύμβουλος, καὶ τὰς εἰς τὴν Ἑλλάδα τολμῶν πρεσβείας πρεσβεύειν, μὴ τὸ πρᾶγμα ὅλον ἀποτρίψασθαι ἐπιχειρήσει, ἀλλὰ τοὺς τόπους ἐπερωτήσει ὅπου ἐκαθέζετο, καὶ τοὺς τελώνας, εἰ πώποτε παρ' αὐτοῦ πορνικὸν τέλος εἰλήφασι. ταύτης μὲν οὖν τῆς ἀπολογίας ὑμῶν ἕνεκα παραχωρησάτω. 49. ἕτερον δ' ἐγώ σοι λόγον ὑποβαλῶ, καλὸν καὶ δίκαιον, ᾧ χρήσῃ, εἰ μηδὲν αἰσχρὸν σαυτῷ σύνοισθα. τόλμησον γὰρ εἰς τοὺς δικαστὰς βλέψας εἰπεῖν, ἃ προςήκει λέγειν ἀνδρὶ σώφρονι τὰ περὶ τὴν ἡλικίαν. Ἄνδρες Ἀθηναῖοι, τέθραμμαι μὲν ἐκ παιδὸς καὶ μειρακίου παρ' ὑμῖν, οὐκ ἀφανεῖς δὲ διατριβὰς διατρίβω, ἀλλ' ἐν ταῖς ἐκκλησίαις μεθ' ὑμῶν ὁρῶμαι. οἶμαι δ' ἄν, εἰ πρὸς ἄλλους τινὰς ἦν ὁ λόγος μοι περὶ τῆς αἰτίας, ἧς κρίνομαι, ταῖς ὑμετέραις μαρτυρίαις ῥᾳδίως ἂν ἀπολύσασθαι τοὺς τοῦ κατηγόρου λόγους. μὴ γὰρ ὅτι, εἰ πέπρακταί μοί τι τού-

---

πριαμένους τὸ τέλος] Pollux IX, 33. τὰ μέντοι τέλη παραλαμβάνειν εἴποις ἂν πρίασθαι καὶ ἀπομισθοῦν, conducere; exigere vero, τέλη πράττειν, ἀπαιτεῖν, ἐκλέγειν. Ib. 31.

ἀντιγράψασθαι] Bekker Anecd. p. 408. ἀντὶ τοῦ ἀντικατηγορῆσαι ἐπειδὴ πρῶτος κατηγόρησε Τίμαρχος Αἰσχίνην παραπρεσβείας. Dicitur nempe is ἀντιγράψασθαι, qui accusationem contraria actione repellit.

ὑμῶν ἕνεκα] Ne scilicet vobis infamiam stultitiae et ineptiarum contrahat.

49. μὴ γὰρ ὅτι cet.] Cum ὅτι jungendum παραδίδωμι. Μὴ est ellipticum. Μὴ γὰρ ὑπολαμβάνετε, ὅτι cet. „Ne opinemini, tum modo supplicium me mei tradere civitati, si quid istorum revera patravi, sed si vel videor vitam egisse, quae istorum criminum

των, ἀλλ' εἰ δοκῶ ὑμῖν παραπλησίως βεβιωκέναι ταῖς λεγομέναις ὑπὸ τούτου αἰτίαις, ἀβίωτον ἡγούμενος εἶναι ἐμαυτῷ τὸν λοιπὸν βίον, παραδίδωμι τὴν εἰς ἐμαυτὸν τιμωρίαν, ἐναπολογήσασθαι τῇ πόλει πρὸς τοὺς Ἕλληνας· οὐδ' ἥκω παραιτησόμενος ὑμᾶς, ἀλλὰ καταχρήσασθέ μοι, εἰ δοκῶ τοιοῦτος εἶναι. Αὕτη μέν ἐστιν, ὦ Τίμαρχε, ἀπολογία ἀνδρὸς ἀγαθοῦ, καὶ σώφρονος, καὶ πεπιστευκότος τῷ βίῳ, καὶ καταφρονοῦντος εἰκότως ἁπάσης βλασφημίας· ἃ δὲ πείθει σε λέγειν Δημοσθένης, οὐκ ἀνδρός ἐστιν ἐλευθέρου, ἀλλὰ πόρνου, περὶ τῶν τόπων διαφερομένου. 50. ἐπειδὴ δ' εἰς τὰς ἐπωνυμίας τῶν οἰκήσεων καταφεύγεις, κατ' οἴκημα τὸ πρᾶγμα ἐξετάζεσθαι ἀξιῶν, ὅπου ἐκαθέζου· ἃ μέλλω λέγειν ἀκούσας, εἰςαῦθις οὐ χρήσῃ τοιούτῳ λόγῳ, ἐὰν σωφρονήσῃς. οὐ γὰρ τὰ οἰκήματα, οὐδ' αἱ οἰκήσεις τὰς ἐπωνυμίας τοῖς ἐνοικήσασι παρέχουσιν, ἀλλ' οἱ ἐνοικήσαντες τὰς τῶν ἰδίων ἐπιτηδευμάτων ἐπωνυμίας τοῖς τόποις παρασκευάζουσιν. ὅπου μὲν γὰρ πολλοὶ μισθωσάμενοι μίαν οἴκησιν, διελόμενοι ἔχουσι, συνοικίαν καλοῦμεν· ὅπου δ' εἷς ἐνοικεῖ, οἰκίαν. ἐὰν δ' εἰς ἕν δήπου τούτων τῶν ἐπὶ ταῖς ὁδοῖς ἐργαστηρίων ἰατρὸς εἰςοικίσηται, ἰατρεῖον καλεῖται· ἐὰν δ' ὁ μὲν

---

similitudinem habeat." Cf. de hac locutione Bosii Ellipses p. 775. edit. Schaef. — ἐναπολογήσασθαι, sc. ὥςτε, ut se excusare queat apud Graecos.

καταχρήσασθέ μοι] Male me accipite. Locutio idem valet, quod χρήσασθέ μοι ὅ τι ἂν βούλησθε. Παραπρ. 19. ἐὰν δὲ ἄλλως πως γινώσκητε, καταχρήσασθέ μοι· οὐ γὰρ ἂν ὑποστειλαίμην.

50. ἐὰν σωφρονήσῃς] Hoc recepi ex Helmst. Vulgo σωφρονῇς. Aoristus significat: si ad sanam mentem redieris: quo Timarchus nunc non esse sanae mentis notatur.

ὅπου μὲν γὰρ — — συνοικίαν καλοῦμεν] Jam ad §. 47. monui, haec verba Valckenarium pro glossemate habere. Sed consilio loquentis perquam apta sunt, nec possunt deesse.

ἐξοικίσηται, εἰς δὲ τὸ αὐτὸ τοῦτο ἐργαστήριον χαλκεὺς εἰςοικίσηται, χαλκεῖον ἐκλήθη· ἐὰν δὲ κναφεὺς, κναφεῖον· ἐὰν δὲ τέκτων, τεκτονεῖον· ἐὰν δὲ πορνοβοσκὸς καὶ πόρναι, ἀπὸ τῆς ἐργασίας εὐθὺς ἐκλήθη πορνεῖον. ὥςτε σὺ πολλὰ πορνεῖα τῇ τῆς πράξεως εὐχερείᾳ πεποίηκας. μὴ οὖν ὅπου ποτὲ ἔπραττες, ἐρώτα, ἀλλ' ὡς τοῦτο οὐ πεποίηκας, ἀπολογοῦ. 51. ἥξει δ', ὡς ἔοικε, καὶ ἕτερος λόγος τις ὑπὸ τοῦ αὐτοῦ σοφιστοῦ συγκείμενος. λέγει γὰρ, ὡς οὐδέν ἐστιν ἀδικώτερον φήμης, ἀγοραῖα τεκμήρια καὶ παντελῶς ἀκόλουθα τῷ αὐτοῦ βίῳ παρεχόμενος. πρῶτον μὲν γὰρ τὴν ἐν Κολωνῷ συνοικίαν, τὴν Δήμωνος καλουμένην, ψευδῆ φησὶ τὴν ἐπωνυμίαν ἔχειν· οὐ γὰρ εἶναι Δήμωνος. ἔπειτα τὸν Ἑρμῆν τὸν Ἀνδοκίδου καλούμενον, οὐκ Ἀνδοκίδου, ἀλλ' Αἰγηΐδος φυλῆς εἶναι ἀνάθημα. παραφέρει δ' αὐτὸν ἐν σκώμματος μέρει, ὡς ἡδὺς ἀνὴρ, καὶ περὶ τὰς ἰδίας διατριβὰς γελοῖος· εἰ μὴ καὶ ἐμὲ δεῖ, φησὶν, ὑπακούειν τοῖς ὄχλοις, μὴ Δημοσθένην καλούμε-

---

ἐὰν δὲ κναφεὺς, κναφεῖον] Sic dedi ex Helmst., quocum ex parte consentit Lock. Vulgo ἐὰν δὲ γναφεὺς, γναφεῖον. Harpocration: Γναφεύς, τοῦτο οἱ παλαιοὶ Ἀττικοὶ διὰ τοῦ κ ἔλεγον. κοινὸν δὲ τὸ διὰ τοῦ γ. κνάφος δέ ἐστιν ἀκανθῶδές τι, ᾧ ξύουσι τὰ ἱμάτια. τοῦτο οἱ νεώτεροι διὰ τοῦ γ λέγουσι παρὰ τὴν γνάψιν. κναφεὺς μὲν οὖν παρὰ τὸ κνῶ, ὃ σημαίνει τὸ ξύω. γναφεὺς δὲ παρὰ τὴν τοῦ φάρους γνάψιν, ἥ τις ἐστὶ παρὰ το γάνος, τό λαμπρόν.

51. τὸν Ἑρμῆν τὸν Ἀνδοκίδου καλούμενον] Notus est hic Hermes vel ex historia Alcibiadis. Ab Aegeide tribu erat dedicatus ad aedem Phorbantis prope domum Andocidis: unde nomen accepit ὁ Ἑρμῆς ὁ Ἀνδοκίδου. Erat etiam elegantior, quam ceteri plerique. Cf. Sluiter Lectt. Andocc. c. 2.

παραφέρει δ' αὐτόν] Παραφέρειν interdum est in medium proferre argumenti aut testimonii loco. Tim. 54. παραφέρων πρῶτόν μὲν εὐεργέτας τοὺς ὑμετέρους: ubi parum sibi constant intpp.

ἡδὺς] Attica urbanitate de homine inepte jocoso dicitur. Cf. Ruhnkenium ad Timaeum p. 131. s.

νον, ἀλλὰ Βάταλον, ὅτι ταύτην ἐξ ὑποκορίσματός τινος τίτθης τὴν ἐπωνυμίαν ἔχω. εἰ δὲ Τίμαρχος ὡραῖος ἐγένετο, καὶ σκώπτεται τῇ τοῦ πράγματος διαβολῇ, καὶ μὴ τοῖς αὐτοῦ ἔργοις, οὐ δήπου διὰ τοῦτ' αὐτόν φησι δεῖν συμφορᾷ περιπεσεῖν. 52. ἐγὼ δὲ, ὦ Δημόσθενες, περὶ μὲν τῶν ἀναθημάτων, καὶ τῶν οἰκιῶν, καὶ περὶ τῶν κτημάτων, καὶ πάντων ὅλως τῶν ἀφώνων, πολλοὺς καὶ παντοδαποὺς καὶ οὐδέποτε τοὺς αὐτοὺς ἀκούω λόγους λεγομένους. οὐ γάρ εἰσιν ἐν αὐτοῖς οὔτε καλαὶ, οὔτε αἰσχραὶ πράξεις, ἀλλ' ὁ προςαψάμενος αὐτῶν καὶ παρατυχὼν, ὅςτις ἂν ᾖ, κατὰ τὸ μέγεθος τῆς αὐτοῦ δόξης λόγον παρέχει· περὶ δὲ τὸν τῶν ἀνθρώπων βίον καὶ τὸν λόγον καὶ τὰς πράξεις, ἀψευδής τις ἀπὸ ταυτομάτου πλανᾶται φήμη κατὰ τὴν πόλιν, καὶ διαγγέλλει τοῖς πολλοῖς τὰς ἰδίας πράξεις· πολλὰ δὲ καὶ μαντεύεται περὶ τῶν μελλόντων ἔσεσθαι. καὶ οὕτως ἐναργές ἐστι καὶ οὐ πεπλασμένον, ὅ

Βάταλον] Anecd. Bekkeri p. 185. δειλὸς καὶ ἐκλελυμένος ἄνθρωπος κατὰ τὴν διάνοιαν, καὶ ὅλον τὸ σῶμα μαλακὸς καὶ αἰσχρός p. 221. ἐπωνύμιόν ἐστι Δημοσθένους. ὁ δὲ Βάταλος παρὰ τοῖς παλαιοῖς ἐκαλεῖτο μαλακὸς, ἀπὸ Βατάλου τινὸς, αὐλητοῦ μαλακοῦ, ὃς καὶ Βατάλεια ταῦτα ἐξεῦρεν. Addit scholiastes ad nostrum locum. Δημοσθένην ἐκ μεταφορᾶς διὰ μαλακίαν Βάταλον ὠνόμασαν. Βάταλον γὰρ καὶ τὸν καταπύγωνα καὶ μαλακόν. εἰσὶ δὲ, οἳ βάταλον προςηγόρευον τὸν πρωκτόν.

ὑποκορίσματος] Bekkeri Anecd. p. 47. Κορίζεσθαι καὶ ὑποκορίζεσθαι ἄμφω. σημαίνει δὲ τὸ πρὸς τὰ κομιδῇ παιδία νήπια ψελλιζόμενον τῇ φωνῇ παίζειν. κόρος γὰρ ὁ παῖς, καὶ τοὔνομα διττῶς, κόρισμα καὶ ὑποκόρισμα.

τίτθης] Attici nutricem τίτθην dixerunt, τήθην aviam, τηθίδα amitam. Vidė Lobeck. ad Phryn. p. 134.

52. περὶ δὲ τὸν τῶν ἀνθρώπων βίον καὶ τὸν λόγον καὶ τὰς πράξεις ἀψευδής τις cet.] Sic dedi e Mss. τὸν ante λόγον accessit e Lock. et Helmst. Incipit orator a notione generis τὸν βίον; tum adjungit primarias partes, quae spectantur ἐν τῷ βίῳ, τὸν λόγον amplissima notione, καὶ τὰς πράξεις. Apparet, neutri parti deesse posse articulum. Καὶ, quod vulgo ante ἀψευδὴς additur, delevi auctoritate Lock. Reg. 2 Helmst.

λέγω, ὥςθ' εὑρήσετε καὶ τὴν πόλιν ὑμῶν καὶ τοὺς προγόνους Φήμης, ὡς θεοῦ μεγιστης, βωμὸν ἱδρυμένους· καὶ τὸν Ὅμηρον πολλάκις ἐν τῇ Ἰλιάδι λέγοντα, πρὸ τοῦ τι τῶν μελλόντων γενέσθαι,

Φήμη δ' εἰς στρατὸν ἦλθε·

καὶ πάλιν τὸν Εὐριπίδην ἀποφαινόμενον τὴν θεὸν ταύτην οὐ μόνον τοὺς ζῶντας ἐμφανίζειν δυναμένην, ὁποῖοί τινες ἂν τυγχάνωσιν ὄντες, ἀλλὰ καὶ τοὺς τετελευτηκότας, ὅταν λέγῃ·

Φήμη τὸν ἐσθλὸν κἂν μυχῷ δείκνυσι γῆς.

ὁ δὲ Ἡσίοδος καὶ διαῤῥήδην θεὸν αὐτὴν ἀποδείκνυσι, πάνυ σαφῶς φράζων τοῖς βουλομένοις συνιέναι. λέγει γάρ.

Φήμη δ' οὔτις πάμπαν ἀπόλλυται, ἥντινα λαοὶ
Πολλοὶ φημίζουσι· θεός νυ τίς ἐστι καὶ αὐτή.

καὶ τούτων τῶν ποιημάτων τοὺς μὲν εὐσχημόνως βεβιωκότας εὑρήσετε ἐπαινέτας ὄντας· πάντες γὰρ οἱ δημοσίᾳ φιλότιμοι παρὰ τῆς ἀγαθῆς φήμης ἡγοῦνται τὴν δόξαν κομιεῖσθαι· οἷς δ' αἰσχρός ἐστιν ὁ βίος, οὐ τιμῶσι τὴν θεὸν ταύτην· κατήγορον γὰρ αὐτὴν ἀθάνατον ἔχειν ἡγοῦνται. 53. ἀναμνήσθητε οὖν, ὦ ἄνδρες, τίνι κέχρησθε φήμῃ περὶ Τιμάρχου. οὐχ ἅμα τοὔνομα λέγεται, καὶ τὸ ἐρώ-

---

Φήμης] Scholiastes ad nostrum locum: Ἀθήνησιν ἐστι βωμὸς Φήμης. Κίμωνος ἐν Παμφυλίᾳ νικήσαντος ναυμαχίαν καὶ πεζομαχίαν, αὐθημεροὶ ἔγνωσαν Ἀθηναῖοι, ὡς ὕστερον, αὐτοῦ διὰ γραμμάτων σημήναντος. ὅθεν πρῶτον καὶ βωμὸν τῇ Φήμῃ ὡς θεῷ ἀνιδρύσαντο.

Φήμη δ' εἰς στρατὸν ἦλθε] Nusquam hoc in Homero legitur, sed videtur hemistichium fuisse, quod in ore omnium erat, et fortasse ut Homericum ferebatur. Vide Heyne Obsvv. ad Homer. T. VIII. p. 790.

Ἡσίοδος] Locus est ἔργ. καὶ ἡμερ. v. 763. s.

οὐχ ἅμα τοὔνομα λέγεται, καὶ τὸ ἐρώτημα εὐθὺς ἐρωτᾶτε] Revocavi hanc Mss. lectionem, quam non erat cur Reiskius in ἐρωτᾶται mutaret. Λέγεται est generale. Contra ἐρωτᾶτε ad eos ipsos, qui adsunt, refertur, eadem persona et praecedit et sequitur.

τημα εὐθὺς ἐρωτᾶτε, ποῖος Τίμαρχος; ὁ πόρνος; ἔπειτα εἰ μὲν μάρτυρας παρειχόμην περί τινος, ἐπιστεύετ' ἄν μοι· εἰ δὲ τὴν θεὸν μάρτυρα παρέχομαι, οὐ πιστεύσετε; ἢ οὐδὲ ψευδομαρτυριῶν θέμις ἐστὶν ἐπισκήψασθαι. ἐπεὶ καὶ περὶ τῆς Δημοσθένους ἐπωνυμίας, οὐ κακῶς ὑπὸ τῆς φήμης, ἀλλ' οὐχ ὑπὸ τῆς τίτθης, Βάταλος προσαγορεύεται, ἐξ ἀνανδρίας τινὸς καὶ κιναιδείας ἐνεγκάμενος τοὔνομα. εἰ γάρ τίς σου τὰ κομψὰ ταῦτα χλανίσκια περιελόμενος, καὶ

ἢ οὐδὲ ψευδομαρτυριῶν θέμις ἐστὶν ἐπισκήψασθαι] Sic Reiskius dedit, duce cod. Mead. Vulgo ἐπισκῆψαι. Sed ἐπισκήπτειν τινὶ est mandare alicui, ἐπισκήπτεσθαί τινι incumbere alicui, de accusatione, cum genitivo criminis, cujus quis accusatur. Pollux VIII, 36. Κατὰ τῶν μὲν ψευδῆ μαρτυρούντων, δίκη ψευδομαρτυριῶν, ὃ καὶ ἐπισκήψασθαι ψευδομαρτυριῶν ἐλέγετο. Demosth. πρὸς Ἀφοβ. ψευδομαρτ. p. 846. οὐδ' ἥτινι τούτων τῶν ψευδομαρτυριῶν ἐπεσκήψατο.

περὶ τῆς Δημοσθένους ἐπωνυμίας] Uncis haec liberavi, quibus incluserat Reiskius. Multum conferunt ad enuntiationis perspicuitatem et rotunditatem. Περὶ absolute positum significat quod attinet ad. Demosth. περὶ Στεφ. p. 309. πρῶτον μὲν περὶ σωτηρίας τῆς πόλεως, τὰς ἐμὰς γνώμας ἐχειροτόνει: ubi Reiskius ex quibusdam libris post πόλεως inseruit βουλευόμενος, quem secutus est Bekkerus. Etiam ὑπὲρ sic dicitur absolute. Ctes. 75. ὑπὲρ τοῦ μηδέπω κρίνεσθαι ὑπ' ἐμοῦ μηδὲ τῶν ἀδικημάτων τιμωρίαν παρασχεῖν, ὅταν καταφεύγῃς ἐπὶ τοὺς τοιούτους λόγους, ἢ τοὺς ἀκούοντας ἐπιλήσμονας ὑπολαμβάνεις, ἢ σαυτὸν παραλογίζῃ.

χλανίσκια] Pollux VII, 48. χλανὶς δὲ ἱμάτιον λεπτόν. Χλανίδια δ' αὐτὸ καὶ χλανίσκια ἐκάλουν. Utramque deminutivi formam agnoscit etiam Thomas M. s. v. χλανίδιον, qui veram lectionem servavit περιελόμενος cum Mead. Coisl. Regg. 1. 2. 4. et Helmst. Vulgo περικλόμενος. Per χιτωνίσκους muliebris vestis intelligi debet; χιτωνίσκοι παρθένων a Polluce memorantur. Hunc locum respicit A. Gellius Noctt. Atticc. L. I. 5. Demosthenem tradunt et vestitu sincero et cultu corporis nitido venustoque et nimis accurato fuisse. Hinc etiam κομψὴ illa χλανὶς καὶ μαλακοὶ χιτωνίσκοι ab aemulis adversariisque probro dicta.

τοὺς μαλακοὺς χιτωνίσκους, ἐν οἷς τοὺς κατὰ τῶν φίλων λόγους γράφεις, περιενέγκας δοίη εἰς τὰς χεῖρας τῶν δικαστῶν, οἴομαι ἂν αὐτοὺς, εἴ τις μὴ προειπὼν τοῦτο ποιήσειεν, ἀπορῆσαι, εἴ τε ἀνδρὸς, εἴ τε γυναικὸς εἰλήφασιν ἐσθῆτα. 54. ἀναβήσεται δ' ἐν τῇ ἀπολογίᾳ καὶ τῶν στρατηγῶν τις, ὡς ἀκούω, ὑπτιάζων καὶ κατασκοπούμενος ἑαυτὸν, ὡς ἐν παλαίστραις καὶ διατριβαῖς γεγονώς· ὃς ἐπιχειρήσει διασύρειν τὴν ὅλην ἔνστασιν τοῦ ἀγῶνος, οὐ κρίσιν ἐξευρηκέναι με φάσκων, ἀλλὰ δεινῆς ἀπαιδευσίας ἀρχήν· παραφέρων πρῶτον μὲν τοὺς εὐεργέτας τοὺς ὑμετέρους, Ἁρμόδιον καὶ Ἀριστογείτονα, καὶ τὴν πρὸς ἀλλήλους πίστιν, καὶ τὸ πρᾶγμα ὡς συνήνεγκε τῇ πόλει, διεξιών· οὐκ ἀφέξεται δ', ὥς φασιν, οὐδὲ τῶν Ὁμήρου ποιημάτων, οὐδὲ τῶν ὀνομάτων τῶν ἡρωϊκῶν, ἀλλὰ καὶ τὴν λεγομένην γενέσθαι φιλίαν δι' ἔρωτα Πατρόκλου καὶ Ἀχιλλέως ὑμνήσει, καὶ τὸ κάλλος, ὥσπερ οὐ πάλαι μακαριζόμενον, ἂν τύχῃ σωφροσύνης, νῦν ἐγκωμιάσεται. εἰ γὰρ τὴν τοῦ σώματος εὐπρέπειαν ταύτην τινὲς διαβάλλοντες, συμφορὰν τοῖς ἔχουσι καταστήσουσιν, οὐ ταὐτὰ κοινῇ ψηφιεῖσθαι φήσου-

---

κατὰ τῶν φίλων λόγους] Pungit praevaricationem Demosthenis, modo pro Phormione adversus Apollodorum agentis, modo pro hoc adversus illum. Quam inconstantiam et perfidiam, paene dixerim, vir honestus haud facile neque probet, neque in se admittat. Reiske.

54. ἔνστασιν] Thomas M. p. 313. sq. ἔνστασις οὐ μόνον τὸ ἐνίστασθαι πρὸς τὸν τοῦ κατηγόρου λόγον, ἤγουν μάχεσθαι καὶ ἀντιπίπτειν καὶ τἀναντία ἀντικατασκευάζειν, ἀλλὰ καὶ τὸ διατιθέναι καὶ οἰκονομεῖν· ὡς ὁ Αἰσχίνης· ἡ μὲν τοίνυν ἐξ ἀρχῆς ἔνστασις τῶν ὅλων πραγμάτων. καὶ ἐνεστησάμην τὸν ἀγῶνα ἀντὶ τοῦ διέθηκα καὶ ᾠκονόμησα. Respicit locum παραπρ. 6. Verterim rationem et institutum. Quod sequitur ἀρχὴ, est primum exemplum ἀπαιδευσίας, rusticitatis et inhumanitatis. Infra c. 78. ἀρχὴν εὐκοσμίας τῇ πόλει κατασκευάζετε.

καὶ τὴν πρὸς ἀλλήλους πίστιν] Post τὴν Reiskius αὐτῶν addendum censet. Quod si in Mss. esset, non rejicerem. Sed non opus. Eo enim omisso, nulla oritur ambiguitas.

σιν ὑμᾶς, ἃ καὶ ἰδίᾳ εὔχεσθε. ἄτοπον γὰρ εἶναι, ὡς δοκεῖ ἑαυτῷ, εἰ τοὺς μὲν υἱεῖς τοὺς μηδέπω γεγονότας ἅπαντες εὔχεσθε, οἱ μέλλοντες παιδοποιεῖσθαι, καλοὺς κἀγαθοὺς τὰς ἰδέας φῦναι, καὶ τῆς πόλεως ἀξίους· τοὺς δὲ ἤδη γεγονότας, ἐφ' οἷς προσήκει σεμνύνεσθαι τὴν πόλιν, ἐὰν κάλλει διενεγκόντες καὶ ὥρᾳ ἐκπλήξωσί τινας, καὶ περιμάχητοι ἐξ ἔρωτος γένωνται, τούτους, ὡς ἔοικεν, Αἰσχίνῃ πεισθέντες, ἀτιμώσετε. 55. κἀνταῦθα δή τινα καταδρομὴν, ὡς ἀκούω, μέλλει περὶ ἐμοῦ ποιεῖσθαι, ἐπερωτῶν, εἰ οὐκ αἰσχύνομαι, αὐτὸς μὲν ἐν τοῖς γυμνασίοις ὀχληρὸς ὢν, καὶ πλείστων ἐραστὴς γεγονὼς, τὸ δὲ πρᾶγμα εἰς ὄνειδος καὶ κινδύνους καθιστὰς, καὶ, τὸ τελευταῖον, ὡς ἀπαγγέλλουσί τινές μοι, εἰς γέλωτα καὶ λῆρόν τινα προτρεπόμενος ὑμᾶς, ἐπιδείξεσθαί μου φησὶν ὅσα πεποίηκα ἐρωτικὰ εἴς τινας ποιήματα, καὶ λοιδοριῶν τινῶν καὶ πληγῶν ἐκ τοῦ πράγματος, αἳ περὶ ἐμὲ γεγένηνται, μαρτυρίας φησὶ παρέξεσθαι. ἐγὼ δὲ οὔτε ἔρωτα δίκαιον ψέγω, οὔτε τοὺς κάλλει

ἃ καὶ ἰδίᾳ εὔχεσθε] Sic dedi e Bern. et Helmst., non quod vulgatum εὔχεσθαι pro soloeco habeam. Sed et codd. praestantiam et orationis simplicitatem secutus sum. Oratio hic directa perquam apta, paene dixerim necessaria. Cf. παραπρ. 4. In seqq. ὡς δοκεῖν ἑαυτῷ infinitivus non mutandus. Supplendum, ὡς φήσει δοκεῖν ἑαυτῷ. Notandum vero, quod ex antecedente plurali φήσουσιν repente singularis sit assumendus.

κάλλει διενεγκόντες καὶ ὥρᾳ] Hunc verborum ordinem ex Helmst. recepi, ut subtiliorem et Aeschini adamatum. Vulgo κάλλει καὶ ὥρᾳ διενεγκόντες.

ἀτιμώσετε] Ammonius p. 26. Ἀτιμοῦται καὶ ἀτιμάζεται διαφέρει. Ἀτιμοῦται μὲν γάρ τις ὑπὸ τῶν νόμων ὁλοσχερεῖ ἀτιμίᾳ. Ἀτιμάζεται δὲ ὁ ὑβριζόμενος ἔν τινι πράγματι. Scholiastes ad Aj. 1148. ἀτιμάζω τὸ καταφρονῶ. ἀτιμῶ, τὸ ἄτιμον ποιῶ.

55. καταδρομὴν – ποιεῖσθαι] Locutio proprie de repentina irruptione hostium, ut praedam capiant. Tropice hic de loquentis subita incursione dicitur, qua quis adversarium laqueis se irretiturum opinatur.

διαφέροντας φημὶ πεπορνεῦσθαι, οὔτ' αὐτὸς ἐξαρνοῦμαι μὴ οὐ γεγονέναι ἐρωτικὸς, καὶ ἔτι καὶ νῦν εἶναι, τάς τε ἐκ τοῦ πράγματος γινομένας πρὸς ἑταίρους φιλονεικίας καὶ μάχας οὐκ ἀρνοῦμαι μὴ οὐχὶ συμβεβηκέναι μοι. περὶ δὲ τῶν ποιημάτων, ὧν φασὶν οὗτοί με πεποιηκέναι, τὰ μὲν ὁμολογῶ, τὰ δὲ ἐξαρνοῦμαι μὴ τοῦτον ἔχειν τὸν τρόπον, ὃν οὗτοι διαφθείραντες παρέχονται. 56. *ὁρίζομαι δ' εἶναι, τὸ μὲν ἐρᾶν τῶν καλῶν καὶ σωφρόνων, φιλανθρώπου πάθος καὶ εὐγνώμονος ψυχῆς· τὸ δὲ ἀσελγαίνειν ἀργυρίου τινὰ μισθούμενον, ὑβριστοῦ καὶ ἀπαιδεύτου ἀνδρὸς ἔργον εἶναι ἡγοῦμαι. καὶ τὸ μὲν ἀδιαφθόρως ἐρᾶσθαι, φημὶ καλὸν εἶναι· τὸ δὲ ἐπαρθέντα μισθῷ πεπορ-*

οὔτ' αὐτὸς ἐξαρνοῦμαι μὴ οὐ γεγονέναι ἐρωτικὸς — — τὰ δὲ ἐξαρνοῦμαι μὴ τούτον ἔχειν τὸν τρόπον] Contrarium est *ἐξαρνοῦμαι μὴ οὐ* seq. infin., et *ἐξαρνοῦμαι μή*. *οὐκ ἐξαρνοῦμαι μὴ οὐ γεγονέναι*. Non nego, me fuisse i. e. concedo me fuisse. Negationes se tollunt invicem. *ἐξαρνοῦμαι μὴ οὕτως ἔχειν* negô, hoc ita comparatum esse. Hermannus subtiliter ista tractavit ad Vigerum p. 796, sqq., nos sententiam spectavimus.

56. *φιλανθρώπου πάθος καὶ εὐγνώμονος ψυχῆς*] Sic dedit Reiskius e Marklandi conjectura. Vulgo *πάθους* pro *πάθος*. Sed *τὸ ἐρᾶν* est *πάθος ψυχῆς*; *τὸ ἀσελγαίνειν* est *ἔργον ἀνδρός*. Nonnisi admissa hac conjectura enuntiatio sibi constat, et oppositio est justa. *Φιλανθρώπῳ καὶ εὐγνώμονι ψυχῇ* respondet *ὑβριστὴς καὶ ἀπαίδευτος ἀνὴρ*, *τῷ πάθει τὸ ἔργον*.

ἀδιαφθόρως] Bekkeri Anecd. p. 313. *ἀδιάφθορον ἄμωμον. λέγεται δὲ ἀδιάφθορον καὶ τὸ μηδεμιᾷ ὑποκείμενον φθορᾷ, ὡς Πλάτων ἐν τῷ περὶ ψυχῆς. λέγεται δὲ ἀδιάφθορον καὶ τὸ μὴ παρακεκινημένον τῆς ὀρθῆς γνώμης, ὡς ὁ αὐτὸς ἐν νόμων ἕκτῳ· ἀδιαφθόρους ταῖς δεήσεσι δικάζειν: παράγεται δὲ ἡ λέξις καὶ ἐπιῤῥηματικῶς, ὡς Αἰσχίνης φησὶν ἀδιαφθόρως.* Scholiastes ad nostrum locum explicat *ἀδωροδοκήτως*. Sed amplior est significatio incorrupte, in universum, nec corruptum pecunia, nec alia re ulla, sed honeste prorsus.

ἐπαρθέντα] Significatione mala incitatum. Infra c. 78. *πολλοὺς ἁμαρτάνειν ἐπαρεῖ.* Glossographi *ἐπαίρειν* explicant per *ἀναπείθειν*. Harpocration *ἐπαιρόμενος ἀντὶ τοῦ ἐπανατεινόμενος* (forsitan *ἐπαναπειθόμενος*) *Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. — ἐν δὲ τῷ*

νεῦσθαι, αἰσχρόν. ὅσον δὲ ἑκάτερον τούτων ἀπ' ἀλλήλων διέστηκε, καὶ ὡς πολὺ διαφέρει, ἐν τοῖς ἐφεξῆς ὑμᾶς πειράσομαι λόγοις διδάσκειν. οἱ γὰρ πατέρες ὑμῶν ὅθ' ὑπὲρ τῶν ἐπιτηδευμάτων καὶ τῶν ἐκ φύσεως ἀναγκαίων κακῶν καὶ ἀγαθῶν ἐνομοθέτουν, ἃ τοῖς ἐλευθέροις ἡγοῦντο εἶναι πρακτέα, ταῦτα τοῖς δούλοις ἀπεῖπον μὴ ποιεῖν· „Δουλον, φησιν ο νομος, μη γυμναζεσθαι, μηδε ξηραλοιφειν εν ταις παλαιστραις.“ καὶ οὐκ ἔτι προςέγραψε, τὸν δ' ἐλεύθερον ἀλείφεσθαι καὶ γυμνάζεσθαι. ὁπότε γὰρ οἱ νομοθέται τὸ καλὸν τὸ ἐκ τῶν γυμνασίων κατιδόντες, ἀπεῖπον τοῖς δούλοις μὴ μετέχειν, τῷ αὐτῷ νόμῳ ἡγοῦντο, ᾧ ἐκείνους ἐκώλυον, τους ἐλευθέρους προτρέπειν ἐπὶ τὰ γυμνάσια. 57. πάλιν ὁ αὐτὸς οὗτος εἶπε νομοθέτης, „Δουλον ελευθερου παιδος μητ' εραιν μητ' επακολουθειν, η τυπτεσθαι

ἑτέρῳ ἐπ' ἄλλου σημαινομένου φησὶν, ἢ κέρδεσι δι' ἀπορίαν ἐπαιρομένους. Ἀριστοφάνης ἐν Νεφέλαις,

εἴθ' ὤφελ' ἡ προμνήστρι' ἀπολέσθαι κακῶς,
Ἥ τις με γῆμ' ἐπῆρε τὴν σὴν μητέρα.

Vide Ruhnkenium ad Timaeum p. 118.

ξηραλοιφεῖν] Mead. ξηραλειφεῖν: quae perpetua fere confusio est in verbis sic ab ἀλείφω derivatis. Sed ξηραλοιφεῖν scribendum esse, quippe quum a perfecto secundo verbi ἀλείφειν derivata sint, abunde docuit Lobeck post Phryn. p. 571. Harpocration ξηραλοιφεῖν, Αἰσχίνης κατὰ Τιμάρχου. ξηραλοιφεῖν ἐλέγετο χωρὶς λουτρῶν ἀλείφεσθαι, ὡς Δίδυμος ἐν εἰκοστῇ ὀγδόῃ τραγικῆς λέξεως, καὶ Νίκανδρος ἐν ὀγδόῃ καὶ δεκάτῃ Ἀττικῆς διαλέκτου, προςτιθεὶς ὅτι μή ποτε καὶ τὸ ὑπὸ τῶν ἀλειπτῶν λεγόμενον ξηροτρίβεσθαι οὕτως ἐλέγετο. Σοφοκλῆς Πηλεῖ

καὶ ξηραλοιφῶν αἵματος διὰ πτυχῶν.

Aridam unctionem possis vertere, quae propria fuit athletarum, qui, antequam luctarentur, ungi solebant, quod ξηραλοιφεῖν dicebatur, ad distinctionem unctionum balneariam et convivalium. Cf. etiam Wyttenbach. Animadvv. ad Plutarchi Moral. T. II. p. 239. Edit. Lips.

57. μήτ' ἐρᾷν μήτ' ἐπακολουθεῖν] Μήτ' ante ἐρᾷν dedi e Lock. et Helmst. Vulgo μὴ ἐρᾷν. Quamquam vero μήτε post μὴ vel μηδὲ

τῇ δημοσίᾳ μάστιγι πεντήκοντα πληγάς." ἀλλ' οὐ τὸν ἐλεύθερον ἐκώλυσεν ἐρᾷν, καὶ ὁμιλεῖν, καὶ ἀκολουθεῖν· οὐδὲ βλάβην τῷ παιδὶ, ἀλλὰ μαρτυρίαν σωφροσύνης ἡγήσατο συμβαίνειν. ἀκύρου δ', οἶμαι, καὶ ἀδυνάτου ἔτι ὄντος κρῖναι τὸν ὄντως εὔνουν καὶ μὴ, τὸν ἐρῶντα σωφρονίζει, καὶ τοὺς τῆς φιλίας λόγους εἰς τὴν φρονοῦσαν καὶ πρεσβυτέραν ἡλικίαν ἀναβάλλεται· τὸ δ' ἐπακολουθεῖν καὶ ἐφορᾷν, φρουρὰν καὶ φυλακὴν σωφροσύνης ἡγήσατο εἶναι μεγίστην. τοιγάρτοι τοὺς τῆς πόλεως μὲν εὐεργέτας, ταῖς δ' ἀρεταῖς ὑπερενηνοχότας, Ἁρμόδιον καὶ Ἀριστογείτονα, ὁ σώφρων καὶ ἔννομος, εἴτε ἔρωτα, εἴτε τρόπον αὐτὸν χρὴ προσειπεῖν, τοιούτους ἐπαίδευσεν, ὥστε τοὺς ἐπαινοῦντας τὰ ἐκείνων ἔργα, καταδεεστέρους δοκεῖν εἶναι ἐν τοῖς ἐγκωμίοις τῶν ἐκείνοις πεπραγμένων. ἐπειδὴ δὲ Ἀχιλλέως καὶ Πατρόκλου μέμνησθε, καὶ Ὁμήρου, καὶ ἑτέρων ποιητῶν, ὡς τῶν μὲν δικαστῶν ἀνηκόων παιδείας

---

non cum Elmslejo ad Eurip. Med. v. 4. 5. soloecum pronuntiem; hic tamen μήτε unice verum puto. Nam disjuncta hic sunt ἐρᾷν et ἐπακολουθεῖν, et codd. praestantes veram lectionem praebent. Etiam aliis locis aberrarunt librarii. Ctes. 39. μὴ μετέχειν τοῖς ἐκεῖ συλλεγομένοις, μὴ λόγων, μήτ' ἔργων, μήτε δογμάτων, μήτε πράξεως μηδεμιᾶς. Sed ego scripsi e Bern. μήτε λόγων, quod habet etiam Bekkerus.

τύπτεσθαι — — πεντήκοντα πληγὰς] Verba vapulandi in forma passiva asciscunt accusativum πληγῶν, quod hinc factum videtur, quoniam in passivo actio insit transitiva. Τύπτεσθαι πληγὰς eandem notionem habet, quam πληγὰς λαμβάνειν. Aristoph. Nub. 972 Br.

ἐπετρίβετο τυπτόμενος πολλάς.

ἀκύρου - δ' ὄντος] Sc. αὐτοῦ. Subjectum in participio absoluto interdum omittitur, si id e contextu facile et certe suppletur, ut nulla locum habere possit ambiguitas. Fit id inprimis, si pronomen, ad antecedens substantivum relatum, subjecti loco esse oporteat, vel si enuntiatio sit indefinita. Cf. Matthiae Gr. Gr. §. 563.

ἀνηκόων] Videtur Aeschines hoc vocabulum de industria elegisse,

ὄντων, ὑμεῖς δὲ εὐσχήμονές τινες προςποιεῖσθε εἶναι, καὶ ὑπερφρονοῦντες ἱστορίᾳ τὸν δῆμον· ἵν' εἰδῆτε, ὅτι καὶ ἡμεῖς τι ἤδη ἠκούσαμεν καὶ ἐμάθομεν, λέξομέν τι καὶ ἡμεῖς περὶ τούτων. ἐπειδὴ γὰρ ἐπιχειροῦσι φιλοσόφων ἀνδρῶν μεμνῆσθαι, καὶ καταφεύγειν ἐπὶ τοὺς εἰρημένους ἐν τῷ μέτρῳ λόγους, θεωρήσατε ἀποβλέψαντες, ὦ Ἀθηναῖοι, εἰς τοὺς ὁμολογουμένως ἀγαθοὺς καὶ χρηστοὺς ποιητάς, ὅσον κεχωρίσθαι ἐνόμισαν τοὺς σώφρονας, καὶ τῶν ὁμοίων ἐρῶντας, καὶ τοὺς ἀκρατεῖς, ὧν οὐ χρή, καὶ τοὺς ὑβριστάς. 58. λέξω δὲ πρῶτον μὲν περὶ Ὁμήρου, ὃν ἐν τοῖς πρεσβυτάτοις καὶ σοφωτάτοις τῶν ποιητῶν εἶναι τάττομεν. ἐκεῖνος γὰρ πολλαχοῦ μεμνημένος περὶ Πατρόκλου καὶ Ἀχιλλέως, τὸν μὲν ἔρωτα καὶ τὴν ἐπωνυμίαν αὐτῶν τῆς φιλίας ὑποκρύπτεται· ἡγούμενος τὰς τῆς εὐνοίας ὑπερβολὰς καταφανεῖς εἶναι τοῖς πεπαιδευμένοις τῶν

---

ut majorem in adversarium invidiam excitet. Ἀνήκοος enim non solum est imperitus, sed plane rudis; qui ne fando quidem de re quidquam audivit. Demosthenes παραπρ. p. 441. τίς γάρ ἐστιν Ἑλλήνων ἢ βαρβάρων οὕτω σφόδρα σκαιὸς καὶ ἀνήκοος.

εὐσχήμονες] Hic ironice, ut κομψοί, habiles et elegantes homines, qui liberalissime se educatos esse affectant.

ἐν τῷ μέτρῳ] Reiskius in varietate lectionis ait, articulum se malle abesse. Sed is haud damnandus. Nam c. 59. fin. ἵνα δὲ καὶ διὰ τοῦ μέτρου τὰς γνώμας ἀκούσητε τοῦ ποιητοῦ.

ὧν οὐ χρή] Suppleri ex antecedentibus potest ἐρῶντας, vel locus sic intelligendus ἀκρατεῖς ὧν οὐ χρὴ indecore lascivos. Lascivia quidem per se ipsa est indecora. Ejusmodi tamen appositiones saepe adduntur ad significandam magnitudinem rei nefariae.

58. εἶναι τάττομεν] Taylor εἶναι vult deleri, Reiskius ejus loco conjicit εἰκότως. Neutro opus. Hoc εἶναι satis vindicavit Reitzius apud Hermannum ad Viger. p. 731. Ctes. 31. τὸν αὐτὸν Ἀθηναίοις φίλον καὶ ἐχθρὸν νομίζειν εἶναι; ubi Taylor eumque secutus Reiskius εἶναι uncis inclusit.

ἀκροατῶν. λέγει γάρ που Ἀχιλλεὺς ὀδυρόμενος τὸν τοῦ Πατρόκλου θάνατον, ὡς ἕν τι τοῦτο τῶν λυπηροτάτων ἀναμιμνησκόμενος, ὅτι τὴν ὑπόσχεσιν τὴν πρὸς τον πατέρα τὸν Πατρόκλου, τὸν Μενοίτιον, ἄκων ἐψεύσατο. ἐπαγγείλασθαι γὰρ αὐτὸν εἰς Ὀποῦντα σῶον ἀπάξειν τὸν Πάτροκλον· ἦν γὰρ Ὀπούντιος· εἰ συμπέμψειεν αὐτὸν εἰς τὴν Τροίαν, καὶ παρακατάθοιτο αὐτῷ. ᾧ καταφανής ἐστιν, ὡς δι' ἔρωτα τὴν ἐπιμέλειαν αὐτοῦ παρέλαβεν. ἔστι δὲ τὰ ἔπη, ἃ ἐγὼ νυνὶ μέλλω λέγειν·

Ὢ πόποι, ἦ ῥ' ἅλιον ἔπος ἔκβαλον ἤματι κείνῳ,
Θαρσύνων ἥρωα Μενοίτιον ἐν μεγάροισι.
Φῆν δέ οἱ εἰς Ὀπόεντα περικλυτὸν υἱὸν ἀπάξειν,
Ἴλιον ἐκπέρσαντα, λαχόντα τε ληΐδος αἶσαν.
Ἀλλ' οὐ Ζεὺς ἄνδρεσσι νοήματα πάντα τελευτᾷ.
Ἄμφω γὰρ πέπρωται ὁμοίην γαῖαν ἐρεύθειν.

59. Οὐ τοίνυν ἐνταῦθα μόνον σχετλιάζων φαίνεται, ἀλλ'

ὀδυρόμενος — — ὡς ἕν τι τοῦτο τῶν λυπηροτάτων ἀναμιμνησκόμενος] Ὀδυρόμενος idem hic valet, quod ἐν τῷ ὀδύρεσθαι: quum deplorat Patroclum, hoc ut acerbissimum affert. Non erat, cur Taylor ὡς — ἀναμιμνησκόμενος pro glossemate damnaret. Immo quod hoc ut acerbissimum notatur, erat argumentum amoris Achillis in Patroclum. Eodem modo per ἓν διὰ δυοῖν dictum, inserta copula c. 59. ὀδυρόμενος δὲ καὶ τὰς διατριβὰς διεξιών. Αὐτὸν — αὐτὸν — αὐτῷ. Memorandum, idem pronomen nunc ad Achillem, nunc ad Patroclum, nunc iterum ad Achillem sine indicio respicere. Scilicet saepius jam monui, antiquos attentos sibi cogitavisse et auditores et lectores.

ὢ πόποι] Locus est Il. XVIII, 324. ss. In Homero legitur ἐρεῦσαι pro ἐρεύθειν. Utraque lectio conjuncta est in cod. Mead. ἐρευθεινσαι.

59. σχετλιάζων] Σχετλιάζειν de vehemente affectu ejusque significatione per gestum vel vocem vel facta dicitur, unde quis appareat non tranquillae mentis esse, sed occoecatus affectu; inprimis de moerore et indignatione. Ctes. 84. οὓς νομίζεθ' ὁρᾶν σχετλιάζοντας, εἰ οὗτος στεφανωθήσεται. 89. Ἀριστείδην — — σχετλιάζοντα ἐπὶ τῷ τῆς δικαιοσύνης προπηλακισμῷ.

Τείχει ὑπὸ Τρώων εὐηγενέων ἀπολέσθαι,
Μαρνάμενον δηΐοις Ἑλενης ἕνεκ' ἠϋκόμοιο.
Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
Μὴ ἐμὰ σῶν ἀπάνευθε τιθήμεναι ὀστέ', Ἀχιλλεῦ,
Ἀλλ' ἵνα πέρ σε καὶ αὐτὸν ὁμοίη γαῖα κεκεύθῃ

εὐηγενέων] Heyne in Obsvv. ad hunc versum monet. „Incidimus in vocem dubiam et obscuram: etsi vulgo redditur nobilium *εὐηγενέων*, per se non abhorrente sententia; ut conveniat quodam modo cum epitheto *μεγάθυμοι, μεγαλήτορες*, etsi proprie ad fortitudinem animi spectet. Verum forma grammatica offendit; si enim a *γένος* ducitur, sunt *εὐγενεῖς*, nec apparet, unde *τὸ η* interpositum duci possit. Multo magis suspecta sit vox ex eo, quod *εὐγενὴς* in Homero non occurrit. Laborarunt itaque in hoc grammatici. Schol. A. *ἐν τῷ Ῥιάνου καὶ Ἀριστοφάνους, εὐηφενέων διὰ τοῦ φ, εὖ τῷ ἀφένῳ χρωμένων, ὡς Κλέαρχος ἐν ταῖς γλώτταις.* Potest vocabulum placere; memorant quoque eam lectionem Schol. B. V. Exc. addunt tamen: *εὐηγενέων τῶν καλοὺς ἀγροὺς ἐχόντων.* (quasi a *γαῖα* duci possit) *η γένη.* Schol. br. *εὖ διαγόντων* (quasi ab *ἀγινέω* ductum sit) *εὐγενῶν.* Quod vulgo legitur *εὐηγενέων* (vitiose Vrat. b. *εὐγενέων*; saltem est *ἠϋγενέων*) vides memorari ab omnibus, et in eo acquievere Grammatici Ven. A. B. cum codd., tum Apollonii Lexicon. Agnoscit quoque Hesychius item Etymol., qui etiam *εὐηγενὴς* comparat cum *εὐηγεσία* Od. T, 114. Adhibitam quoque vocem in Theocriteis XXVII, 42. *ἐξ εὐηγενέων.* Auctoritas antiquior est Aeschinis, qui hunc locum recitat et eandem vocem habet.“ Vocabulum vindicavit Lobeck post Phrynich. p. 699. sq. Cf. etiam Thiersch Gr. Gr. p. 213.

μαρνάμενον δηΐοις Ἑλένης ἕνεκ' ἠϋκόμοιο] Deest hic versus in edd. Homeri.

σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν] Quod cod. Mead. in margine habet *καὶ ἐφήσομαι αἴκε πίθηαι*, id legitur in nostris Homeri editionibus.

τιθήμεναι] Heyne in Obsvv. ad l. „Schol. A accipit *τιθήμεναι* pro imperativo pronuntiatum; quum tamen satis ab antecedente verbo aut formula pendere possit. Potuisse quoque *τιθέμεναι, τιθέμμεναι* scribi, observat Eustathius, miraturque poëtam (dicere voluit grammaticos) non hoc maluisse. *τιθήμεναι* puta esse a *τιθέω.* Legit quoque *τιθήμεναι* Aeschines.“ Cf. Thiersch Gr. Gr. p. 302.

ἀλλ' ἵνα πέρ σε καὶ αὐτὸν ὁμοίη γαῖα κεκεύθῃ

Χρυσέῳ ἐν ἀμφιφορεῖ, τόν τοι πόρε πότνια μήτηρ.
Ὡς ὁμοῦ ἐτράφεμέν περ ἐν ὑμετέροισι δόμοισιν,
Εὖτέ με τυτθὸν ἐόντα Μενοίτιος ἐξ Ὀπόεντος
Ἤγαγεν ὑμέτερόνδ᾽, ἀνδροκτασίης ὑπὸ λυγρῆς,
Ἤματι τῷ, ὅτε παῖδα κατέκτανον Ἀμφιδάμαντος
Νήπιος, οὐκ ἐθέλων, ἀμφ᾽ ἀστραγάλοισι χολωθείς·
Ἔνθα με δεξάμενος ἐν δώμασιν ἱππότα Πηλεὺς
Ἔτρεφέ τ᾽ ἐνδυκέως, καὶ σὸν θεράποντ᾽ ὀνόμηνεν·
Ὡς δὲ καὶ ὀστέα νῶϊν ὁμὴ σορὸς ἀμφικαλύπτοι.

Ὡς τοίνυν ἐξῆν ἂν αὐτῷ σωθῆναι μὴ τιμωρησαμένῳ τὸν τοῦ Πατρόκλου θάνατον, ἀνάγνωθι, ἃ λέγει ἡ Θέτις·

χρυσέῳ ἐν ἀμφιφορεῖ, τόν τοι πόρε πότνια μήτηρ] Hi versus in Homero non leguntur. Nescio tamen an Hesychius nostrum locum respexerit, ἀμφιφορεὺς explicans σορός. In Homeri edd. additur post v. 91. σορὸς ἀμφικαλύπτοι hic versus χρυσέος ἀμφιφορεύς, τόν τοι πόρε πότνια μήτηρ. sed dubius, et a grammaticis multis rejectus. Nostro loco eum addit cod. Mead. In nostro Homero oppositio sic incipit.

ἀλλ᾽ ὁμοῦ ὡς ἐτράφημεν ἐν ὑμ. δο.

atque sic etiam cod. Mead. Heynius peculiarem habet excursum super hunc locum de salebris interpretationis et criticis ex grammatica Homeri imperfecta.

νήπιος] Apollodorus Biblioth. L. III, c. 13., 8. οὗτος ἐν Ὀποῦντι διενεχθεὶς ἐν παιδιᾷ περὶ ἀστραγάλων παίζων παῖδα Κλεώνυμον τὸν Ἀμφιδάμαντος ἀπέκτεινε. καὶ φυγὼν μετὰ τοῦ πατρὸς παρὰ Πηλεῖ κατῴκει καὶ Ἀχιλλέως ἐρώμενος γίνεται. Schol. Victor. παῖδα ἀνεῖλεν, ὃν μὲν Κλεώνυμον, οἱ δὲ Αἰάνην, οἱ δὲ Λύσανδρον καλεῖσθαι λέγουσιν. ἀπέκτεινε δὲ αὐτὸν παρὰ Ὀθρυονεῖ, τῷ γραμματιστῇ, ὥς φησιν Ἀλέξανδρος ὁ Αἰτωλὸς ἐν Ἀστραγαλισταῖς.

ἔτρεφε] Homerus ἔτραφε: quod ut Homericum asserit Heyne. ἐνδυκέως explicant Scholiastae et glossographi ἐπιμελῶς, φιλοφρόνως. Lennepio proprie esse videtur penitus: ab antiquo ἐνδυκής, quod ab ἐνδύω, induo, penetro, ineo.

ἃ λέγει ἡ Θέτις] Il. XVIII, 95. Versus saepius ab antiquis adhibiti sunt in variis temporibus, ut docuit Heynius.

Ὠκύμορος δή μοι, τέκος, ἔσσεαι, οἷ' ἀγορεύεις·
Αὐτίκα γάρ τοι ἔπειτα μεθ' Ἕκτορα πότμος ἑτοῖμος.
Τὴν δ' αὖτε προςέειπε ποδάρκης δῖος Ἀχιλλεύς·
Αὐτίκα τεθναίην· ἐπεὶ οὐκ ἄρ' ἔμελλον ἑταίρῳ
Κτεινομένῳ ἐπαμῦναι, ὅ μοι πολὺ φίλτατος ἔσκεν.

61. Ὁ τοίνυν οὐδενὸς ἧττον σοφὸς τῶν ποιητῶν Εὐριπίδης, ἕν τι τῶν καλλίστων ὑπολαμβάνων εἶναι τὸ σωφρόνως ἐρᾷν, ἐν εὐχῆς μέρει τὸν ἔρωτα ποιούμενος, λέγει που·

Ὁ δ' εἰς τὸ σῶφρον ἐπ' ἀρετήν τ' ἄγων ἔρως
Ζηλωτὸς ἀνθρώποισιν, ὧν εἴην ἐγώ.

τὴν δ' αὖτε προςέειπε ποδάρκης δῖος Ἀχιλλεύς] In Homero nostro legitur:

τὴν δὲ μέγ' ὀχθήσας προςέφη πόδας ὠκὺς Ἀχιλλεύς.

αὐτίκα τεθναίην. ἐπεὶ οὐκ ἄρ' ἔμελλον] „Tantum abest, ut hoc, quod Hectore caeso mortem mihi obstare dixisti, me deterreat, ut potius extemplo succumbere velim, quandoquidem amico succurrere non potui. ἐπεὶ οὐκ ἄρ' ἔμελλον redit ad vim τοῦ οὐκ ἐδυνάμην." Heyne. ὅ μοι πολὺ φίλτατος ἔσκεν ab Aeschine fortasse huic loco accommodatum. In Homero est: ὁ μὲν μάλα τηλόθι πάτρης ἔφθιτ'.

61. οὐδενὸς] Edd. οὐθενὸς, nec ex Mss. varietatem video notatam. Nondum tamen Aeschinis aetate οὐθεὶς videtur in usu fuisse, ut docent etiam grammaticorum accuratissimi. Phrynichus p. 181. οὐθείς, διὰ τοῦ θ, εἰ καὶ Χρύσιππος καὶ οἱ ἀμφ' αὐτὸν οὕτω λέγουσι, σὺ δὲ ἀποτρέπου λέγειν· οἱ γὰρ ἀρχαῖοι διὰ τοῦ δ λέγουσιν. Et plane assentior Lobekkio ad h. l. sic disserenti. „Quum οὐδεὶς, μηδεὶς apud antiquos Atticos omnibus paginis, οὐθεὶς rarissime occurrat, omnibusque fere in his locis codd. varient, quis non grammaticorum judicium laudet et pauca illa exempla partim a librariis partim ab editoribus principibus extrinsecus invecta putet, praesertim quum vel nostra aetate Fischerum in Theophrastum, Langium in Isocratem quantumvis repugnantibus codicibus, ut ἀττικώτερον intulerint?" Semel adhuc vitiosum legitur in Aeschinis edd. παραπρ. 3. μηθὲν προκατεγνωκότας. Sed ibi cod. Harl. habet μηδέν.

ὁ δ' εἰς τὸ σῶφρον cet.] Euripidis sunt versus, qui tribuuntur dramati, quod inscripserat Oedipus. Quatuor versus continuos laudat Stobaeus Eclogg. Physic. L. I. c. 10, 2. Heeren.

Πάλιν τοίνυν ὁ αὐτὸς ποιητὴς ἐν τῷ Φοίνικι ἀποφαίνεται, ὑπὲρ τῆς γεγενημένης αὐτῷ πρὸς τὸν πατέρα διαβολῆς ἀπολογούμενος, καὶ ἀπεθίζων τοὺς ἀνθρώπους μὴ ἐξ ὑποψίας, μηδὲ ἐκ διαβολῆς, ἀλλ' ἐκ τοῦ βίου τὰς κρίσεις ποιεῖσθαι·

Ἤδη δὲ πολλῶν ᾑρέθην λόγων κριτὴς,
Καὶ πόλλ' ἁμιλληθέντα μαρτύρων ὕπο
Τἀναντί' ἔγνων συμφορᾶς μιᾶς πέρι.
Κἀγὼ μὲν οὕτω, χὤςτις ἔστ' ἀνὴρ σοφὸς,
Λογίζομαι τἀληθὲς, εἰς ἀνδρὸς φύσιν

ἑνὸς δ' ἔρωτος ὄντος οὐ μί' ἡδονή.
οἱ μὲν κακῶν ἐρῶσιν, οἱ δὲ τῶν καλῶν·
ὁ δ' εἰς τὸ σῶφρον ἐπ' ἀρετήν τ' ἄγων
ζηλωτὸς ἀνθρώποισιν, ὧν εἴην ἐγώ.

In nonnullis codd. praescriptum: Εὐριπίδου Οἰδίποδος.

ἐν τῷ Φοίνικι] Euripides in hoc dramate videtur eam narrationem secutus esse, quam habet Apollodorus Biblioth. L. III, 13, 8. Φοῖνιξ ὁ Ἀμύντορος ὑπὸ τοῦ πατρὸς ἐτυφλώθη, καταψευσαμένης φθορὰν Φθίας, τῆς τοῦ πατρὸς παλλακίδος. Πηλεὺς δὲ αὐτὸν πρὸς Χείρωνα κομίσας, ὑπ' ἐκείνου θεραπευθέντα τὰς ὄψεις, βασιλέα κατέστησε Δολόπων. Homerus autem rem ita tradit Il. IX, 447. sqq., ut Phoenicem dicat matris impulsu pellicem patris corrupisse; tunc patris diris devotum eum fugisse, Cf. Schol. ad l. l.

συμφορᾶς μιᾶς πέρι] Hanc Mss. et vett. edd. lectionem revocavi, quum Reiskius πάρα praeeunte Barnesio ediderit, Valckenarius autem Diatr. p. 270. ὕπερ scripserit. Non video, cur περὶ damnandum sit. „Super una eademque caussa testes cognovi contraria multa magno cum studio et contentione proponentes."

κἀγὼ μὲν οὕτω, χὤςτις ἔστ' ἀνὴρ σοφὸς,

λογίζομαι] Vulgo pro χὤςτις legitur ὅςτις. Aldina tamen habet ὥςτις. Lock. et Helmst. καὶ ὅςτις, quod idem est ac χὤςτις. Nam in Mss. crases saepe comparent solutae, ut difficile sit dictu, quonam tempore eae in scribendo adhiberi coeptae sint. — Ceterum notandum, quod verbum est primae personae singularis, etsi enuntiatio generalis, ut alterum subjectum, addita sit. Illustravit hanc constructionem Porsonus ad Eurip. Orest. v. 87.

εἰς ἀνδρὸς φύσιν Σκοπῶν] Valckenarium l. l. secutus sum, haec

Σκοπῶν, δίαιταν ἥντιν' ἐμπορεύεται.
Ὅςτις δ' ὁμιλῶν ἥδεται κακοῖς ἀνὴρ,
Οὐ πώποτ' ἠρώτησα· γινώσκων, ὅτι
Τοιοῦτός ἐστιν οἷςπερ ἥδεται ξυνών.

Σκέψασθε δὲ, ὦ Ἀθηναῖοι, τὰς γνώμας, ἃς ἀποφαίνεται ὁ ποιητής. ἤδη δὲ πολλῶν πραγμάτων φησὶ γεγενῆσθαι κριτὴς, ὥςπερ νῦν ὑμεῖς δικασταί. καὶ τὰς κρίσεις οὐκ ἐκ τῶν μαρτυριῶν, ἀλλ' ἐκ τῶν ἐπιτηδευμάτων καὶ τῶν ὁμιλιῶν φησὶ ποιεῖσθαι, ἐκεῖσε ἀποβλέπων, πῶς τὸν καθ' ἡμέραν βίον ζῇ ὁ κρινόμενος, καὶ ὅντινα τρόπον διοικεῖ τὴν ἑαυτοῦ οἰκίαν· ὡς παραπλησίως αὐτὸν καὶ τὰ τῆς πόλεως διοικήσοντα· καὶ τίσι χαίρει πλησιάζων. καὶ τελευ-

---

jungentem. Rarior quidem est constructio σκοπεῖν εἰς vel πρός τι, certa tamen et Graecorum brachylogiae perquam apta. Cf. Fr. Osann ad orationem Lycurgi in Leocrat. p. 32.

τοιοῦτός ἐστιν, οἷςπερ ἥδεται ξυνών] Revocavi hanc Mss. lectionem, quum Reiskius e Valckenarii conj. dederit ἴσθ' οἷοιςπερ. Sed etiam Diodorus Siculus, qui L. XII. c. 14. tres postremos versus laudat, eandem lectionem habet, quam hic codd. Aeschinis. Vulgata sic intelligenda: τοιοῦτός ἐστιν, οἷοι εἰσιν, οἷςπερ ἥδεται ξυνών. Relativi vim pro οἷος illustravit Heindorf. ad Plat. Phaedr. 47. Rarior est ellipticus usus, qui h. l. obtinet. Sed firmatur ex fine capitis, ubi Mss. omnes habent τοιοῦτον αὐτὸν εἶναι, οἷςπερ ἥδεται ξυνών, ubi Reiskius iterum dedit οἷοιςπερ.

ποιεῖσθαι] Viri docti sunt, qui malint πεποιῆσθαι. Sed non solum non vituperandum praesens, verum laudandum. Non excludit tempus praeteritum, sed indicat firmam sententiam, quam in judicando secutus sit, sequatur et secuturus sit.

ὡς - διοικήσοντα] Ὡς, ὥςπερ interdum accusativum habent loco casus absoluti. Videtur hoc ideo fieri, quia in ὡς inest notio ἡγούμενος, νομίζων. Supra 10. fin. ἀπὸ τῆς σωφροσύνης ἤρξατο· ὡς, ὅπου πλείστη εὐκοσμία ἐστί, ταύτην ἄριστα τὴν πόλιν οἰκησομένην 14. καθῆσθαι κελεύει τοὺς φυλέτας, βοηθοῦντας τοῖς νόμοις καὶ τῇ δημοκρατίᾳ· ὡς, εἰ μὴ βοήθειαν ποθεν μεταπεμψόμεθα ἐπὶ τοὺς οὕτω βεβιωκότας, οὐδὲ βουλεύεσθαι ἡμᾶς δυνησομένους περὶ τῶν σπουδαιοτάτων πραγμάτων. Ctes. 62. Φιλάμμωνα φήσει — — νικήσαντα — — — τοὺς καθ' ἑαυτὸν ἀγωνιστάς, ὥςπερ ὑμᾶς ἀγνοοῦντας.

τῶν οὐκ ὤκνησεν ἀποφήνασθαι, τοιοῦτον αὐτὸν εἶναι, οἷσπερ ἥδεται ξυνών. 62. οὐκοῦν δίκαιον καὶ περὶ Τιμάρχου τοῖς αὐτοῖς ὑμᾶς Εὐριπίδῃ χρήσασθαι λογισμοῖς. πῶς διῴκηκε τὴν ἑαυτοῦ οὐσίαν; κατεδήδοκε τὰ πατρῷα, καὶ τὰ τῶν φίλων, μεμισθαρνηκὼς τῷ σώματι, καὶ δωροδοκῶν δημοσίᾳ πάντ᾽ ἠφάνικεν, ὥστε μηδὲν ἄλλ᾽ ἢ τὰς αἰσχύνας αὐτῷ περιεῖναι. χαίρει δὲ τῷ ξυνών; Ἡγησάνδρῳ. ὁ δ᾽ Ἡγήσανδρος ἐκ τίνων ἐστὶν ἐπιτηδευμάτων; ἐξ ὧν τὸν πράξαντα οἱ νόμοι ἀπαγορεύουσι μὴ δημηγορεῖν. ἐγὼ δὲ τί λέγω κατὰ Τιμάρχου; καὶ τίνα ποτ᾽ ἐστὶν, ἃ ἀντιγέγραμμαι; μὴ δημηγορεῖν Τίμαρχον πεπορνευμένον, καὶ τὴν πατρῴαν οὐσίαν κατεδηδοκότα· ὑμεῖς δὲ τί ὀμωμόκατε; ὑπὲρ αὐτῶν ψηφιεῖσθαι, ὧν ἂν ἡ δίωξις ᾖ. Ἵνα δὲ μὴ μακρολογῶ περὶ τῶν ποιητῶν διεξιὼν, ἀνδρῶν ἐρῶ πρεσβυτέρων καὶ γνωρίμων ὑμῖν ὀνόματα, καὶ μειρακίων καὶ παίδων· ὧν τοῖς μὲν διὰ τὴν εὐπρέπειαν πολλοὶ γεγόνασιν ἐρασταὶ, ἐνίοις δὲ τῶν ἐν ἡλικίᾳ ἔτι καὶ νῦν εἰσίν· ὧν οὐδεὶς πώποτ᾽ εἰς τὰς αὐτὰς αἰτίας ἀφῖκται Τιμάρχῳ. καὶ πάλιν ὑμῖν ἀντιδιέξειμι ἀνθρώπων πεπορνευμένων αἰσχρῶς καὶ φανερῶς ὀνόματα· ἵνα ὑμεῖς ἀναμνησθέντες κατανείμητε εἰς τὴν προσήκουσαν τάξιν Τίμαρχον. πρῶτον δὲ λέξω τὰ τῶν ἐλευθέρως καὶ καλῶς βεβιωκότων ὀνόματα. 63. γινώσκετε, ὦ Ἀθηναῖοι, Κρίτωνα

---

62. δημοσίᾳ] In rerum publicarum cura et administratione.

πάντα] Sc. ἃ ἐκέκτητο τά τε πατρῷα καὶ τὰ τῶν φίλων, καὶ ἃ ἔλαβε μεμισθαρνηκὼς τῷ σώματι καὶ δωροδοκῶν.

ἐξ ὧν] Revocavi hanc lectionem pro ea, quam e conjectura partim, partim e cod. Mead. qui ἃ habet, dedit Reiskius, ἐκ τούτων, ἅ. Vulgatum dictum ést ex celebratissima illa Graecorum attractione. παραπρ. 32. εἰ δὲ ἐπεξελθὼν δυνάμει, βεβαιώσεις τὰ Θηβαίων ἀδικήματα, παρ᾽ ὧν μὲν βοηθεῖς, οὐκ ἀπολήψῃ χάριν: quem difficiliorem locum recte explicat Reiskius, παρ᾽ ἐκείνων, οἷς βοηθεῖς. Ctes. 79. ἡ δὲ χάρις, πρὸς ὃν ἐχαρίζετο, ἄδηλος γεγένηται. i. e. πρὸς τοῦτον ᾧ ἐχαρίζετο. Cf. Lobeck. ad Phryn. p. 44. s.

τῶν ἐλευθέρως καὶ καλῶς βεβιωκότων] Sic dedi ex Reiskii con-

τὸν Ἀστυόχου, καὶ Περικλείδην τὸν Περιθοίδην, καὶ Πολεμαγένην, καὶ Παντολέοντα τὸν Κλεαγόρου, καὶ Τιμησίθεον τὸν δρομέα, καλλίστους οὐ μόνον τῶν πολιτῶν, ἀλλὰ καὶ τῶν Ἑλλήνων γεγενημένους, καὶ πλείστων, καὶ σωφρονεστάτων τυχόντας ἐραστῶν· ἀλλ' ὅμως οὐδεὶς πώποτε αὐτοὺς ἔψεξε. πάλιν ἐκ τῶν μειρακίων, καὶ τῶν ἐν παισὶν ἔτι καὶ νῦν ὄντων, πρῶτον μὲν τὸν ἀδελφιδοῦν τὸν Ἰφικράτους, υἱὸν δὲ Τισίου τοῦ Ῥαμνουσίου, ὁμώνυμον δὲ τοῦ νυνὶ κρινομένου Τιμάρχου, ὃς εὐπρεπὴς ὢν ἰδεῖν, τοσοῦτον ἀπέχει τῶν αἰσχρῶν, ὥστε πρώην ἐν τοῖς κατ' ἀγροὺς Διονυσίοις κωμῳδῶν ὄντων ἐν Κολυττῷ, καὶ Παρμένοντος, τοῦ κωμικοῦ ὑποκριτοῦ, εἰπόντος τι πρὸς τὸν χορὸν ἀνάπαιστον; ἐν ᾧ ἦν, εἶναί τινας πόρνους

---

jectura. Vulgo ἐλευθέρων. Sed ut antea πεπορνευμένων αἰσχρῶς καὶ φανερῶς, sic h. l. ἐλευθέρως καὶ καλῶς βεβιωκότων. Ἐλευθέρως hic significat i. q. ἐλευθερίως.

63. *Περικλείδην τὸν Περιθοίδην*] Sic dedi ex Helmst. Vulgo τὸν Περιθοίδου. Περιθοίδης est nomen δημότου. Stephanus Byz. Περιθοῖδαι δῆμος Οἰνηΐδος φυλῆς. ὁ δημότης Περιθοίδης. Meursius s. v. nostrum locum locum sic (e conjectura) restituit, ut ego e codice, vel opinatur locum esse mutilum, et ante Περιθοίδου patris nomen excidisse.

Πολεμαγένην] Hoc iterum restitui ex Helmst. Vulgo Πολεμαγένη. Sed noster terminat nomina propria in ης, εος plerumque in accusativo per ην: quam terminationem ubicunque codex offert, praeferendam censeo.

τὸν ἀδελφιδοῦν τὸν Ἰφικράτους] Sic scripsi ex Helmst. Vulgo τοῦ Ἰφικράτους: quod per se quidem non damnandum; sed alterum praeferendum. Nam ad genitivum nominis proprii pendentem ex nomine appellativo plerumque Aeschines repetit articulum nominis appellativi, et nomen proprium in genitivo ponit sine articulo. Librarii saepe in eo peccarunt. Sic c. 64. in. scripsi auctoritate codd. Mead. Lock. Bern. Helmst. ὁμοτρόπων τῶν Τιμάρχου. Vulgo τῶν deest. Ista ratio grandior est, quam si non repetitus sit articulus.

ἀνάπαιστον] Hoc loco videtur significare c a r m e n l u d i b r i o s u m: quoniam scilicet haec versibus anapaesticis saepe condebantur.

μεγάλους Τιμαρχώδεις· οὐδεὶς ὑπελάμβανεν εἰς τὸ μειράκιον, ἀλλ᾽ εἰς σὲ πάντες. οὕτω κληρονόμος εἶ τοῦ ἐπιτηδεύματος. πάλιν Ἀντικλέα τὸν σταδιοδρόμον, καὶ Φειδίαν τὸν ἀδελφὸν τοῦ Μιλησίου. ἔτι δὲ εἰπεῖν ἔχων πολλοὺς, παύσομαι· ἵνα μὴ δοκῶ τὸν ἔπαινον θεραπείᾳ τινὶ κατ᾽ αὐτῶν ποιεῖσθαι. 64. περὶ δὲ τῶν ὁμοτρόπων τῶν Τιμάρχου, φεύγων τὰς ἀπεχθείας, ὧν ἥκιστά μοι μέλει, μνησθήσομαι. τίς γὰρ ὑμῶν τὸν ὀρφανὸν καλούμενον Διόφαντον οὐκ οἶδεν; ὃς τὸν ξένον πρὸς τὸν ἄρχοντα ἀπήγαγεν, ᾧ παρήδρευεν Ἀριστοφῶν ὁ Ἀζηνιεὺς, ἐπαι-

---

Ἀντικλέα τὸν σταδιοδρόμον] Videtur hunc locum respexisse Pollux III, 146. De σταδιοδρόμος cf. Astium ad Plat. de Legg. VIII, 4. Quod antecedit τὸν δρομέα, ut epitheton Timasithei, videtur idem esse, quem ἡμεροδρόμον vel δρομοκήρυκα vocant: ein Eilbothe.

64. περὶ δὲ τῶν ὁμοτρόπων τῶν Τιμάρχου] De haec lectione cf. c. anteced. τὸν ἀδελφιδοῦν τὸν Ἰφικράτους.

φεύγων τὰς ἀπεχθείας, ὧν ἥκιστά μοι μέλει, μνησθήσομαι] Wolfius scribendum opinatur μὴ φεύγων τὰς ἀπεχθείας. Si negatio desit, interpretatur: se quidem reformidare inimicitias, sed eos nominaturum, quorum odia facillime contemnat. Jurians, eum reprehendens, sic explicat: eorum vero, qui moribus Timarcho similes sunt, nullo inimicitiarum metu, quae mihi minime curae sunt, mentionem faciam. Reiske, μόνον subaudiens, sic reddit: solos illos commemorabo, quorum inimicitias mihi consciscere nil reformido. Mihi videtur sensus esse. „Eorum vero, qui moribus Timarchi similes sunt, inimicitias fugiens, quamquam eas parum curo, meminero." i. e. leniter et humane. Idem dixit versus capitis finem alia forma: οὐ γὰρ ἐπεξελθεῖν αὐτῶν ἕκαστον κατ᾽ ὄνομα πικρῶς βούλομαι. c. 67. τὸ δ᾽ ὄνομα οὐ λέγω. τὰς γὰρ ἀπεχθείας φεύγω.

ᾧ παρήδρευεν] Harpocration: πολύ ἐστι τοὔνομα παρέδρων παρά τε τοῖς ῥήτορσι καὶ ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ. Ἀριστοτέλης δ᾽ ἐν τῇ Ἀθηναίων πολιτείᾳ φησί· λαμβάνουσι δὲ παρέδρους ὅ τε ἄρχων καὶ ὁ Πολέμαρχος, δύο ἑκάτερος, οὓς ἂν βούληται, καὶ οὗτοι δοκιμάζονται ἐν τῷ δικαστηρίῳ, πρὶν παρεδρεύειν, καὶ εὐθύνας διδόασιν, ἐπὰν παρεδρεύωσιν (scrib. παρεδρεύσωσιν). Ἄρχων sc. ἐπώνυμος, archontum primus, cujus nomine annus notabatur, et quod inscribebatur docu-

τιασάμενος τέτταρας δραχμὰς αὐτὸν ὑπὲρ τῆς πράξεως ταύτης ἀπεστερηκέναι· καὶ τοὺς νόμους λέγων, οἳ κελεύουσι τὸν ἄρχοντα τῶν ὀρφανῶν ἐπιμελεῖσθαι, τοὺς ὑπὲρ τῆς σωφροσύνης κειμένους ὑπερβεβηκώς· ἢ τίς τῶν πολιτῶν οὐκ ἐδυσχέραινε Κηφισόδωρον, τὸν τοῦ Μόλωνος καλούμενον, καλλίστην ὥραν ὄψεως αἴσχιστα διεφθαρκότα; ἢ Μνησίθεον τὸν τοῦ Μαγείρου καλούμενον, ἢ πολλοὺς ἑτέρους, ὧν ἑκὼν ἐπιλανθάνομαι; οὐ γὰρ ἐπεξελθεῖν αὐτῶν ἕκαστον κατ' ὄνομα πικρῶς βούλομαι, ἀλλὰ μᾶλλον τῶν τοιούτων ἔργων ἀπορεῖν ἂν εὐξαίμην ἐν τῷ λόγῳ, διὰ τὴν πρὸς τὴν πόλιν εὔνοιαν. 65. ἐπειδὴ δὲ ἑκατέρων προελόμενοι τινὰς διεξεληλύθαμεν, χωρὶς μὲν τοὺς διὰ σωφροσύνην ἐρωμένους, χωρὶς δὲ τοὺς εἰς ἑαυτοὺς ἐξαμαρτάνοντας· ὑμεῖς ἤδη τοῦτ' ἐρωτηθέντες ἀποκρίνασθε πρὸς ἐμὲ, εἰς ὁποτέραν τάξιν τὸν Τίμαρχον κατανέμετε. πότερον εἰς τοὺς ἐρωμένους, ἢ εἰς τοὺς πε-

---

mentis et nummis. Illi inter alia tutela ὀρφανῶν commissa erat. Demosthenes πρὸς Λακρίτ. παραγραφήν p. 910. ἐπικλήρων καὶ ὀρφανῶν καὶ τοκέων τῷ ἄρχοντι προστέτακται ἐπιμελεῖσθαι. Cf. Valesium ad Harpocrat. p. 85. s.'

τοὺς ὑπὲρ τῆς σωφροσύνης κειμένους ὑπερβεβηκὼς] Diophantus videtur ea aetate, qua in suam tutelam pervenerat, quamquam etiam tum cognomen ὀρφανοῦ gereret, eo impudentiae processisse, ut ἡταιρηκὼς archontem appellaret, cujus auxilium implorare potuisset, si quis eum, ἔτι παῖδα ὄντα, in libidinem suam pellicere voluisset.

ἢ τίς τῶν πολιτῶν cet.] Ante haec verba in recentioribus edd. leguntur: [τοῦτον δὴ τίς οὐκ] ἐμίσει; Unum ἐμίσει est in quibusdam Mss. Cetera ex conjectura Wolfii accesserunt. Quum etiam ἐμίσει desit in Reg. 2. Lock. et Helmst., haec omnia, ut codd. auctoritate destituta nec ad sententiam necessaria, delevi.

65. ἢ εἰς τοὺς πεπορνευμένους;] Reiskio videntur εἰς τοὺς πεπορνευμένους iteranda, quoniam desideretur responsio ad praemissam interrogationem. Sed responsio non ambigua ex tota oratione suppletur, ut ea addita non sit opus.

πορνευμένους; οὐκοῦν μὴ καταλιπὼν, ἣν εἵλου συμμορίαν, αὐτομολήσῃς εἰς τὰς τῶν ἐλευθέρων διατριβάς. Ἐὰν δ' ἐπιχειρῶσι λέγειν, ὡς οὐχ ἡταίρηκεν, ὅςτις μὴ κατὰ συγγραφὰς ἐμισθώθη, καὶ γραμματεῖον, καὶ μάρτυρας ἀξιῶσί με τούτων παρασχέσθαι· πρῶτον μὲν τοὺς περὶ τῆς ἑταιρήσεως νόμους μέμνησθε, ἐν οἷς οὐδαμοῦ μνείαν ὁ νομοθέτης περὶ συνθηκῶν πεποίηται. οὐ γὰρ, εἰ κατὰ γραμματεῖόν τις ἑαυτὸν κατήσχυνε, τοῦτ' ἐξήτασεν, ἀλλὰ παντελῶς ὅπως ἂν ἡ πρᾶξις γένηται, τὸν πράξαντα κελεύει μὴ μετέχειν τῶν τῆς πόλεως κοινῶν. εἰκότως. ὅςτις γὰρ νέος ὢν ἀπέστη δι' αἰσχρὰς ἡδονὰς τῆς εἰς τὰ καλὰ φιλοτιμίας, τοῦτον οὐκ ᾠήθη δεῖν πρεσβύτερον γενόμενον, ὁ τοὺς νόμους εἰςφέρων, ἐπίτιμον εἶναι. 66. ἔπειτα καὶ τὴν εὐήθειαν τοῦ λόγου τούτου ῥᾴδιόν ἐστιν ἐξετάσαι. πάντες γὰρ ἂν τοῦθ' ὁμολογήσαιμεν, ὅτι τὰς συνθήκας τὰς πρὸς ἀλλήλους ἀπιστίας ἕνεκα ποιούμεθα· ἵνα ὁ μὴ παραβὰς τὰ γεγραμμένα, δίκην λάβῃ τῇ ψήφῳ παρὰ τοῦ παραβάντος. οὐκοῦν εἴπερ τὸ πρᾶγμα δίκης προςδεῖται, τοῖς κατὰ γραμματεῖον ἡταιρηκόσιν, ἂν ἀδικῶνται, ἡ τῶν νόμων, ἐξ ὧν οὗτοί φασιν, ἐπικουρία καταλείπεται. καὶ τίς ἂν ὁ λόγος ἑκατέρου φανείη; μὴ γὰρ ὑπ' ἐμοῦ λεγόμενον, ἀλλὰ γινόμενον τὸ πρᾶγμα νομίσηθ' ὁρᾶν. ἔστω

ἣν εἵλου συμμορίαν] Συμμορίαι dicebantur viginti classes civium ditissimorum, sexagenorum capitum singulae, et in singulis tribubus binae: de quibus accurate exponit F. A. Wolfius in Prolegg. ad Leptin. p. XCVI. ss. — Hic autem in genere significat consortium, societatem.

γραμματεῖον] Codicillus, quicquid scripto est conceptum. Hic significat συνθήκας γεγραμμένας.

66. ἐξ ὧν] Retinui hoc, quod Reiskius e conjectura dedit: secundum ea, quae hi affirmant. Vulgo ἐξ deest. Possis etiam pro ὧν conjicere ὡς, quod fortasse alii praeferent.

ὑπ' ἐμοῦ λεγόμενον] Reiskius deesse censet ἀκούειν; quod abesse facile posse jam supra ostendi c. 2. Aristoteles quidem Rhetor. L. III, 5, 7. hujusmodi Zeugma vituperat, dicens: ἔτι τάδε ποιῶ-

γὰρ ὁ μὲν μισθωσάμενος δίκαιος εἰς τὸ πρᾶγμα· ὁ δὲ μισθωθεὶς ἄδικος καὶ μὴ βέβαιος. ἢ πάλιν τοὐναντίον, ὁ μὲν μισθωθεὶς, μέτριος καὶ ποιῶν τὰ ὡμολογημένα; ὁ δὲ τὴν ἡλικίαν προλαβὼν, καὶ μισθωσάμενος, ἐψεύσθω. καὶ δικαστὰς ὑμᾶς αὐτοὺς νομίσατε καθῆσθαι. οὐκοῦν ὁ πρεσβύτερος, ἀποδοθέντος τοῦ ὕδατος αὐτῷ καὶ λόγου, κατηγορίαν μετὰ σπουδῆς, βλέπων δηλονότι πρὸς ὑμᾶς; ἐρεῖ· ἐμισθωσάμην, ὦ Ἀθηναῖοι, Τίμαρχον ἑταιρεῖν ἐμαυτῷ κατὰ τὸ γραμματεῖον, τὸ παρὰ Δημοσθένει κείμενον· οὐδὲν γὰρ κωλύει οὕτως εἰρῆσθαι· ὁ δ' οὐ ποιεῖ μοι τὰ ὡμολογημένα· καὶ ταῦτ' ἤδη διέξεισι δηλονότι, πρὸς τοὺς δικαστὰς λέγων, ἃ χρὴ τὸν τοιοῦτον ποιεῖν. ἔπειτα οὐ καταλευσθήσεται ὁ μισθούμενος τὸν Ἀθηναῖον παρὰ τοὺς νόμους; καὶ προσόφλων ἄπεισιν ἐκ τοῦ δικαστηρίου, οὐ τὴν ἐπωβελίαν μόνον, ἀλλὰ καὶ ἄλλην ὕβριν;

σολοικίζειν, τὸ μὴ ἀποδιδόναι, ἐὰν μὴ ἐπιμιγνύῃς ἀμφοῖν, ὃ ἁρμόττει· οἷον ἢ ψόφον ἢ χρῶμα τὸ μὲν ἰδὼν οὐ κοινόν· τὸ δ' αἰσθόμενος κοινόν. Sed neque poëtas neque prosaicos scriptores haec edicta curare docuit D' Orville ad Charit. p. 443. edit. Lips. νομίσηθ' ratione negationis, quae periodi primum membrum facit. Haud tamen celandum, Lock. et Helmst. habere νομίσατε, quod posterioris membri constructionem sequitur.

ἀποδοθέντος τοῦ ὕδατος αὐτῷ καὶ λόγου] Reiskius ad λόγου addendum censet τυχών. Sed non video, cur non ἀποδιδόναι λόγον significare possit facultatem loquendi alicui dare. Certe est Zeugma perquam lene.

ὁ δ' οὐ ποιεῖ] Hoc dedi ex Mead. Lock. Helmst. Vulgo οὐ δὴ ποιεῖ. Alterum fortius et hominis irritati menti convenientius.

ἐπωβελίαν] Ἐπιτίμιόν ἐστιν ἡ ἐπωβελία τὸ ἕκτον μέρος τοῦ τιμήματος, ὃ ἐπράττοντο οἱ γραψάμενοί τινας, καὶ μὴ ἑλόντες αὐτοῖς τοῖς γραφεῖσιν. ἐκαλεῖτο δὲ οὕτως, ὅτι καθ' ἑκάστην δραχμὴν ὀβολὸς ἦν, ὅπερ ἕκτον ἐστὶν ἐν ἓξ ὀβολοῖς τῆς δραχμῆς λογιζομένης. Pollux VIII, 48. ὁ μὴ μεταλαβὼν τὸ πέμπτον μέρος τῶν ψήφων, τὴν ἐπωβελίαν προσωφλήσκανε. — „Wenn Aeschines gegen Timarch den Fall ersinnt, es klage einer gegen seinen Geliebten, der durch schriftlichen Vertrag ihm seine Keuschheit verkauft, und nicht Wort gehalten,

67. ἀλλ' οὐχ οὗτος, ἀλλ' ὁ μισθωθεὶς δικάζεται. λεγέτω δὴ παρελθὼν ὁ σοφὸς Βάταλος ὑπὲρ αὐτοῦ, ἵν' εἰδῶμεν, τί ποτ' ἐρεῖ. ἄνδρες δικασταί, ἐμισθώσατό με ἑταιρεῖν αὐτῷ ἀργυρίου ὁςτιςδηποτοῦν· οὐδὲν γὰρ διαφέρει οὕτως εἰρῆσθαι· κἀγὼ μὲν ἅπαντα καὶ πεποίηκα; καὶ ἔτι καὶ νῦν ποιῶ κατὰ τὸ γραμματεῖον, ἃ χρὴ ποιεῖν τὸν ἑταιροῦντα. οὗτος δὲ ὑπερβαίνει τὰς συνθήκας. ἔπειτ' οὐ πολλὴ κραυγὴ παρὰ τῶν δικαστῶν αὐτῶν ἀπαντήσεται; τίς

---

und dabey für Recht hält, dafs er die Klage verliere, und mit dem Tode bestraft werde, „nicht allein die Epobelie sondern auch die thätliche Beleidigung büfsend," so darf dieses nicht so verstanden werden, als ob der Kläger in öffentlichen Injuriensachen gewöhnlich die Epobelie bezahlt habe; denn hier ist keine Injurienklage, sondern eine Klage über eine Geldsache, welche aber, weil der Vertrag gesetzwidrig ist, als nichtig verloren gehen mufs; vom Gesichtspuncte einer Geldsache müfste der Kläger mit der Epobelie bestraft werden, aber der Redner meint, er müsse wegen der Verführung und Schmach gegen einen Athenischen Knaben viel härter büfsen." — Dem Etymologen zufolge war die Epobolie eingeführt, weil in Geldsachen viele boshaft angeklagt wurden, besonders in Bezug auf Bodmerei oder Seezinsverträge: wefshalb das Gesetz zur Vergütung boshafter Anklage (συκοφαντία) dem Kläger die Epibolie auferlegte, so wie sie dann auf jede andere Geldsache angewandt wurde.

67. ὁ σοφὸς Βάταλος] Scholiastes ὁ σοφὸς explicat ὁ πανοῦργος καὶ πολυμήχανος καὶ δεινός.

ὁςτιςδηποτοῦν] Hanc conjunctionem nonnulli veterum Grammaticorum damnaverunt, ut Phrynichus p. 373. ὁνδήποτοῦν μὴ λέγε, ἀλλὰ δοκίμως ὁντινοῦν. Sed non negat Lobeckius, ne veteres quidem illos, quos in hac quaestione sequatur, huic praecepto se adstrinxisse. παρατρ. 11. ὅ τι μὲν οὖν δήποτ' ἦν ὁ κέρκωψ.

παρὰ δικαστῶν αὐτῶν ἀπαντήσεται] Revocavi vulgatam hanc lectionem, quum Reiskius ex multis quidem et bonis codd. Mead. Coisl. Reg. 2. Lock. Helmst. dederit αὐτῷ. Sed αὐτῶν non sine vi appositum est τῷ δικαστῶν. Si circumstantes inter loquendum acclamando et mussitando aliquid vel probent vel improbent, non magni faciendum.

γὰρ οὐκ ἐρεῖ; ἔπειτα ἐμβάλλεις εἰς τὴν ἀγορὰν, ἢ στεφανοῖ, ἢ πράττεις τι τῶν αὐτῶν ἡμῖν; οὐκοῦν οὐδὲν ὄφελος τῆς συγγραφῆς. πόθεν οὖν ἴσχυκε, καὶ σύνηθες γεγένηται λέγειν, ὡς κατὰ γραμματεῖον ἤδη τινὲς ἡταίρησαν, ἤδη ἐρῶ. ἀνὴρ εἷς τῶν πολιτῶν· τὸ δ' ὄνομα οὐ λέξω, τὰς γὰρ ἀπεχθείας φεύγω· οὐδὲν προειδόμενος ὧν ὀλίγῳ πρότερον ἐγὼ διεξῆλθον ὡς ὑμᾶς, λέγεται κατὰ τὰς συνθήκας ἡταιρηκέναι τὰς παρ' Ἀντικλεῖ κειμένας, οὐκ ὢν ἰδιώτης, ἀλλὰ πρὸς τὰ κοινὰ προσιὼν καὶ λοιδορίαις περιπίπτων, εἰς συνήθειαν ἐποίησε τοῦ λόγου τούτου τὴν πόλιν καταστῆναι· καὶ διὰ τοῦτο ἐρωτῶσί τινες, εἰ κατὰ γραμματεῖον ἡ πρᾶξις γεγένηται· ὁ δὲ νομοθέτης οὐχ ὅπως τὸ πρᾶγμα γεγένηται, ἐφρόντισεν, ἀλλ' ἐὰν ὁπωσοῦν μίσθωσις γένηται, κατέγνωκε τοῦ πράξαντος αἰσχύνην.

Sed si ipsi judices, quorum pro munere oportet esse gravitatem, κραυγὴν cohibere non possunt, id quidem, si est improbantium, magnam prodit rei nequitiam et sceleritatem.

ἔπειτα ἐμβάλλεις εἰς τὴν ἀγορὰν, ἢ στεφανοῖ, ἢ πράττεις τι τῶν αὐτῶν ἡμῖν;] Vulgo ἐκβάλλῃ pro ἐμβάλλεις. Ego vero locum, quem Reiskius desperatum appellat, e codd. fere restitui. Nam cod. Helmst. habet ἐμβάλλει. Quum autem in hac phrasi ἐμβάλλειν εἰς τὴν ἀγορὰν nusquam formam mediam invenerim, scripsi ἐμβάλλεις. παραπρ. 42. fin. οὐ καθαρὸς ὢν τὰς χεῖρας, εἰς τὴν ἀγορὰν ἐμβάλλεις. Lycurgus contra Leocrat. 2. τοῦτον περιορᾶν εἰς τὴν ἀγορὰν ἐμβάλλοντα. Demosthenes κατὰ Τιμοκρ. p. 732. (τὸν νόμον) ἔθηκε Σόλων — — ἐάν τις ἁλοὺς τῆς κακώσεως τῶν γονέων, εἰς τὴν ἀγορὰν ἐμβάλῃ, δεδέσθαι. Enuntiatio autem est fortis apostrophe adversus impudentem. Ἔπειτα ab initio enuntiationis interrogativae saepe indignationem habet. Cf. Valckenaer ad Eurip. Phoen. v. 549. ἐμβάλλεις εἰς τὴν ἀγοράν irrumpis in forum? ἢ στεφανοῖ aut ambis coronam? Impetus in Demosthenem.

οὐκ ὢν ἰδιώτης] Vide supra c. 2.

ἐὰν ὁπωσοῦν μίσθωσις γένηται] Sic scripsi ex Helmst. Vulgo per soloecismum γεγένηται. Idem vitium jam ante me e codd. sublatum c. 69. ἐὰν δ' αὐτὸς ἐν τοῖς πρὸς ὑμᾶς ἔργοις γένηται, οἷος νῦν ἐστὶν ἐν τοῖς λόγοις. Nonnulli γεγένηται.

68. Ἀλλ' ὅμως οὕτω σαφῶς τούτων διωρισμένων, πολλαὶ παρεμβολαὶ λόγων ὑπὸ Δημοσθένους εὑρεθήσονται. καὶ ταῖς μὲν ὑπὲρ τοῦ πράγματος κακοηθείαις λεγομέναις ἧττον ἄν τις ἀγανακτήσειεν· ἃ δὲ ἔξωθεν ἐπεισάξεται, λυμαινόμενος τὰ τῆς πόλεως δίκαια, ἐπὶ τούτοις ἄξιόν ἐστιν ὀργισθῆναι. πολὺς μὲν γὰρ ὁ Φίλιππος ἔσται· ἀναμιχθήσεται δὲ καὶ τὸ τοῦ παιδὸς ὄνομα Ἀλεξάνδρου. καὶ γὰρ πρὸς τοῖς ἄλλοις κακοῖς ἄμουσός τις καὶ ἀπαίδευτος ἄνθρωπός ἐστι. τὸ μὲν γὰρ εἰς τὸν Φίλιππον τῷ λόγῳ πλημμελεῖν, ἀμαθὲς μὲν καὶ ἄκαιρον· ἔλαττον δ' οὗ μέλλω λέγειν ἁμάρτημα. ὁμολογουμένως γὰρ εἰς ἄνδρα, καίπερ οὐκ ὢν αὐτὸς ἀνήρ, τὰς βλασφημίας ποιήσεται. ὅταν δὲ ταῖς εἰς τὸν παῖδα πεπραγματευμέναις μεταφοραῖς ὀνομάτων αἰσχρὰς ὑποψίας παρεμβάλλῃ, καταγέλαστον τὴν πόλιν ποιεῖ. 69. ὡς γὰρ τὰς ἐμὰς εὐθύνας βλάπτων, ἃς ὑπὲρ τῆς πρεσβείας μέλλω διδόναι, φήσει με, ὅτ' αὐτὸς πρώην πρὸς τὴν βουλὴν ὑπὲρ τοῦ παιδὸς Ἀλεξάνδρου διεξῄει, ὡς

---

68. παρεμβολαὶ] Scholiastes παρεμβολὴ ἡ τῶν ὁμοίων παρένθεσις. Quod addit metaphoram ἀπὸ τῶν στρατηγικῶν et πολεμικῶν ductam esse, inscitia atticae consuetudinis dictum ostendit Lobeck ad Phryn. p. 377. Rhetores per eam intelligunt insertam aliquam sententiam, quae per se consistit, ut, si eam tollas, cetera salva maneant. Aeschines per παρεμβάλλειν et derivata, ea intelligit, quae inferuntur, ut auditores et judices a re primaria abducantur, et res aliena eorum attentionem abripiat.

κακοηθείαις] Κακοήθειαι opprobria, quae nascuntur ex prava morum libidine calumniandi.

πολὺς μὲν γὰρ ὁ Φίλιππος ἔσται] Πολὺς hic eum significat, de quo multa dicuntur. Ctes. 76. σὺ δὲ ὁ πολὺν μὲν τὸν Ἀλέξανδρον καὶ Φίλιππον ἐν ταῖς διαβολαῖς φέρων. Dicitur etiam is, qui multa loquitur, πολύς. παραπρ. 11. πολὺς ἦν ἐν τοῖς ἐπαίνοις καὶ επαχθής.

ἄμουσός τις καὶ ἀπαίδευτος ἄνθρωπός ἐστι] Vulgo post τις additur οὗτος: quod delevi auctoritate cod. Helmst. Acerbior mihi hic videtur oratio omisso pronomine, ut nostri: es ist ein ganz ungeschliffener und inhumaner Mensch.

ἐν τῷ πότῳ ἡμῶν κιθαρίζοι, καὶ λέγοι ῥήσεις τινάς, καὶ ἀντικρούσεις πρὸς ἕτερον παῖδα· καὶ περὶ τούτων, ἃ δή ποτε αὐτὸς ἐτύγχανε γινώσκων, πρὸς τὴν βουλὴν ἀπεφήνατο, οὐχ ὡς συμπρεσβευτὴν, ἀλλ' ὡς συγγενῆ, τοῖς εἰς τὸν παῖδα σκώμμασιν ἀγανακτῆσαι. ἐγὼ δ' Ἀλεξάνδρῳ μὲν εἰκότως διὰ τὴν ἡλικίαν οὐ διείλεγμαι, Φίλιππον δὲ νῦν μὲν διὰ τὴν τῶν λόγων εὐφημίαν ἐπαινῶ· ἐὰν δ' αὐτὸς ἐν τοῖς πρὸς ὑμᾶς ἔργοις γένηται, οἷος νῦν ἐστὶν ἐν τοῖς ἐπαγγέλμασιν, ἀσφαλῆ καὶ ῥᾴδιον τὸν καθ' αὐτοῦ ποιήσεται ἔπαινον. ἐπετίμησα δ' ἐν τῷ βουλευτηρίῳ Δημοσθένει, οὐ τὸν παῖδα ἐκθεραπεύων, ἀλλ', ἐὰν τὰ τοιαῦτα ἀποδέχησθε, ὁμοίαν νομίζων τὴν πόλιν φανήσεσθαι τῇ τοῦ λέγοντος ἀκοσμίᾳ. ὅλως δὲ, ὦ Ἀθηναῖοι, τὰς ἔξωθεν τοῦ πράγματος ἀπολογίας μὴ προσδέχεσθε· πρῶτον μὲν, τῶν ὅρκων ἕνεκεν, οὓς ὠμόσατε· δεύτερον δὲ, ὑπὲρ τοῦ μὴ παρακρουσθῆναι ὑπὸ ἀνθρώπου τεχνίτου

ῥήσεις τινὰς] Facetias, opinor, et petulantias. ἀντικρούσεις: acerbas et petulantes responsiones.

εὐφημίαν] Thomas M. εὐφημία οὐ μόνον ὁ ἔπαινος, ἀλλὰ καὶ ἡ τῶν λόγων καλλιῤῥημοσύνη ἤγουν τὸ καλοὺς καὶ πρέποντας λόγους λέγειν. ὡς Αἰσχίνης· Φίλιππον νῦν μὲν διὰ τὴν τῶν λόγων εὐφημίαν ἐπαινῶ. Thomas δὲ post Φίλιππον omittit, quod, quamquam Stoeberus probet, abesse tamen non potest. Respondet enim Φίλιππον δὲ antecedenti Ἀλεξάνδρῳ μέν.

μὴ προςδέχεσθε] Sic dedi e cod. Mead. Vulgo προςδέχησθε. Antiqui autem et recentiores Grammatici docuerunt, μὴ prohibitivum cum tempore praesenti in imperativo, cum aoristo in subjunctivo constrni. Nec tamen imperativus aoristi damnandus, quod fecit Brunckius ad Aristoph. Lysistr. 1036, ut alio loco scriptoris nostri videbimus, sed praesentis subjunctivus certis locis non nititur. Si Mss. obtulissent προςδέξησθε, hoc, opinor, ob loci sententiam praeferendum fuisset.

τεχνίτου λόγων] Ut τέχναι sensu malo de fraudibus et malitiosa calliditate oratorum dicuntur, sic τεχνίτης λόγων est fallax et fraudulentus orator. Ceterum nihil deest, ut viri quidam docti opinati

λόγων. 70. μικρὸν δὲ ἄνωθεν ἄρξομαι διδάσκων ὑμᾶς. Δημοσθένης γάρ, ἐπειδὴ τὴν πατρῴαν οὐσίαν ἀνάλωσε, περιῄει περὶ τὴν πόλιν θηρεύων νέους πλουσίους ὀρφανούς, ὧν οἱ μὲν πατέρες τετελευτήκεσαν, αἱ δὲ μητέρες διῴκουν τὰς οὐσίας. πολλοὺς δ' ὑπερβὰς, ἑνὸς τῶν δεινὰ πεπονθότων ὑπὸ τούτου μνησθήσομαι. κατιδὼν γὰρ οἰκίαν πλουσίαν, καὶ οὐκ εὐνομουμένην, ἧς ἡγεμὼν μὲν ἦν γυνὴ μέγα φρονοῦσα, καὶ νοῦν οὐκ ἔχουσα, νεανίσκος δὲ ὀρφανὸς ἡμιμανὴς διεχείριζε τὴν οὐσίαν, Ἀρίσταρχος

---

sunt. Animus est commotior, quam ut v. c. ea verborum ambage uteretur, quae suspicanti Reiskio placebat. τεχνίτου λόγων καὶ μιαροῦ. οὐ τὸν τρόπον νῦν διηγήσομαι.

70. ἐπειδὴ τὴν πατρῴαν οὐσίαν ἀνάλωσε] Cod. Helmst. habet ἀπώλεσε, ut jam supra notavi 34., quod praeferendum putat Reiskius, quia Demosthenes non ipse hereditatem prodigerit, sed per tutores amiserit. At acerbo Aeschini magis aptum verbum, quod, quamvis veritati minus conveniens, invidiam auget.

τετελευτήκεσαν] Sic dedi ex Helmst. pro vulgato τετελευτήκεισαν. Sed asserit Phrynichus p. 149. εσαν οὐκ εισαν δοκίμους terminasse. Sunt tamen etiam antiqui scriptores, qui talia parum curarunt, ut v. c. Xenophon. Alii contra accurati in terminatione fuerunt, ut docuit Lobeckius. Noster semper habet εσαν. παραπρ. 8. init. ἑωρήκεσαν. 38. ἐξεληλύθεσαν. Ctes. 41. πεπόνθεσαν.

εὐνομουμένην] Thomas Mag. τὸ εὐνομεῖσθαι οὐκ ἐπὶ πόλεως μόνον καλῶς καὶ ὑπὸ νόμων διοικουμένης τίθεται, ἀλλὰ καὶ ἐπὶ οἰκίας σωφρόνως καὶ ὡς δεῖ οἰκονομουμένης. Αἰσχίνης· κατιδὼν γὰρ οἰκίαν πλουσίαν καὶ οὐκ εὐνομουμένην.

Ἀρίσταρχος ὁ τοῦ Μόσχου] Aristarchus Moschi filius Nicodemum Aphidnaeum interfecerat: cujus caedis socium fuisse Demosthenem affirmat Aeschines παραπρ. 42. fin. Eundemque rumorem de Demosthene spargebat etiam Midias, ut testatur ipse Demosthenes p. 548. τῷ γὰρ ἀθλίῳ καὶ ταλαιπώρῳ κακῆς καὶ χαλεπῆς συμβάσης αἰτίας Ἀριστάρχῳ τῷ Μόσχου, τὸ μὲν πρῶτον, ὦ ἄνδρες Ἀθηναῖοι, κατὰ τὴν ἀγορὰν περιιὼν, ἀσεβεῖς καὶ δεινοὺς λόγους ἐτόλμα (ὁ Μειδίας) περὶ ἐμοῦ λέγειν, ὡς ἐγὼ τὸ πρᾶγμά εἰμι τοῦτο δεδρακώς. Aristarchus, ut poenam effugeret, in exsilium abiit, Demosthenes autem tria ipsi talenta, quibus ad vitam in exsilio sustentandam uti volebat, eripuisse accusatur.

ὁ τοῦ Μόσχου· τούτου προςποιησάμενος ἐραστὴς εἶναι, καὶ τὸ μειράκιον εἰς τὴν φιλίαν ταύτην προςκαλεσάμενος, ἐλπίδων κενῶν ἐμπλήσας, ὡς αὐτίκα δὴ μάλα τῶν ῥητόρων πρωτεύσοντα, κατάλογον ῥητόρων ὑπ' αὐτοῦ γεγενημένων ἀποφαίνων, τοιούτων εἰςηγητὴς αὐτῷ καὶ διδάσκαλος ἔργων ἐγένετο, ἐξ ὧν ἐκεῖνος μὲν φεύγει τὴν πατρίδα, οὗτος δ' αὐτοῦ τὰ τῆς φυγῆς ἐφόδια προλαβὼν τρία τάλαντα ἀπεστέρηκε· Νικόδημος δ' ὁ Ἀφιδναῖος ὑπ' Ἀριστάρχου τετελεύτηκε βιαίῳ θανάτῳ, ἐκκοπεὶς ὁ δείλαιος ἀμφοτέρους τοὺς ὀφθαλμοὺς, καὶ τὴν γλῶτταν ἀποτμηθεὶς, ᾗ ἐπαῤῥησιάζετο, πιστεύων τοῖς νόμοις καὶ ὑμῖν.

71. ἔπειθ' ὑμεῖς, ὦ Ἀθηναῖοι, Σωκράτην μὲν τὸν σοφιστὴν ἀπεκτείνατε, ὅτι Κριτίαν ἐφάνη πεπαιδευκὼς, ἕνα τῶν τριάκοντα, τῶν τὸν δῆμον καταλυσάντων· Δημοσθένης δ' ὑμῖν ἑταίρους ἐξαιτήσεται, ὁ τηλικαύτας τιμωρίας λαμβάνων παρὰ τῶν ἰδιωτῶν καὶ δημοτικῶν ἀνθρώπων ὑπὲρ τῆς ἰσηγορίας; ᾧ παρακεκλημένοι τινὲς τῶν μαθητῶν ἥκουσιν ἐπὶ τὴν ἀκρόασιν. κατεπαγγέλλεται γὰρ πρὸς αὐτοὺς, ἐργολαβῶν ἐφ' ὑμᾶς, ὡς ἐγὼ πυνθάνομαι, λήσειν μεταλ-

---

Νικόδημος ὁ Ἀφιδναῖος] Ἀφίδνα, δῆμος Ἀττικῆς τῆς Λεοντίδος φυλῆς. ὁ δημότης Ἀφιδναῖος. Cf. Meursium s. v. Ulpianus ad Demosthenis l. l. Νικόδημός τις ἐκκοπεὶς τοὺς ὀφθαλμοὺς εὑρέθη νεκρὸς, Εὐβούλου τοῦ πολιτευομένου ὢν εἰς τὰ μάλιστα φίλος.

71. *σοφιστὴν*] Illo tempore hoc nomen nondum erat ignominiosum, sed, ut Diogenes Laertius I, 12, ait, οἱ σοφοὶ καὶ σοφισταὶ ἐκαλοῦντο; ubi plura Menagius. Cf. Wyttenbach. ad Plutarch. T. I. p. 654. sqq. not. Oxon.

ἰδιωτῶν καὶ δημοτικῶν] Sunt homines parum liberaliter educati, ut solent homines de plebe: quibus, si quid admittunt ingenuae educationi contrarium, condonandum, certe non magno crimini vertendum est.

ἐργολαβῶν] Bekk. Anecd. p. 259. ἐργολάβος: ὁ φλαύροις πράγμασι χρώμενος παρὰ τοῖς ῥήτορσι, καὶ οὐχ ὁ ὑπέρ τινων ἔργων μισθὸν λαμβάνων καὶ ἔχων τοὺς συνεργαζομένους, ὡς ἡ συνήθεια. Verbum ἐργολαβεῖν in contemtum sophistis ac philosophis objectum illustrat Wyttenbach ad Plutarch. T. 1. p. 532. not Oxon.

λάξας τὸν ἀγῶνα, καὶ τὴν ὑμετέραν ἀκρόασιν, καὶ παραστήσειν τῷ μὲν φυγόντι θαῤῥεῖν, ὅταν αὐτὸς δεῦρο παρέλθῃ, ἐκπεπλῆχθαι δὲ τῷ κατηγόρῳ καὶ πεφοβῆσθαι περὶ αὐτοῦ· τοσούτους δὲ καὶ τηλικούτους ἐκκαλέσεσθαι παρὰ τῶν δικαστῶν θορύβους, παρεμβάλλων τὰς ἐμὰς δημηγορίας, καὶ ψέγων τὴν εἰρήνην τὴν δι' ἐμοῦ καὶ Φιλοκράτους γενενημένην, ὥςτ' οὐδὲ ἀπαντήσεσθαί με ἐπὶ τὸ δικαστήριον ἀπολογησόμενον, ὅταν τὰς τῆς πρεσβείας εὐθύνας διδῶ, ἀλλ' ἀγαπήσειν, ἐὰν μετρίῳ τιμήματι περιπέσω, καὶ μὴ θανάτῳ ζημιῶμαι. 72. μηδενὶ δὴ τρόπῳ καθ' ὑμῶν αὐτῶν γέλωτα τῷ σοφιστῇ καὶ διατριβὴν παράσχητε· ἀλλ' ὑπολάβεθ' ὁρᾷν εἰςεληλυθότα ἀπὸ τοῦ δικαστηρίου οἴκαδε, καὶ σεμνυνόμενον ἐν τῇ τῶν μειρακίων διατριβῇ, καὶ διεξιόντα, ὡς εὖ τὸ πρᾶγμα ὑφείλετο τῶν δικαστῶν. ἀπαγαγὼν γὰρ αὐτοὺς ἀπὸ τῶν περὶ Τίμαρχον αἰτιῶν, ἐπέστησα φέρων ἐπὶ τὸν κατήγορον καὶ Φίλιππον καὶ Φωκέας. καὶ

δεῦρο] Suidas: τοῦτο τὸ ἐπίῤῥημα τινὲς ἐπὶ χρόνου τετάχθαι νομίζουσιν. οἱ δὲ ῥήτορες ἐπὶ τόπῳ πάντες αὐτῷ χρῶνται. ὡς Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου· καὶ π α ρ α σ χ ε ῖ ν τῷ μὲν φεύγοντι θαῤῥεῖν ὅταν αὐτὸς δεῦρο παρέλθῃ. Sed vulgata nostra non sollicitanda, quamvis Suidas habet παρασχεῖν pro παραστήσειν.

72. σεμνυνόμενον ἐν τῇ τῶν μειρακίων διατριβῇ] Vulgo ἐπὶ pro ἐν. Sed ἐν habent codd. Mead Coisl. Reg. 2. Helmst. et Pollux, qui locum laudat L. IX, 42. Εἰ μέντοι τὸ διδασκαλεῖον καὶ διατριβὴν κατὰ τὴν τῶν πολλῶν χρῆσιν ἐθέλεις καλεῖν, ὅρα μή σε βιάζηται καὶ τὸ παρ' Αἰσχίνῃ, καὶ σεμνυνόμενον ἐν τῇ τῶν μειρακίων διατριβῇ: quem locum, opinor, parum recte interpretes intellexerunt. Vult, ni fallor, Pollux, non recentiores solum διατριβὴν significatione διδασκαλείου ponere, sed jam Atticos: ad quod probandum locum affert Aeschinis. Honestius, ut puto, vocabulum erat διατριβὴ, conversatio cum amicis, quo familiaritas significabatur hominum non amplius puerorum, sed jam maturitatem quandam et aetatis et ingenii assecutorum.

ἐπέστησα φέρων] Sunt viri docti, qui in tali constructione participium φέρων abundare dicant. Verius alii monent, ubique illud orationi pro rei substratae indole emphasin addere.

φόβους ἐπήρτησα τοῖς ἀκροωμένοις, ὥςθ' ὁ μὲν φεύγων κατηγόρει, ὁ δὲ κατηγορῶν ἐκρίνετο· οἱ δὲ δικασταί, ὧν μὲν ἦσαν δικασταί, ἐπελάθοντο, ὧν δ' οὐκ ἦσαν κριταί, περὶ τούτων ἤκουον. ὑμέτερον δ' ἐστὶν ἔργον πρὸς ταῦτα ἀντιτετάχθαι, καὶ πανταχῇ παρακολουθοῦντας, μηδαμῇ παρεκκλίνειν αὐτὸν ἐᾶν, μηδὲ τοῖς ἔξω τοῦ ἀγῶνος λόγοις διϊσχυρίζεσθαι· ἀλλ', ὥςπερ ἐν ταῖς ἱπποδρομίαις, εἰς τὸν τοῦ πράγματος αὐτοῦ δρόμον εἰςελαύνετε. κἂν ταῦτα ποιῆτε, οὐ καταφρονηθήσεσθε, ἀλλὰ τὴν αὐτὴν ἕξετε γνώμην νομοθετοῦντες καὶ δικάζοντες· εἰ δὲ μή, δόξετε, μελλόντων μὲν γίνεσθαι τῶν ἀδικημάτων, προαισθάνεσθαι καὶ ὀργίζεσθαι, γεγονότων δέ, οὐκ ἔτι φροντίζειν. ὡς δ' ἐν κεφαλαίῳ εἰρῆσθαι, ἐὰν μὲν κολάζητε τοὺς ἀδικοῦντας, ἔσονται ὑμῖν οἱ νόμοι καὶ καλοὶ καὶ κύριοι· ἐὰν δ' ἀφίητε, καλοὶ μέν, κύριοι δ' οὐκ ἔτι. 73. Ὧν δὲ ἕνεκα ταῦτα λέγω, οὐκ ὀκνήσω πρὸς ὑμᾶς παῤῥησιάσασθαι· ἔσται δ' ὁ λόγος ἐπὶ παραδείγματος. διὰ τί οἴεσθε, ὦ ἄνδρες Ἀθη-

---

Omnium accuratissime de eo egit Hemsterhusius ad Lucianum Diall. mortt. VI, 3. p. 349 s. Plerumque reddi potest d e d i t a o p e r a, vel u l t r o, s p o n t e, c u m s t u d i o. Ctes. 25. ἐς τοῦτο φέρων περιέστησε τὰ πράγματα: ubi parum subtiliter Taylor. Ib. 27. κἀκεῖθεν ἀποδρὰς ὑπέβαλεν ἑαυτὸν φέρων Θηβαίοις. 45. προςεμίξε φέρων, ἀναρπασθέντων τῶν ξένων, τὸν κίνδυνον ἀπαρασκεύῳ τῇ πόλει.

μηδὲ τοῖς ἔξω τοῦ ἀγῶνος λόγοις διϊσχυρίζεσθαι] Non opus, cum Wolfio simplex reponere ἰσχυρίζεσθαι. Fortius est compositum non argumentis depugnare, quae aliena ab re sunt, aliunde quam a re, de qua agitur, petitis.

73. ἐπὶ παραδείγματος] Quintil. V, 11. παραδείγματος nomine, inquit, Graeci et generaliter usi sunt in omni similium appositione, et specialiter in iis, quae rerum gestarum auctoritate nituntur. Nostri fere s i m i l i t u d i n e m vocare maluerunt, quod ab aliis παραβολὴ dicitur, hoc alterum e x e m p l u m, quamquam et hoc simile, et illud, exemplum. Ammonius: παραβολὴ καὶ παράδειγμα διαφέρει. παραβολὴ μὲν γάρ ἐστιν ἡ οἷα τε γενέσθαι ἐπὶ παραδείγματος. οἷον

73.

γαῖοι, τοὺς νόμους μὲν καλῶς κεῖσθαι, τὰ δὲ ψηφίσματα τῆς πόλεως εἶναι καταδεέστερα, καὶ τὰς κρίσεις ἐνίοτε τὰς ἐν τοῖς δικαστηρίοις ἔχειν ἐπιπλήξεις; ἐγὼ τὰς τούτων αἰτίας ἐπιδείξω. ὅτι τοὺς μὲν νόμους τίθεσθε ἐπὶ πᾶσι τοῖς δικαίοις, οὔτε κέρδους ἕνεκ᾽ ἀδίκου, οὔτε χάριτος, οὔτ᾽ ἔχθρας, ἀλλὰ πρὸς αὐτὸ μόνον τὸ δίκαιον καὶ τὸ συμφέρον ἀποβλέποντες· ἐπιδέξιοι δ᾽, οἶμαι, φύντες ἑτέρων μᾶλλον, εἰκότως καλλίστους νόμους τίθεσθε. ἐν δὲ ταῖς ἐκκλησίαις καὶ τοῖς δικαστηρίοις πολλάκις ἀφέμενοι τῶν εἰς αὐτὸ τὸ πρᾶγμα λόγων, ὑπὸ τῆς ἀπάτης καὶ τῶν ἀλαζονευμάτων ὑπάγεσθε· καὶ πάντων ἀδικώτατον ἔθος

Ὡς δ᾽ ὅτε τις δράκοντα ἰδὼν
παράδειγμα δὲ, γεγονότος πράγματος ἀντιπαράθεσις
Οἶνος καὶ Κένταυρον ἀπώλεσεν
Schol. anon. ad Hermog. περὶ εὑρ. L. III. p. 362. παράδειγμα δέ ἐστιν, ὡς Ζήνων φησὶ, γενομένου πράγματος ἀπομνημόνευσις εἰς ὁμοίωσιν τοῦ νῦν ζητουμένου.

τοὺς νόμους μὲν — τὰ δὲ ψηφίσματα — τὰς κρίσεις] Ut Biagi explicat de Decretis Atheniensium C. I. §. 4, ὁ νόμος est generale praeceptum ex suprema potestate manans de re aliqua aut facienda aut omittenda ad commune societatis bonum. Decretum vel potius psephisma in eo differt, quod sit peculiare praeceptum, in ceteris autem omnibus cum lege prorsus convenire debet. κρίσεις sunt sententiae in caussis vel publicis vel privatis a constituto judice latae. De ψηφισμάτων et νόμων discrimine jam supra p. 2. laudavi Wolfium ad Demost. Lept. p. 310.

αὐτὸ μόνον τὸ δίκαιον] I. e. τὸ ὄντως ὂν τὸ δίκαιον. Sic αὐτὸ saepe substantivis vel adjectivis substantivorum loco positis praeponitur. Cf. Heindorf ad Plat. Parm. 15.

ἐπιδέξιοι] Dexteritate ingenii praediti, subtiles et habiles. Simplex δεξιὸς hac significatione frequentius est, ἐπὶ tamen videtur vim significationis augere. Παραπ. 41. ἐπιδεξιότης. Recentiores opposita significatione ἐπαριστερον usurpare coeperunt, pro quo antiquiores σκαιὸν dixere. Vide Phrynich. p. 259. ibique Lobeck.

τῶν ἀλαζονευμάτων.] Bekker Anecd. p. 243. l. 21. ἀλαζὼν ἐστιν ὁ ἐπὶ πλέον τὰ ἑαυτοῦ κομπάζων καὶ αὔξων.

εἰς τοὺς ἀγῶνας παραδέχεσθε. ἐᾶτε γὰρ τοὺς ἀπολογουμένους ἀντικατηγορεῖν τῶν κατηγορούντων. ἐπειδὰν δ᾽ ἀποσπασθῆτ᾽ ἀπὸ τῆς ἀπολογίας, καὶ τὰς ψυχὰς ἐφ᾽ ἑτέρων γένησθε, εἰς λήθην ἐκπεσόντες τῆς κατηγορίας ἐξέρχεσθ᾽ ἐκ τῶν δικαστηρίων, οὐδὲ παρ᾽ ἑτέρου δίκην εἰληφότες· οὔτε παρὰ τοῦ κατηγόρου· ψῆφος γὰρ κατ᾽ αὐτοῦ οὐ δίδοται· οὔτε παρὰ τοῦ ἀπολογουμένου· ταῖς γὰρ ἀλλοτρίαις αἰτίαις ἀποτριψάμενος τὰ ὑπάρχοντα αὐτῷ ἐγκλήματα, ἐκπέφευγεν ἐκ τοῦ δικαστηρίου· οἱ δὲ νόμοι καταλύονται, καὶ ἡ δημοκρατία διαφθείρεται, καὶ τὸ ἔθος ἐπὶ πολὺ προβαίνει· εὐχερῶς γὰρ ἐνίοτε λόγον ἄνευ χρηστοῦ βίου προςδέχεσθε. ἀλλ᾽ οὐ Λακεδαιμόνιοι· καλὸν δ᾽ ἐστὶ καὶ τὰς ξενικὰς ἀρετὰς μιμεῖσθαι. δημηγοροῦντος γάρ τινος ἐν τῇ τῶν Λακεδαιμονίων ἐκκλησίᾳ, ἀνδρὸς βεβιωκότος μὲν αἰσχρῶς, λέγειν δ᾽ εἰς ὑπερβολὴν δυνατοῦ, καὶ τῶν Λακεδαιμονίων, ὥς φασι, κατὰ τὴν ἐκείνου γνώμην ψηφίζεσθαι μελλόντων, παρελθών τις τῶν γερόντων, οὓς ἐκεῖνοι καὶ αἰσχύνονται καὶ δεδίασι, καὶ τὴν τῆς ἡλικίας αὐτῶν ἐπωνυμίαν ἀρχὴν μεγίστην εἶναι νομίζουσι,

---

εἰς λήθην ἐκπεσόντες] Helmst. *ἐμπεσόντες*. Mihi *ἐκπεσόντες* significantius videtur. *ἐμπεσεῖν* est simpliciter incidere et maxime indicat fortuiti quid; in *ἐκπίπτειν* vero hoc inest, aliquem aberrasse ab eo, a quo stare eum oportebat.

ἀποτριψάμενος] *Ἀποτρίβεσθαι* multifariam designat amoliri, ab se abstergere, amovere. 48. *τὸ πρᾶγμα ὅλον ἀποτρίψασθαι*.

εὐχερῶς γὰρ ἐνίοτε λόγον ἄνευ χρηστοῦ βίου προςδέχεσθε] Non addendum, ut Reiskius opinatur, *χρηστὸν* post *λόγον*. Orator enim innuit, etiam malas et perniciosas orationes interdum Atheniensibus placere.

αἰσχρῶς] Hoc loco sensu latissimo capiendum, ita ut dedecori sit viro, qui viri nomine dignus sit. Non flagitia solum et scelera verum etiam ignavia et imbecillitas huc referuntur.

καὶ τὴν τῆς ἡλικίας - ἐπωνυμίαν ἀρχὴν μεγίστην εἶναι νομίζουσι] Intelligit *γερουσίαν*, senatum, qui ex triginta viris, quorum unus

καθιστᾶσι δ' αὐτοὺς ἐκ τῶν ἐκ παιδὸς εἰς γῆρας σωφρόνων· τούτων εἷς, ὡς λέγεται, παρελθὼν ἰσχυρῶς ἐπέπληξε τοῖς Λακεδαιμονίοις, καί τι τοιοῦτον κατ' αὐτῶν ἐβλασφήμησεν, ὡς οὐ πολὺν χρόνον τὴν Σπάρτην ἀπόρθητον οἰκήσουσι, τοιούτοις ἐν ταῖς ἐκκλησίαις συμβούλοις χρώμενοι. ἅμα δὲ παρακαλέσας ἄλλων τινὰ τῶν Λακεδαιμονίων ἄνδρα,

---

alter rex erat, constabat: de quo vide Manso Sparta I. 1, p. 95. sqq. Hoc et quod sequitur membrum per relativum priori adjunctum esse oportebat. Sed antecedente jam relativo hujus loco saepe ponitur demonstrativum aut determinativum. Ctes. 40. ἧς ἐγὼ οὔτ' ἂν τοὔνομα εἴποιμι, μήθ' αἱ συμφοραὶ παραπλήσιοι γένοιντο αὐτῆς μηδενὶ τῶν Ἑλλήνων. Graeci saepissime ita locuti sunt. Cf. Heindorf ad Plat. Hipp. maj. §. 44. Etiam Latini imitati sunt: in quo saepe et librarii et viri docti offenderunt. Vide annotationem meam ad Cicer. de fin. bon. et mal. I, 21. et II, 2.

τι τοιοῦτον] Sic scripsi ex Helmst. Vulgo τι τοιοῦτο. Quamquam autem nolim cum Elmsleyo abjudicare veteribus Atticis τοσοῦτο et similia, ut ille fecit ad Soph. Oed. T. 734. et ad Eurip. Med. 252. s., alterum tamen praefero, ubicunque id codd. offerunt. In nostro scriptore unum nonnisi locum inveni, ubi τοιοῦτο ab omnibus Mss. teneatur, supra 35. τοιοῦτο πολίτευμα.

τινὰ] Plutarchus narrat ἐν τοῖς πολιτικοῖς παραγγέλμασιν. Ἐν δὲ Λακεδαίμονι τινὸς Δημοσθένους, ἀνδρὸς ἀκολάστου, γνώμην εἰπόντος ἁρμόζουσαν, ἀπέῤῥιψεν ὁ δῆμος· οἱ δὲ Ἔφοροι κληρώσαντες ἕνα τῶν γερόντων, ἐκέλευσαν εἰπεῖν τὸν αὐτὸν λόγον ἐκεῖνον, ὥσπερ εἰς καθαρὸν ἀγγεῖον ἐκ ῥυπαροῦ μετακεράσαντες, ὅπως εὐπρόσδεκτος γένηται τοῖς πολλοῖς. Operae pretium est A. Gellii adscribere c. 3. L. XVIII. „Aeschines vel acerrimus prudentissimusque oratorum, qui apud conciones Atheniensium floruerunt, in oratione illa saeva criminosaque et virulenta, qua Timarchum de impudicitia graviter insigniterque accusavit, nobile et illustre consilium Lacedaemoniis dedisse dicit virum indidem civitatis ejusdem principem, virtute atque aetate magna praeditum. Populus, inquit, Lacedaemonius, quidnam esset utile et honestum, deliberabat: tum exsurgit, sententiae dicendi gratia, homo quispiam turpitudine pristinae vitae defamatissimus, sed lingua tunc atque facundia nimium quantum praestabilis, consilium, quod dabat, quodque oportere fieri suadebat, acceptum ab universis et complacitum est; futurumque erat ex ejus sententia populi decre-

λέγειν μὲν οὐκ εὐφυᾶ, τὰ δὲ κατὰ πόλεμον λαμπρὸν, καὶ πρὸς δικαιοσύνην καὶ ἐγκράτειαν διαφέροντα, ἐπέταξεν αὐτῷ τὰς αὐτὰς εἰπεῖν γνώμας οὕτως ὅπως ἂν δύνηται, ἃς εἶπεν ὁ πρότερος ῥήτωρ· ἵν', ἔφη, οἱ Λακεδαιμόνιοι ἀνδρὸς ἀγαθοῦ φθεγξαμένου ψηφίσωνται, τὰς δὲ τῶν ὑποδεδειλιακότων καὶ πονηρῶν ἀνθρώπου φωνὰς μηδὲ τοῖς ὠσὶ προςδέχωνται· ταῦθ' ὁ γέρων, ὁ ἐκ παιδὸς σεσωφρονηκὼς, παρῄνεσε τοῖς ἑαυτοῦ πολίταις. ταχὺ γὰρ ἂν

---

tum. ibi unus ex illo principum ordine, quos Lacedaemonii, aetatis dignitatisque majestate tamquam arbitros et magistros disciplinae publicae verebantur, commoto irritatoque animo exsilit: et, Quaenam, inquit, Lacedaemonii, ratio, aut quae tandem spes erit, urbem hanc et hanc rempublicam salvam inexpugnabilemque esse diutius posse, si hujuscemodi anteactae vitae hominibus consiliariis utemur? Quod si proba ista haec et honesta sententia est; quaeso vos, non sinamus eandem dehonestari turpissimi auctoris contagio. Atque ubi hoc dixit, elegit virum fortitudine atque justitia praeter alios praestantem, sed inopi lingua et infacundum: jussitque eum, consensu petituque omnium, eandem illam sententiam diserti viri cuicuimodi posset verbis dicere: ut nulla prioris mentione habita, scitum atque decretum populi ex ejus unius nomine fieret, quod ipsum denuo dixerat. Atque ita, ut suaserat prudentissimus senex, factum est. Sic bona sententia mansit; turpis auctor mutatus est." Cf. Wyttenbach. ad Plut. T. I. p. 344. not. Lond.

εὐφυᾶ] Sic codd. omnes. Vide supra p. 2.

οὕτως ὅπως ἂν δύνηται] Est formula minuens, ut poteris, etiam si eximium non sit. Isocr. Panath. 54. fin. ὅμως δ' οὕτως ὅπως ἂν οἷός τ' ὦ, πειράσομαι διαλεχθῆναι περὶ αὐτῶν.

τοῖς ὠσὶ προςδέχωνται] Verbis audiendi τοῖς ὠσὶ saepe additur cum vi. παραπρ. 22. ὥςτ' οἰκεῖά μοι καὶ συνήθη τὰ τῆς πόλεως ἀτυχήματα εἶναι τοῖς ὠσὶν ἀκούειν. 53. πῶς δὲ οὐκ οἰκτρὸν βλέπειν ἐχθροῦ πρόςωπον ἐπεγγελῶντος, καὶ τοῖς ὠσὶ τῶν ὀνειδῶν ἀκοῦσαι; Eodem modo verbis videndi additur τοῖς ὀφθαλμοῖς. Ctes. 37. ὁρᾶτε τοῖς ὀφθαλμοῖς τὸν ἐξέγιστον καὶ ἐπάρατον λιμένα τετειχισμένον 88. καὶ μὴ μόνον τοῖς ὠσὶν, ἀλλὰ καὶ τοῖς ὄμμασι διαβλέψαντες εἰς ὑμᾶς αὐτοὺς βουλεύσασθε.

Τίμαρχον ἢ τὸν κίναιδον Δημοσθένην εἴασε πολιτεύεσθαι. 74. Ἵνα δὲ μὴ δοκῶ Λακεδαιμονίους θεραπεύειν, καὶ τῶν ἡμετέρων προγόνων μνησθήσομαι. οὕτω γὰρ ἦσαν πρὸς τὰς αἰσχύνας χαλεποὶ, καὶ περὶ πλείστου τῶν τέκνων τὴν σωφροσύνην ἐποιοῦντο, ὥςτ᾽ ἀνὴρ εἷς τῶν πολιτῶν εὑρὼν τὴν ἑαυτοῦ θυγατέρα διεφθαρμένην, καὶ τὴν ἡλικίαν οὐ καλῶς διαφυλάξασαν μέχρι γάμου, ἐγκατῳκοδόμησεν αὐτὴν μεθ᾽ ἵππου εἰς ἔρημον οἰκίαν, ὑφ᾽ οὗ προδήλως ἔμελλεν

εἴασε] Neutiquam εἴασαν scribendum. Statim antecessit ὁ γέρων-παρήνεσε. De ironia vide supra ὁ. 21. Perperam Mead. Coisl. Regg. 1. 2. Helmst. et Ald. ἂν post γὰρ omittunt.

74. καὶ περὶ πλείστου – ἐποιοῦντο] Wolfius monet, οὕτω praecedentis membri assumendum esse etiam in hoc. Rarum quidem est οὕτω enuntiationi addi, in qua sit superlativus adjectivi. Sed non tentandum esse, si quando fiat, docuit Lobeckius ad Phryn. p. 424.

ἀνὴρ εἷς τῶν πολιτῶν] Appellant hominem Ἱππομένην τὸ γένος Κοδριδῶν; filiam Λειωνίδα. Suidas s. v. descripsit ex Nicolaó Damasc. p. 42. s. *Or. Ἱππομένης Ἀθηναίων ἄρχων, ὃς ἐξέπεσε τῆς ἀρχῆς διὶ αἰτίαν τοιάνδε. Ἦν αὐτῷ θυγάτηρ, ἥντινα τῶν ἀστῶν τινὸς αἰσχύναντος λάθρα, ὑπ᾽ ὀργῆς καθεῖρξεν εἰς οἴκημα δήσας σὺν ἵππῳ (addunt alii μαινομένῳ) καὶ τρόφον οὐδετέρῳ εἰςέπεμπεν. πιεσθεὶς οὖν λιμῷ ὁ ἵππος, ἐφορμήσας τῇ παιδὶ ἀνήλωσέ τε αὐτὴν, καὶ αὐτὸς ὕστερον ἀπέθανε. μετὰ ταῦτα ἐπισκαφείσης αὐτῷ τῆς οἰκήσεως, ἀπ᾽ ἐκείνου ὁ χῶρος ἐκαλεῖτο ἵππου καὶ κόρης.

θυγατέρα διεφθαρμένην] Διαφθείρειν παρθένον virginem tentare, corrumpere, dubium esse non potest. De φθείρειν, διαφθείρειν, βιάζεσθαι γυναῖκα cf. Lobeck ad Phryn. p. 71.

ἐγκατῳκοδόμησεν] Scholiastes ἐν οἰκήματί τινι ἐγκατέφραξεν Verbum ab Euripide mutuatum esse monet Valckenaer Diatr. in Eurip. fragm. p. 279. Scriptores quosdam, qui hoc vocabulo usi sunt, laudat Valesius ad Harpocr. p. 106.

ὑφ᾽ οὗ] Sic Helmst. Ceteri ἀφ᾽ οὗ vel ἐφ᾽ οὗ. Si vera narratio, quam laudavi, solum ὑφ᾽ οὗ verum est, quoniam virgo ab equo confecta est. Etiam compositum συγκαθειργμένη veritatem receptae lectionis vindicat.

ἀπολεῖσθαι διὰ λιμὸν συγκαθειργμένη· καὶ ἔτι καὶ νῦν τῆς οἰκίας ταύτης ἕστηκε τὰ οἰκόπεδα ἐν τῷ ὑμετέρῳ ἄστει, καὶ ὁ τόπος οὗτος καλεῖται „παρ' ιππον και κορην." ὁ δὲ Σόλων, ὁ τῶν νομοθετῶν ἐνδοξότατος, γέγραφεν ἀρχαίως καὶ σεμνῶς περὶ τῆς τῶν γυναικῶν εὐκοσμίας. τὴν γὰρ γυναῖκα, ἐφ' ᾗ ἂν ἁλῷ μοιχὸς, οὐκ ἐᾷ κοσμεῖσθαι, οὐδὲ εἰς τὰ δημοτελῆ ἱερὰ εἰσιέναι, ἵνα μὴ τὰς ἀναμαρτήτους τῶν γυναικῶν ἀναμιγνυμένη διαφθείρῃ· ἐὰν δ' εἰσίῃ ἢ κοσμῆται, τὸν ἐντυχόντα κελεύει καταῤῥηγνύναι τὰ ἱμάτια, καὶ τὸν κόσμον ἀφαιρεῖσθαι, καὶ τύπτειν, εἰργόμενον θανάτου, καὶ τοῦ ἀνάπηρον ποιῆσαι· ἀτιμῶν τὴν τοιαύτην γυναῖκα, καὶ τὸν βίον ἀβίωτον αὐτῇ παρασκευάζων· καὶ τοὺς προαγωγοὺς γράφεσθαι κελεύει, κἂν ἁλῶσι, θανάτῳ ζημιοῦν, ὅτι τῶν ἐξαμαρτάνειν ἐπιθυμούντων, ὀκνούντων καὶ αἰσχυνομένων ἀλλήλοις ἐντυγχάνειν, αὐτοὶ τὴν αὑτῶν ἀναίδειαν παρασχόντες ἐπὶ μισθῷ, τὸ πρᾶγμα εἰς διάπειραν καὶ λόγον κατέστησαν. 75. Ἐπειθ' οἱ μὲν πατέρες ὑμῶν οὕτω περὶ τῶν αἰσχρῶν καὶ καλῶν διεγίνωσκον· ὑμεῖς δὲ Τίμαρχον ὄντα τοῖς αἰσχίστοις ἐπιτηδεύμασιν ἔνοχον ἀφήσετε; τὸν ἄνδρα μὲν καὶ ἄῤῥενα τὸ σῶμα, γυναικεῖα δὲ ἁμαρτήματα ἡμαρτηκότα. τίς οὖν ὑμῶν γυναῖκα λαβὼν ἀδικοῦσαν τιμωρήσεται; ἢ τίς οὐκ ἀπαίδευτος εἶναι δόξει, τῇ μὲν κατὰ φύσιν ἁμαρτούσῃ χαλεπαίνων,

---

ἐνδοξότατος] Suidas laudat locum s. v. ἀρχαῖον ita: ὁ δὲ Σόλων, ὁ τῶν νομοθετῶν μάλιστα εὐδοκιμῶν, γέγραφεν ἀρχαίως et ἀρχαίως positum ait ἐπὶ τοῦ παλαιοῦ. Sed, quid h. l. ἀρχαίως significet, apparet ex addito καὶ σεμνῶς, quod est explicativum: severo antiquorum more.

εἰργόμενον θανάτου] Ita tamen, ut abstineat caede, ut Wolfius explicat ἄνευ φόνου.

εἰς διάπειραν καὶ λόγον κατέστησαν] Occasionem praebuerunt ipsis se videndi et cognoscendi num de conditionibus conveniant.

75. ἁμαρτούσῃ] Sic dedi ex Helmst. pro vulgato ἁμαρτανούσῃ; tum ut apte respondeat opposito ὑβρίσαντι, tum ne quis de muliere cogitet in flagitio perseverante. Aliud est, quod antecedit ἀδικοῦσαν. Hoc definitur tum ex adjecto λαβὼν, tum ex usu.

τῷ δὲ παρὰ φύσιν ἑαυτὸν ὑβρίσαντι συμβούλῳ χρώμενος; τίνα δ' ἔχων ἕκαστος ὑμῶν γνώμην ἐπάνεισιν οἴκαδε ἐκ τοῦ δικαστηρίου; οὔτε γὰρ ὁ κρινόμενος ἀφανὴς, ἀλλὰ γνώριμος· οὔθ' ὁ νόμος ὁ περὶ τῆς τῶν ῥητόρων δοκιμασίας φαῦλος, ἀλλὰ κάλλιστος· τὸ, τί ἔρεσθαι τοῖς παισὶ καὶ τοῖς μειρακίοις τοὺς ἑαυτῶν οἰκείους, ὅπως τὸ πρᾶγμα κέκριται, πρόχειρον. τί οὖν δὴ λέξετε οἱ τῆς ψήφου νυνὶ γεγονότες κύριοι, ὅταν οἱ ὑμέτεροι παῖδες ὑμᾶς ἔρωνται, εἰ κατεδικάσατε ἢ ἀπεψηφίσασθε; οὐχ ἅμα Τίμαρχον ἀπολῦσαι ὁμολογήσετε, καὶ τὴν κοινὴν παιδείαν ἀναστρέψετε; τί δ' ὄφελος παιδαγωγοὺς τρέφειν, ἢ παιδοτρίβας καὶ διδασκάλους τοῖς παισὶν ἐφιστάναι, ὅταν οἱ τὴν τῶν νόμων παρακαταθήκην ἔχοντες πρὸς τὰς αἰσχύνας κατακάμπτωνται; 76. θαυμάζω δ' ὑμῶν, ὦ Ἀθηναῖοι, κᾀκεῖνο, εἰ τοὺς μὲν πορνοβοσκοὺς μισεῖτε, τοὺς δ' ἑκόντας πεπορνευμένους ἀφήσετε. καὶ, ὡς ἔοικεν, ὁ αὐτὸς οὗτος ἀνὴρ ἱερωσύνην μὲν οὐδενὸς θεῶν κληρώσεται, ὡς οὐκ ὢν ἐκ τῶν νόμων καθαρὸς τὸ σῶμα· γράψει δ' ἐν τοῖς ψηφίσμασιν εὐχὰς ὑπὲρ τῆς πόλεως ταῖς Σεμναῖς θεαῖς. εἶτα

τὴν κοινὴν παιδείαν ἀναστρέψετε] Iterum sic dedi ex Helm. Vulgo *ἀνατρέψεται*, quod Reiskius de suo mutavit in *ἀνατρέψαι*. Sed ipse saepius animadvertit, librarios *αι* et *ε* centies confudisse. *Ἅμα* in protasi cum *καὶ* in apodosi est Latinorum simulatque, sed aptius. Per *ἀναστρέψετε* indicatur, quid facturi sint, etiamsi id non concesserint.

πρὸς τὰς αἰσχύνας] Reiskius abstractum pro concreto accipiens explicat *πρὸς τοὺς αἰσχρὰ πεποιηκότας*. Atque ego jam supra c. 2. monui, amare Aeschinem abstracta ponere pro concretis. Quinetiam hoc ipsum *αἰσχύνη* appositio est vocabuli *ἄνθρωπος* Ctes. 83. *ἄνθρωπος, αἰσχύνη τῆς πόλεως*. Recte sic etiam acceperis supra c. 74. *οὕτω γὰρ ἦσαν πρὸς τὰς αἰσχύνας χαλεποί*.

76. *οὐδενὸς θεῶν*] Vulgo *οὐθενός θεῶν*. Vide supra c. 61.

ταῖς Σεμναῖς θεαῖς] Scholiastes: *τρεῖς ἦσαν αἱ λεγόμεναι σεμναὶ θεαὶ ἢ Εὐμενίδες ἢ Ἐριννύες. — — οἱ δὲ Ἀρεοπαγῖται τρεῖς τοῦ μηνὸς ἡμέρας τὰς φονικὰς δίκας ἐδίκαζον, ἑκάστῃ τῶν θεῶν ἡμέραν ἀπονέ-*

τί θαυμάζομεν τὴν κοινὴν ἀπραξίαν, τοιούτων ῥητόρων ἐπὶ τὰς τοῦ δήμου γνώμας ἐπιγραφομένων; καὶ τὸν αἰσχρῶς οἴκοι βεβιωκότα ἔξω τῆς πόλεως πρεσβευτὴν πέμψομεν, καὶ τούτῳ περὶ τῶν μεγίστων διαπιστεύσομεν; τί δ' οὐκ ἂν ἀπόδοιτο, ὁ τὴν τοῦ σώματος ὕβριν πεπρακώς; τίνα δ' ἂν οὗτος ἐλεήσειεν, ὁ αὑτὸν οὐκ ἐλεήσας; τίνι δ' ὑμῶν οὐκ εὔγνωστός ἐστιν ἡ Τιμάρχου βδελυρία; ὥσπερ γὰρ τοὺς γυμναζομένους, κἂν μὴ παρῶμεν ἐν τοῖς γυμνασίοις, εἰς τὰς εὐεξίας αὐτῶν ἀποβλέποντες, γινώσκομεν οὕτω

μοντες. ἦν δὲ τὰ πεμπόμενα αὐταῖς ἱερὰ πόπανα καὶ γάλα ἐν ἀγγείοις κεραμείοις. φασὶ μέντοι αὐτὰς οἱ μὲν Γῆς εἶναι καὶ Σκότους, οἱ δὲ Σκότους καὶ Εὐωνύμου, ἣν καὶ γῆν ὀνομάζεσθαι. κληθῆναι δὲ Εὐμενίδας ἐπ' Ὀρέστου, πρότερον Ἐριννύας καλουμένας. Eustathius ad Il. ι p. 763. Τῶν Εὐμενίδων τὸ ἱερὸν πλησίον ἵδρυτο τῆς βουλῆς τῆς ἐξ Ἀρείου πάγου, καὶ οἱ μὲν φασιν, ὅτι διὰ τὸν Ὀρέστην ἐκεῖ καθιδρύθη. βέλτιον δὲ λέγειν διὰ τὰ φονικά. ἐπειδὴ γὰρ ἐν Ἀρείῳ πάγῳ τὰ τῶν φονέων ἐδικάζοντο, ἐκεῖ καθιδρύθησαν, ἵν', εἴ τι καὶ λανθάνειν μέλλοι τὴν βουλήν, αὗται συναγωνίζωνται πρὸς τὸν ἔλεγχον ἐγγὺς ἐφεστῶσαι.

τὴν κοινὴν ἀπραξίαν] Wolfius: εὐφήμως ἀπραξίαν εἶπε τὴν κακοπραγίαν καὶ δυστυχίαν. Hemsterhuis. ad Aristoph. Plut. v. 968. Schol. „Α in compositis saepe vim habet τοῦ κακοῦ, eumque in modum a Grammaticis explicatur." Sic ἀβίωτος quod saepe legitur, etiam supra c. 49., explicant κακοβίωτος. Montf. Bibl. Coisl. p. 457. ὅταν φάσκωμεν ἀπρόσωπον καὶ ἀτράχηλον, ἴσον τῷ κακοπρόσωπον καὶ κακοτράχηλον.

τοιούτων ῥητόρων ἐπὶ τὰς τοῦ δήμου γνώμας ἐπιγραφομένων] Scholiastes: ἐγράφετο γὰρ ἐν τοῖς ψηφίσμασιν, ὁ δεῖνα εἶπεν, Αἰσχίνης, ἢ Τίμαρχος, ἤ τις ἕτερος. Omnem hanc rem accurate exponit Schömann de comitt. Ath. p. 100 sqq.

εἰς τὰς εὐεξίας] Galenus p. 290. εὐεξίαν explicat τὴν τῆς ὑγιεινῆς ἕξεως τελειότητα. Ea est sani habitus conditio, ut corpus singulaeque ejus partes non solum sanitate fruantur, sed etiam usu et exercitatione et observatis diaetetices regulis robustae sint, firmae, et ad obeunda quaevis negotia ac tolerandos quosvis labores aptae. Opponitur καχεξία. De utraque disputat Socrates apud Xenoph. Memor. L. III. c. 12.

τοὺς πεπορνευμένους, κἂν μὴ παρῶμεν τοῖς αὐτῶν ἔργοις, ἐκ τῆς ἀναιδείας καὶ τοῦ θράσους, καὶ τῶν ἐπιτηδευμάτων γινώσκομεν. ὁ γὰρ ἐπὶ τῶν μεγίστων τοὺς νόμους καὶ τὴν σωφροσύνην ὑπεριδὼν, ἔχει τινὰ ἕξιν τῆς ψυχῆς, ἣ διάδηλος ἐκ τῆς ἀκοσμίας τοῦ τρόπου γίγνεται· πλείστους δ' ἂν εὕροιτ' ἐκ τῶν τοιούτων ἀνθρώπων πόλεις ἀνατετροφότας, καὶ ταῖς μεγίσταις συμφοραῖς αὐτοὺς περιπεπτωκότας. 77. μὴ γὰρ οἴεσθε, ὦ Ἀθηναῖοι, τὰς τῶν ἀτυχημάτων ἀρχὰς ἀπὸ θεῶν, ἀλλ' οὐχ ἀπ' ἀνθρώπων ἀσελγείας γίνεσθαι. μηδὲ τοὺς ἠσεβηκότας, καθάπερ ἐν

τοὺς νόμους καὶ τὴν σωφροσύνην] Hoc illud propius definit. Καὶ reddere possis et inprimis. Idem fere est ac si dixisset, τοὺς νόμους τοὺς περὶ σωφροσύνης.

ἀνατετροφότας] Recte sic scripsit Reiskius ex Mead. pro vulgato ἀνατετραφότας. Perfectum enim verbi ἀνατρέπω Attici solent dicere ἀνατέτροφα. Ctes. 48. τὸν τὴν Ἑλλάδα καὶ τὴν πόλιν ἄρδην ἀνατετροφότα. Andoc. περὶ τῶν μυστηρ. p. 64. R. οἰόμενος γὰρ Ἱππόνικος υἱὸν αὐτῷ τρέφειν, ἀλιτήριον αὐτῷ ἔτρεφεν· ὃς ἀνατέτροφεν ἐκείνου τὸν πλοῦτον, τὴν σωτηρίαν, τὸν ἄλλον βίον ἅπαντα. Sluiter. Lectt. Andocc. p. 157. hunc Atticorum usum non attendens, corrigit ἀνατέτροπεν: locutionem quidem bene illustrans, sed in constituenda lectione aberrans. Librarii autem saepe hanc Atticam formam mutarunt in ἀνατέτραφα. Sed optimi codd. ubique fere ἀνατέτροφα praebent. Demosth. pro cor. p. 324. τὴν δ' ἐλευθερίαν — — ἀνατετροφότες. Aliquot Mss. ἀνατετραφότες, quos secutus est Bekkerus. Sed etiam Longinus, qui locum laudat Sect. XXXII., habet ἀνατετροφότες, quod contra codd. mutare voluit Tollius. Etiam analogia rem probat. Cf. Matthiae Gr. Gr. §. 183. n. 3. et inprimis Lobeck post Phryn. 578 sq.

77. ἀλλ' οὐχ ἀπ' ἀνθρώπων ἀσελγείας γίνεσθαι] Vulgo οὐχ ὑπ'. Theo progymnasm. cap. 7. locum laudans sic legit: μὴ γὰρ οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τὰς τῶν ἀτυχημάτων ἀρχὰς ἀπὸ θεῶν ἀλλ' ἀπ' ἀνθρώπων ἀσελγείας γίνεσθαι: quod se amplexum esse scribit Reiskius; sed operae non paruerunt. Equidem negationem non deleverim; nam ἀλλ' οὐκ significat nec potius, und nicht vielmehr. Praepositionem ἀπ' vero pro ὑπ' admisi. Origo enim indicatur,

ταῖς τραγῳδίαις, Ποινὰς ἐλαύνειν καὶ κολάζειν δᾳδὶν ἡμμέναις· ἀλλ' αἱ προπετεῖς τοῦ σώματος ἡδοναὶ, καὶ τὸ μηδὲν ἱκανὸν ἡγεῖσθαι, ταῦτα πληροῖ τὰ λῃστήρια, ταῦτ' εἰς τὸν ἐπακτροκέλητα ἐμβιβάζει, ταῦτά ἐστιν ἑκάστῳ

Ποινὰς] *Ποιναὶ* et *Ἐριννύες* alias apud antiquos eaedem sunt, alias diversae. Hemsterhusius ad Lucian. T. I. p. 469. qui rem accuratius persequitur. Cicero ter hunc locum tantum non reddidit. De legg. I, 14. Poenas luunt non tam judiciis (quae quondam nusquam erant, hodie multifariam nulla sunt; ut sint tamen, persaepe falsa sunt) quam conscientia: ut eos agitent insectenturque Furiae, non ardentibus taedis, sicut in fabulis, sed angore conscientiae, fraudisque cruciatu. Pro S. Roscio Amer. c. 24. Nolite enim putare, quemadmodum in fabulis saepenumero videtis, eos, qui aliquid impie scelerateque commiserint, agitari et perterreri Furiarum taedis ardentibus: sua quemque fraus et suus terror maxime vexat, suum quemque scelus agitat amentiaque afficit, suae malae cogitationes conscientiaeque animi terrent. Hae sunt impiis assiduae domesticaeque Furiae. in L. Pisonem c. 20. Nolite enim putare, P. C., ut in scena videtis, homines consceleratos impulsu deorum terreri furiarum taedis ardentibus. Sua quemque fraus, suum facinus, suum scelus, sua audacia de sanitate ac mente deturbat. Hae sunt impiorum Furiae, hae flammae, hae faces. Respicit hunc locum etiam Juncus apud Stobaeum S. CXVI. p. 597. *αἷς (τοῦ σώματος ἡδοναῖς) σύμμαχος καὶ συνέριθος ἡ νεότης γίνεται, ὑφ' ἧς βαδίζουσαι καὶ κατακρύπτεσθαι δοκοῦσαι μονονουχὶ μάστιξι καὶ κέντροις, ὥσπερ ἐπὶ σκηνῆς αἱ τῶν τραγῳδιῶν Εὐμενίδες, τὸν νέον ἐλαύνουσιν.*

ἐπ' ἐπακτροκέλητα ἐμβιβάζει] Ammonius: *Κέλης καὶ ἐπακτροκέλης διαφέρει. Κέλης μὲν γάρ ἐστι πλοιάριόν τι μικρόν. Ἐπακτροκέλης δὲ κακοῦργον καὶ λῃστρικὸν σκάφος, μεταξὺ ἐπακτρίδος καὶ κέλητος. Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου. Ἀλλ' αἱ προπετεῖς τοῦ σώματος ἡδοναὶ καὶ τὸ μηδὲν ἱκανὸν εἶναι, ταῦτα πληροῖ τὰ λῃστήρια. ταῦτα εἰς τὸν ἐπακτροκέλητα ἐμβιβάζει. Ἐπακτῆρες δὲ κυνηγέται.* Quum Aeschinis exempla habeant *ἡγεῖσθαι*, Ammonius autem *εἶναι*, Valckenaerius utraque lectione juncta scribendum censet *καὶ τὸ μηδὲν ἱκανὸν ἡγεῖσθαι εἶναι* quo nihil dicit esse ad Atticas Veneres exactum magis aut cum Aeschinis scribendi colore conveniens. Nos quidem jam supra 58. hanc loquendi rationem vindicavimus. Nec dubitarem onjecturam recipere, si vel unus Aeschinis codex addiceret.

Ποινὴ, ταῦτα παρακελεύεται τοῖς νέοις σφάττειν τοὺς πολίτας, ὑπηρετεῖν τοῖς τυράννοις, συγκαταλύειν τὸν δῆμον. οὐ γὰρ τὴν αἰσχύνην, οὐδ' ἃ πείσονται λογίζονται, ἀλλ' ἐφ' οἷς κατορθώσαντες εὐφρανθήσονται, τούτοις κεκήληνται. ἐξαιρεῖτ' οὖν, ὦ Ἀθηναῖοι, τὰς τοιαύτας φύσεις, καὶ τὰ τῶν νέων ζηλώματα ἐπ' ἀρετὴν προτρέψασθε. 78. ἓν δὲ εὖ ἐπίστασθε· καί μοι σφόδρα τὸ μέλλον ῥηθήσεσθαι διαμνημονεύετε· εἰ μὲν δώσει τῶν ἐπιτηδευμάτων Τίμαρχος δίκην, ἀρχὴν εὐκοσμίας ἐν τῇ πόλει κατασκευάσετε· εἰ δ' ἀποφεύξεται, κρείττων ἦν ὁ ἀγὼν μὴ γεγενη-

---

οὐδ' ἃ πείσονται λογίζονται] Wolfius ante λογίζονται de suo inseruit ληφθέντες; quod si codex obtulisset, retinuissem. Sed non anxius est in oppositione Aeschines. Ctes. 78. ἐκ δὲ τῶν Δημοσθένους πολιτευμάτων ὑμεῖς μὲν ἀστεφάνωτοι καὶ ἀκήρυκτοι γίνεσθε, οὗτος δὲ κηρυχθήσεται.

78. κατασκευάσετε] Sic dedi ex Coisl. Reg. 2. Mead. Helmst. Vulgo κατασκευάζετε. Nostrum praeferendum esse, patet e protasi: εἰ δώσει δίκην.

κρείττων ἦν ὁ ἀγὼν μὴ γεγενημένος] Taylor mavult κρείττων ἂν ἦν; nec potest negari, in ejusmodi constructione Graecos quamplurimum addidisse particulam ἄν. Sed difficile est, in tanta Atticae orationis elegantia statuere, ubi indicativus sine ἂν majorem, ut ita dicam, certitudinis notionem exprimens, locum habere possit; atque doctissimi viri, qui in hac constructione ἂν necessarium esse statuerunt, grammaticam potius rationem, quam orationis venustatem et subtilitatem secuti esse videntur. Vere enim monet Hermannus ad Eurip. Hec. 1087., Latinos etiam et Germanos indicativum pro conjunctivo ponere: quod quamquam ubique fieri non possit, ab iis tamen scriptoribus, qui jure primi censentur, elegantissime fit. Praecipue locum habet in certis loquendi formulis, v. c. ἐχρῆν vel χρῆν, ut Latinorum o p o r t e b a t, καλῶς εἶχε, et quae similem habent notionem; inter haec κρείσσων ἦν Sophocles Oed. T. 1355. Herm.

κρείσσων γὰρ ἦσθα μηκέτ' ὢν, ἢ ζῶν τυφλός,

ubi Brunckius volebat ἦσθ' ἄν. Nostro loco ad constructionem et sententiam simillimus est in Demosth. κατὰ Νεαίρ. p. 1383. πολὺ μᾶλλον λυσιτελεῖ, μὴ γενέσθαι τὸν ἀγῶνα τουτονὶ, ἢ γενόμενον ἀποψηφίσασθαι ὑμᾶς.

μένος. πρὶν μὲν γὰρ εἰς κρίσιν Τίμαρχον καταστῆναι, φόβον τισὶ παρεῖχεν ὁ νόμος, καὶ τὸ τῶν δικαστηρίων ὄνομα· εἰ δ' ὁ πρωτεύων βδελυρίᾳ καὶ γνωριμώτατος εἰςελθὼν περιγενήσεται, πολλοὺς ἁμαρτάνειν ἐπαρεῖ, καὶ τελευτῶν οὐχ ὁ λόγος, ἀλλ' ὁ καιρὸς ὑμᾶς ἐξοργιεῖ. μὴ οὖν εἰς ἀθρόους, ἀλλ' εἰς ἕνα ἀποσκήψατε, καὶ τὴν παρασκευὴν καὶ τοὺς συνηγόρους αὐτῶν παρατηρεῖτε. ὧν οὐδενὸς ἐγὼ ὀνομαστὶ μνησθήσομαι, ἵνα μὴ ταύτην ἀρχὴν τοῦ λόγου ποιήσωνται, ὡς οὐκ ἂν παρῆλθον, εἰ μή τις αὐτῶν ὀνομαστὶ ἐμνήσθη. ἀλλ' ἐκεῖνο ποιήσω, ἀφελὼν τὰ ὀνόματα, διεξιὼν δὲ τὰ ἐπιτηδεύματα αὐτῶν, καὶ τὰ σώματα γνώριμα καταστήσω. ἔσται δ' αὐτὸς ἑαυτῷ ἕκαστος αἴτιος, ἐὰν δεῦρο ἀναβῇ καὶ ἀναισχυντῇ. 79. τούτῳ γὰρ πάρεισιν ἐκ τριῶν εἰδῶν συνήγοροι· οἱ μὲν, ταῖς καθ' ἡμέραν δαπάναις ἀνηλωκότες τὰς πατρῴας οὐσίας. οἱ δὲ, ταῖς ἡλικίαις καὶ τοῖς ἑαυτῶν σώμασιν οὐ καλῶς κεχρημένοι, καὶ δεδιότες οὐ περὶ Τιμάρχου, ἀλλὰ περὶ ἑαυτῶν, καὶ τῶν ἐπιτηδευμάτων, μή ποτε εἰς κρίσιν καταστῶσιν·

ἐπαρεῖ] Vide supra c. 56.

ὁ καιρὸς] Hic significatione mala. Καιρὸς ut vocabulum medium est discrimen temporis, quo summa res agitur, aut servandi aut perdendi omnia.

τοὺς συνηγόρους αὐτῶν] Recte Reiskius Wolfium proponentem αὐτοῦ rejicit, explicans: Timarchi ejusque similium, qui sese iisdem atque ille flagitiis contaminabant, et patronos quoque suos, pariter atque ille, habebant.

ἵνα μὴ ταύτην ἀρχὴν τοῦ λόγου ποιήσωνται] ταύτην est accusativus objecti, ἀρχὴν praedicati, non immediate utrumque jungendum. Alias dicendum fuisset ταύτην τὴν ἀρχήν. Nam si demonstrativum in unum cum substantivo jungatur, exceptis quibusdam locutionibus, quas usus sanxit, inserendus est articulus. Uberius de hac re exposuit Reisigius Conjectaneis in Aristoph. p. 177 sqq. Nondum tamen res est ad finem perducta.

ἕτεροι δ᾽, ἐκ τῶν ἀκολάστων, καὶ τῶν τοῖς τοιούτοις κεχρημένων ἀφθόνως, ἵνα ταῖς βοηθείαις αὐτῶν πιστεύοντες ῥᾷόν τινες ἐξαμαρτάνωσιν. ὧν πρὶν τῆς συνηγορίας ἀκοῦσαι, τοὺς βίους ἀναμιμνήσκεσθε. καὶ τοὺς μὲν εἰς τὰ σώματα ἡμαρτηκότας μὴ ὑμῖν ἐνοχλεῖν, ἀλλὰ παύσασθαι δημηγοροῦντας, κελεύετε· οὐδὲ γὰρ ὁ νόμος τοὺς ἰδιωτεύοντας, ἀλλὰ τοὺς πολιτευομένους ἐξετάζει· τοὺς δὲ τὰ πατρῷα κατεδηδοκότας ἐργάζεσθαι καὶ ἑτέρωθεν κτᾶσθαι τὸν βίον κελεύετε. τοὺς δὲ τῶν νέων, ὅσοι ῥᾳδίως ἁλίσκονται, θηρευτὰς ὄντας, εἰς τοὺς ξένους καὶ τοὺς μετοίκους τρέπεσθαι κελεύετε, ἵνα μήτ᾽ ἐκεῖνοι τῆς προαιρέσεως ἀποστερῶνται, μήθ᾽ ὑμεῖς βλάπτησθε. τὰ μὲν οὖν παρ᾽ ἐμοῦ δίκαια πάντα ἀπειλήφατε· ἐδίδαξα τοὺς νόμους, ἐξήτασα τὸν βίον τοῦ κρινομένου. νῦν μὲν οὖν ὑμεῖς ἐστὲ τῶν ἐμῶν λόγων κριταὶ, αὐτίκα δ᾽ ὑμέτερος ἐγὼ θεατής· ἐν γὰρ ταῖς ὑμετέραις γνώμαις ἡ πρᾶξις καταλείπεται.

---

79. ἕτεροι δ᾽ ἐκ τῶν ἀκολάστων καὶ τῶν τοῖς τοιούτοις κεχρημένων ἀφθόνως] Reiskius suspicatur deesse πεπλουτηκότες post ἀφθόνως, eosque intelligi, qui locupletes facti sint e flagitiosis seu impudicis et ex iis qui istis consuescunt, cujusmodi sint lenones, scorta, coqui, histriones, hospites popinarii, equorum et canum venaticorum mangones. Sed minime hos intelligit orator, verum homines nequissimos, qui eo usque flagitii processerunt, ut de eorum salute plane desperandum sit; altera classis est hominum corruptorum, haec deperditorum qui τοῖς τοιούτοις, impudicitia scilicet et flagitiositate, obruti prorsus sunt.

εἰς τοὺς ξένους καὶ τοὺς μετοίκους] Haec oratoris facilitas legibus, quas ipse supra laudavit, prorsus est contraria, sed consentanea levitati Atheniensium.

εἰ οὖν βουλήσεσθε, τὰ δίκαια καὶ τὰ συμφέροντα ὑμῶν ποιησάντων, φιλοτιμότερον ἡμεῖς ἕξομεν τοὺς παρανομοῦντας ἐξετάζειν] Haec verba vulgo in fine adduntur, in editione Reiskii uncis inclusa. Jam Scholiastes animadvertit: ταῦτα λείπειν ἔν τινι τῶν ἀντιγράφων, et desunt certe in Helmst. et ipsa se arguunt esse supposita.

ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΕΡΙ ΤΗΣ ΠΑΡΑΠΡΕΣΒΕΙΑΣ ΛΟΓΟΥ ΤΟΥ ΑΙΣΧΙΝΟΥ.

Ἀθηναῖοι Φιλίππῳ πολεμήσαντες, ὕστερον ἐπείσθησαν ὑπὸ Ἀριστοδήμου καὶ Νεοπτολέμου καὶ Κτησιφῶντος, εἰρήνην πρὸς αὐτὸν ποιήσασθαι. καὶ ἔπεμψαν δύο πρεσβείας· τὴν μὲν προτέραν περὶ τῆς εἰρήνης, τὴν δευτέραν δὲ, ἀποληψομένην τοὺς ὅρκους. ἐν αἷς ἀμφοτέραις ἦσαν πρεσβευταὶ Δημοσθένης καὶ Αἰσχίνης. ὡς οὖν ἐπανῆκον ἐκ τῆς ὑστέρας πρεσβείας τῆς ἐπὶ τοὺς ὅρκους, ἐγράψαντο παραπρεσβείας Αἰσχίνην Δημοσθένης τε καὶ Τίμαρχος. τὸν μὲν οὖν Τίμαρχον πρὸ τοῦ τῆς παραπρεσβείας ἀγῶνος, γραψάμενος Αἰσχίνης ἑταιρήσεως, ἠτίμωσε· πρὸς δὲ Δημοσθένην ἀπολογεῖται. ἔνιοι μὲν οὖν φασὶ γεγραφέναι μὲν τοὺς λόγους ἀμφοτέρους, οὐ μέντοι γε εἰρῆσθαι· οἱ δὲ καὶ εἰρῆσθαί φασι, καὶ κεκινδυνευκέναι τὸν Αἰσχίνην τριάκοντα ψήφοις ἁλῶναι, ὅμως μέντοι ἀποφυγεῖν, Εὐβούλου αὐτῷ τοῦ δημαγωγοῦ συναγωνισαμένου, οὐ μέντοι παρὰ πᾶσιν ἀπογνωσθῆναι αὐτοῦ τὸ φιλιππίζειν, ὡς αὐτὸς ἐν τῷ προοιμίῳ παραδηλοῖ, καὶ Δημοσθένης ἐν τῷ περὶ τοῦ Στεφάνου. Ἐν μὲν οὖν τῷ πρώτῳ προοιμίῳ κατ' ἀρχὴν εἰς εὔνοιαν παρακαλεῖ τοὺς δικαστὰς, τὸν ἀντίδικον καὶ τὴν κατηγορίαν διαβάλλων, καὶ τοῦ κινδύνου τὸ μέγεθος, καὶ ὡς ψευδῆ συκοφαντοῦντα. ἐν δὲ τῷ δευτέρῳ νοήματι, πρᾶγμα εἰρημένον ἐν τῇ κατηγορίᾳ διαβάλλει, καὶ πιστοῦται ἀξιοπίστως, ὡς καὶ αὐτῶν εἰδότων, ὅτι ψεῦδός ἐστι. καὶ τοῦτο δὲ εἰς διαβολὴν τοῦ ἀντιδίκου. καὶ τὰ ἑξῆς ὁμοίως εἰς εὔνοιαν ἑαυτοῦ καὶ διαβολὴν τοῦ ἀντιδίκου.

ΑΙΣΧΙΝΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ

Ο ΠΕΡΙ ΤΗΣ

ΠΑΡΑΠΡΕΣΒΕΙΑΣ

ΛΟΓΟΣ.

---

1. Δέομαι ὑμῶν, ὦ Ἀθηναῖοι, ἐθελῆσαι μετ' εὐνοίας ἀκοῦσαί μου λέγοντος, ὑπολογιζομένους τό, τε μέγεθος τοῦ κινδύνου, καὶ τὸ πλῆθος τῶν αἰτιῶν, πρὸς ἃς ἀπολογήσασθαί με δεῖ, καὶ τὰς τέχνας καὶ τὰς κατασκευὰς τοῦ κατηγόρου, καὶ τὴν ὠμότητα· ὃς ἐτόλμησε παρακελεύσασθαι πρὸς ἄνδρας, ὀμωμοκότας τῶν ἀντιδίκων ὁμοίως ἀμφοτέρων ἀκούσεσθαι, τὴν τοῦ κινδυνεύοντος φωνὴν μὴ ὑπομένειν. καὶ ταῦτ' εἶπεν, οὐ δι' ὀργήν (οὐδεὶς γὰρ τῶν

---

1. *Δέομαι ὑμῶν — ἐθελῆσαι μετ' εὐνοίας ἀκοῦσαι*] Supplex rogatio, cujus humilitas eo minuitur, quod *ἐθελῆσαι ἀκοῦσαι* periphrasis sit idem fere significans quod *μετ' εὐνοίας ἀκοῦσαι*, ergo *ἐθελῆσαι* vim notionis *εὐνοίας* nonnisi augeat. Non tamen celandum, *ἐθελῆσαι* a cod. Helmst. abesse: quo deleto oratio fit libero oratore dignior.

τὰς τέχνας καὶ τὰς κατασκευὰς] Ἓν διὰ δυοῖν, i. q. *τὰς τεχνικὰς κατασκευάς*, fraudulentas machinationes. De hac significatione vocabuli *τέχνη* vide Tim. 68.

παρακελεύσασθαι πρὸς ἄνδρας] Rarum est *παρακελεύεσθαι* cum praepositione *πρὸς* et acc. personae, quam adhortamur, constructum. Simplex Dativus personae est usitatissimus.

ὁμοίως] Scilicet *μήτε πρὸς χάριν, μήτε πρὸς ἔχθραν (βλέποντες)*

τὴν τοῦ κινδυνεύοντος φωνὴν μὴ ἀκούειν] Hoc disertis verbis non legitur in Demosthenis accusatione.

οὐ δι' ὀργήν] Oppositio est in verbis *ἀλλὰ τὴν ὑμετέραν ὀργὴν ἐκκαλέσασθαι βεβούληται*. Ergo, quae interjecta sunt, parenthesi inclusi, ut sententiarum ordo planius conspiciatur.

ψευδομένων τοῖς ἀδίκως διαβαλλομένοις ὀργίζεται, οὐδ' οἱ τἀληθῆ λέγοντες, κωλύουσι λόγου τυχεῖν τὸν φεύγοντα. οὐ γαρ πρότερον κατηγορία ἰσχύει παρὰ τοῖς ἀκούουσι, πρὶν ἂν ὁ φεύγων ἀπολογίας τυχὼν, ἀδυνατήσῃ τὰς προειρημένας αἰτίας ἀπολύσασθαι· ἀλλ', οἶμαι, Δημοσθένης (οὐ χαίρει δικαίοις λόγοις, οὐδ' οὕτω παρεσκεύασται) ἀλλὰ τὴν ὑμετέραν ὀργὴν ἐκκαλέσασθαι βεβούληται, καὶ κατηγόρηκε δωροδοκίας, ἀπίθανος ὢν πρὸς τὴν ὑποψίαν ταύτην. τὸν γὰρ ἐπὶ ταῖς δωροδοκίαις τοὺς δικαστὰς προτρεπόμενον ὀργίζεσθαι, αὐτὸν χρὴ τῶν τοιούτων ἔργων πολὺ ἀφεστάναι. 2. Ἐμοὶ δ', ὦ ἄνδρες Ἀθηναῖοι,

---

πρὶν ἂν — ἀδυνατήσῃ] Recte sic dedit Reiskius e codd. Regg. 2. 3. Mead. Harl. Helmst. Vulgo *ἀδυνατήσει*. Marklandus, non intercedente Tayloro, vulgatam ita defendit, *ἂν* saepius cum futuro construi. Quod quamquam nos ipsi suo loco satis vindicabimus, statuimus tamen cum Astio ad Plat. de Legg. VII, 10. *πρὶν ἂν* cum futuro indicativi apud antiquos Graecos non construi. Rationem hujus rei video in iis, quae Hermannus disputavit ad Eurip. Med. v. 275.

τὰς προειρημένας αἰτίας ἀπολύσασθαι] Nil tentandum. *Αἱ προειρημέναι αἰτίαι* sunt criminationes, quas accusator primus, antequam reus se defendere poterat, detulerat judicio. Pro *ἀπολύσασθαι* Reg. 3. et Harl. habent *ἀπολύειν*. Sed *ἀπολύεσθαι* in medio cum accusativo rei, *αἰτίαν, διαβολὴν* cet. est s e l i b e r a r e, d e f e n d e r e a c r i m i n e, ut praeter alios docuit Astius ad Plat. de Legg. I, 9. Tim. 49 *οἶμαι δ' ἂν — — ῥᾳδίως ἂν ἀπολύσασθαι τοὺς τοῦ κατηγόρου λόγους.*

βεβούληται] Harl. *βούλεται*. Rarius quidem perfectum hujus verbi, sed hic perquam aptum. Nam significat, adversarium cuncta fecisse, nulli rei pepercisse, ut finem suum assequeretur.

προτρεπόμενον] Harl. habet *προτρέποντα*. Sed apud Aeschinem forma media hujus verbi tropica significatione i n c i t a n d i adhibetur. Tim. 55. *εἰς γέλωτα καὶ λῆρόν τινα προτρεπόμενος ὑμᾶς.* 77. *τὰ τῶν νέων ζηλώματα εἰς ἀρετὴν προτρέψασθε.* C t e s. 43. *ἀλλ' ὅμως οὐδεὶς πώποτε αὐτοὺς ἠδυνήθη προτρέψασθαι εἰς τὴν ὑμετέραν φιλίαν.* Tamen T i m. 56. fin. *τοὺς ἐλευθέρους προτρέπειν ἐπὶ τὰ γυμνάσια.*

συμβέβηκε τῆς Δημοσθένους ἀκούοντι κατηγορίας, μήτε δεῖσαι πώποθ' οὕτως, ὡς ἐν τῇδε τῇ ἡμέρᾳ, μήτ' ἀγανακτῆσαι μᾶλλον ἢ νῦν, μήτ' εἰς ὑπερβολὴν ὁμοίως ἡσθῆναι. ἐφοβήθην μὲν γάρ, καὶ ἔτι καὶ νῦν τεθορύβημαι, μή τινες ὑμῶν ἀγνοήσωσί με, ψυχαγωγηθέντες τοῖς ἐπιβεβουλευμένοις καὶ κακοήθεσι τούτοις ἀντιθέτοις. ἐξέστην δ' ἐμαυτοῦ, καὶ τὴν αἰτίαν βαρέως ἤνεγκα, ὅθ' ὕβριν καὶ παροινίαν εἰς γυναῖκα ἐλευθέραν καὶ τὸ γένος Ὀλυνθίαν κατηγόρει μου. ἥσθην δέ, ὅτ' αὐτὸν ἐπὶ τῆς αἰτίας ὄντα ταύτης ἐξεβάλετε, καὶ τῶν σεσωφρονημένων ἐν τῷ βίῳ

---

2. ἔτι καὶ νῦν τεθορύβημαι] Θορυβεῖν est vocabulum medium τῶν μὲν ψεγόντων τῶν δὲ ἐπαινούντων ὑπερβαλλόντως τὰ λεγόμενα ἢ πραττόμενα. Passivum θορυβεῖσθαι vel fremitu interpellari, vel metu percelli. Aelian. Varr. Historr. I, 32. θορυβηθῆναι δέει τοῦ νόμου καὶ αἰδοῖ τοῦ βασιλέως. φοβηθῆναι et θορυβηθῆναι sunt confusa apud Thucyd. V, 9. ubi vide intpp.

ψυχαγωγηθέντες] Ψυχαγωγεῖν proprie dicuntur, qui precibus, in cantamentis et fallacium illiciorum susurris daemonas in aliorum perniciem ab inferis evocant. Ruhnkenius ad Tim. p. 114. Tum est in genere incantare, abripere, decipere. Cod. Mead. glossam habet adscriptam ἀπατηθέντες. Sed euphemismus in altero.

ἀντιθέτοις] Wolfius recte videtur hoc ad eum Demosthenis locum referre, ubi is Legati officia et Aeschinis acta contraria confert, eaque ἀντίθετα appellat ἐπιβεβουλευμένα, insidiosa, quasi ex clandestino in eum, cui quis nocere vult, conjecta.

ἐξέστην δ' ἐμαυτοῦ] Hesychius explicat ἐξέστην per ἐξεπλάγην. Hic est indignatione abreptus sum.

ὅτ' αὐτὸν - ἐξεβάλετε] Infra c. 44. ἔπλασε ψεῦδος κατ' ἐμοῦ, ἐφ' ᾧ μεταξὺ μὲν λέγων ὑφ' ὑμῶν ἐξεῤῥίφη. Hyperbolice hoc dictum et intelligendum, ut rem refert Ulpianus ad p. 402. l. 24. R. p. 243. Paris. Ἰστέον δὲ ὅτι ἐν τούτῳ τῷ χωρίῳ ἀνέστησαν οἱ δικασταὶ καὶ πᾶσαν λέγοντα, τοῦ Εὐβούλου συμπράττοντος τῷ Αἰσχίνῃ, μισοῦντος δὲ τὸν ῥήτορα, εἰπόντος αὐτοῖς· τοιούτων αἰσχρῶν ἀνέχεσθε λέγοντος Δημοσθένους; nisi hoc ipsum veritatem excedat. Quid sit ἐκβάλλειν ῥήτορα, vide ad Tim. 34.

τῶν σεσωφρονημένων ἐν τῷ βίῳ] Rarum est passivum verbi σωφρονεῖν. Τὰ σεσωφρονημένα quae honeste et pudice acta sunt.

μοι χάριν ἀπειληφέναι νομίζω. ὑμᾶς μὲν οὖν ἐπαινῶ καὶ διαφερόντως ἀγαπῶ, ὅτι τῷ βίῳ μᾶλλον τῷ τῶν κρινομένων πιστεύετε, ἢ ταῖς παρὰ τῶν ἐχθρῶν αἰτίαις· αὐτὸς δ᾽ οὐκ ἂν ἀποσταίην τῆς πρὸς ταῦτ᾽ ἀπολογίας. εἰ γάρ τις ἢ τῶν ἔξωθεν περιεστηκότων πέπεισται· σχεδὸν δ᾽ οἱ πλεῖστοι τῶν πολιτῶν πάρεισιν· ἢ τῶν δικαζόντων ὑμῶν, ὡς ἐγὼ τοιοῦτόν τι διαπέπραγμαι, μὴ μόνον εἰς ἐλεύθερον σῶμα, ἀλλὰ καὶ εἰς τὸ τυχὸν, ἀβίωτον εἶναι μοι τὸν λοιπὸν βίον νομίζω. κἂν μὴ, προϊούσης τῆς ἀπολογίας, ἐξελέγξω καὶ τὴν αἰτίαν οὖσαν ψευδῆ, καὶ τὸν τολμήσαντ᾽ εἰπεῖν, ἀνόσιον καὶ συκοφάντην, κἂν τἄλλα πάντα μηδὲν ἀδικῶν φαίνωμαι, θανάτου τιμῶμαι. 3. Παράδοξος δέ μοι κἀκεῖνος ὁ λόγος ἐφάνη, καὶ δεινῶς ἄδικος, ὅθ᾽ ὑμᾶς ἐπηρώτα, εἰ οἷόν τ᾽ ἐστὶν ἐν τῇ αὐτῇ πόλει Φιλοκράτους μὲν θάνατον καταψηφίσασθαι, ὅτι καταγνοὺς ἀδικεῖν ἑαυτοῦ τὴν κρίσιν οὐχ ὑπέμεινεν, ἐμοῦ δ᾽ ἀπογνῶναι. ἐγὼ δ᾽ ἐπ᾽ αὐτῷ τούτῳ δικαίως ἂν ὑπολαμβάνω μάλιστα σωθήσεσθαι. εἰ γὰρ ὁ καταγνοὺς

τοιοῦτόν τι] Sic dedi ex Helmst. Vulgo τοιοῦτό τι. Vide ad Tim. 73.

εἰς ἐλεύθερον σῶμα] Σῶμα significationes habet multas, et latissime accipitur. Hic feminam significat, quatenus quis ejus corpore abuti possit. Fortasse eo nomine usus est, ut eandem sententiam etiam de maribus significet.

ἐξελέγξω] Sic dedi e cod. Bern. pro vulgato ἐλέγξω. Illud et fortius et frequentius in Aeschine.

θανάτου τιμῶμαι] Τιμᾶσθαι actoris est, qui quando non lex poenam criminis constituit, ipse poenam rei proponit; reus autem jus habebat τοῦ ἀντιτιμᾶσθαι i. e. opponendi poenam poenae actoris. Hic autem se suum ipsius accusatorem fore profitetur, nisi caussam vincat, et dignum se capitis poena aestimaturum.

3. ἀπογνῶναι] Bekker Anecd. p. 425 ἀπογνῶναι οἷον μὴ καταψηφίζεσθαι. οὕτως Αἰσχίνης ἐν τῷ περὶ παραπρεσβείας. Idem Scholion habet cod. Mead. Nempe καταγνῶναι et ἀπογνῶναι sunt oppositae significationis.

δικαίως ἂν ὑπολαμβάνω - σωθήσεσθαι] Hic ἂν cum futuro infini-

3. ἑαυτοῦ, καὶ μὴ παρὼν, ἀδικεῖ, ὁ δὴ ἀπογνοὺς, καὶ τὸ σῶμα τοῖς νόμοις καὶ τοῖς πολίταις παραδοὺς, οὐκ ἀδικεῖ. Περὶ δὲ τῆς ἄλλης κατηγορίας δέομαι ὑμῶν, ὦ ἄνδρες, ἐάν τι παραλίπω, καὶ μὴ μνησθῶ, ἐπερωτᾷν με, καὶ δηλοῦν ὅπερ ἂν ποθῆτέ μου ἀκοῦσαι, μηδὲν προκατεγνωκότες ὡς ἀδικῶ, ἀλλ' ἴσῃ τῇ εὐνοίᾳ ἀκούοντες. ἀπορῶ δ',

---

tivi junctum: quod haud raro fieri, exempla virorum doctorum persuadent, quos permultos laudat Astius ad Plat. de Legg. VII, 10. Nec abhorret ab hoc usu Aeschines. Supra quidem Tim. 59. hoc ἂν ut mitigans ad μηδὲν trahendum esse dixi. Sed alia sunt. Infra c. 4. οὕτω γὰρ ἂν μάλιστα καὶ μεμνήσομαι. In his, quae semper est vis particulae, rei futurae, ut hoc utar, possibilitas indicatur.

Περὶ δὲ τῆς ἄλλης κατηγορίας] Non erat, cur Taylor, offendens in vocabulo ἄλλης, ejus loco restituere velit ὅλης. Ἄλλος saepe ita frequentari, ut vertendum sit omnino, in universum, docuit Astius ad Plat. de Legg. II, 9.

ὅπερ ἂν ποθῆτε] Sic dedi ex Helmst. Vulgo ὅ τι ἐάν. Stephanus ὅ τι ἄν: quod miratur Taylor, quum notum sit iis, qui Graece sciant, perinde scribi ὅ τι ἂν et ὅ τι ἐάν. Sed hodie vix quisquam eorum, qui Graece sciunt, hoc sibi notum esse affirmabit. Notum quidem est, seriores Graecos et scriptores Alexandrinos promiscue hoc usurpasse; sed de Atticis, quo quisque est peritior, eo minus concedit. Raro exemplum legitur, quo non optimi codd. restituant ἂν post relativa, si forte vulgares editiones offerant ἐάν. Vide Herm. ad Vig. p. 835. Equidem recepi, quod cod. optimus praebebat. Harl. habet ὅ ἄν. — Hunc locum Ciceronem imitatum pro Cluentio 2. monet Wyttenbach ad Plutarch. I. p. 329. not. Oxon. Quamquam a vobis, judices, antequam de ipsa caussa dicere incipio, haec postulo — quum ego de unaquaque re dicam et diluam, ne ipsi, quae contraria sunt, taciti cogitationi vestrae subjiciatis, sed ad extremum exspectetis, et me meum dicendi ordinem servare patiamini: quum perorâro, tum, si quid erit praeteritum, requiratis.

μηδὲν προκατεγνωκότες] *Μηδὲν* dedi ex Harl. pro vulgato μηθὲν. Vide ad Tim. 61. Ceterum restitui hic et in seqq. nominativos προκατεγνωκότες et ἀκούοντες, qui sunt in omnibus fere Mss. Referuntur ad subjectum ὑμεῖς quod subauditur ad ποθῆτε, ut participia saepe construuntur in enuntiationem interjectam. Reiskius ex uno Harl. accusativum dederat.

3.
ὁπόθεν χρὴ πρῶτον ἄρξασθαι; διὰ τὴν ἀνωμαλίαν τῆς κατηγορίας. σκέψασθε δὲ, ἂν ὑμῖν εἰκός τι πρᾶγμα πάσχειν δόξω. εἰμὶ μὲν γὰρ ὁ κινδυνεύων ἐγὼ νυνὶ περὶ τοῦ σώματος· τῆς δε κατηγορίας τὴν πλείστην πεποίηται Φιλοκράτους, καὶ Φρύνωνος, καὶ τῶν ἄλλων συμπρέσβεων, καὶ Φιλίππου, καὶ τῆς εἰρήνης, καὶ τῶν Εὐβούλου πολιτευμάτων. ἐν ἅπασι δὲ τούτοις ἐγὼ τέταγμαι. μόνος δ' ἐν τῷ λόγῳ φαίνεται κηδεμὼν τῆς πόλεως Δημοσθένης, οἱ δ' ἄλλοι προδόται. διατετέλεκε γὰρ εἰς ἡμᾶς ὑβρίζων, καὶ λοιδορίας ψευδεῖς οὐκ ἐμοὶ μόνον λοιδορούμενος, ἀλλὰ καὶ τοῖς ἄλλοις. ὃν δ' οὕτως ἀτιμάζει, πάλιν ἐκ μεταβο- 9
λῆς, ὅπου τύχῃ, ὥςπερ Ἀλκιβιάδην ἢ Θεμιστοκλέα κρίνων,

διὰ τὴν ἀνωμαλίαν τῆς κατηγορίας] Ἀνωμαλία est id orationis vitium, quo variae et diversae res inepte miscentur: unde difficile nascitur refutanti opus, singula discernere justa aestimatione.

σκέψασθε δὲ, ἂν ὑμῖν εἰκός τι πρᾶγμα πάσχειν δόξω.] Wolfius pro ἂν mavult εἰ, quamquam etiam hoc ipsi parum placet. Sed ἂν vel ἐὰν post verba considerandi interdum ponitur: utrum, num. Tim. 48. σκέψασθ' ἂν ἁπλοῦν ὑμῖν καὶ ἐλευθέριον λόγον δόξω εἰπεῖν. Demosth. περὶ παραπρ. p. 347. πειρᾶσθε διαμνημονεύειν, ἂν ἀληθῆ λέγω, ubi duo codd. habent εἰ. Leptin. p. 479. ἂν ἀληθὲς ᾖ, σκοπείτω. Aristocr. p. 661. σκοπεῖτε, ἂν ὀρθῶς ὑμῖν ἐξετάζειν δοκῶ. Boeot. p. 998. σκοπεῖτε ἄν τι δοκῶ λέγειν. Certa ejus qui loquitur, persuasio inesse videtur, se vera dicere.

περὶ τοῦ σώματος] Graeci σῶμα appellant, quod Latini caput dicunt. κινδυνεύειν περὶ τοῦ σώματος caussam capitis agere, cujus qui damnatur, is libertatem, aut civitatem aut ipsam vitam amittit.

τῆς δὲ κατηγορίας τὴν πλείστην] Graeci saepe, quum adjectivum et substantivum eodem casu ponenda essent, adjectivum in genere substantivi eo casu ponunt, quem regens nomen flagitat, substantivum autem addunt in genitivo, ut constructio sit partitiva. Vide Matthiae Gr. Gr. §. 353. 442.

ὅπου τύχῃ] Quando consilio ipsius conveniebat. Admodum hoc differt ab ὅπου ἔτυχεν, quod unam caussam, ubi ipsi conveniebat, spectat, ὅπου τύχῃ certas plures, quae jam locum habebant.

Θεμιστοκλέα] Sic dedi e cod Mead. Vulgo Θεμιστοκλῆ. Quam

οἳ πλεῖστον τῶν Ἑλλήνων δόξῃ διήνεγκαν, ἀνῃρηκέναι μὲν αἰτιᾶταί με τὰς ἐν Φωκεῦσι πόλεις, ἀπηλλοτριωκέναι δ' ἀφ' ὑμῶν τὸν ἐπὶ Θρᾴκης τόπον, ἐκβεβληκέναι δὲ [καὶ] τῆς ἀρχῆς Κερσοβλέπτην, ἄνδρα φίλον καὶ σύμμαχον
10. τῆς πόλεως· ἐνεχείρησε δ' ἀπεικάζειν με Διονυσίῳ, τῷ γενομένῳ τῆς Σικελίας τυράννῳ, καὶ μετὰ σπουδῆς καὶ κραυγῆς πολλῆς παρεκελεύσαθ' ὑμῖν τὸ θηρίον φυλάξασθαι, καὶ τὸ τῆς ἱερείας ἐνύπνιον τῆς ἐν Σικελίᾳ

---

contractionem non Atticam esse opinor. Facio enim cum Phrynicho, qui p. 156. scribit: Ἡρακλέα, Περικλέα, Θεμιστοκλέα ἐπεκτείνων τὴν ἐσχάτην λέγε, ἀλλὰ μὴ Ἡρακλῆν, Περικλῆν, Θεμιστοκλῆν. Thomas quidem M. p. 423 agnoscit Ἡρακλῆ, Θεμιστοκλῆ χωρὶς τοῦ ν. Sed certis eum destitutum puto exemplis. Noster nominum contractorum in ῆς accusativum ubique terminat έα. Et sic, opinor, Attici omnes. Condonemus ejusmodi elegantias Aeliano, similibusque qui ῆ et ῆν habent.

τὸν ἐπὶ Θρᾴκης τόπον] Audiamus Diodorum Sic. Biblioth. L. XVI, 71. Κατὰ δὲ τὴν Μακεδονίαν Φίλιππος. τὰς ἐπὶ Θρᾴκῃ (Wesselingius inter alia nostro loco nixus conjicit ἐπὶ Θρᾴκης) πόλεις Ἑλληνίδας εἰς εὔνοιαν προςκαλεσάμενος ἐστράτευσεν ἐπὶ Θρᾴκην. Χερσοβλέπτης γὰρ ὁ βασιλεὺς τῶν Θρᾳκῶν διετέλει τὰς ἐφ' Ἑλλησπόντῳ πόλεις ὁμορούσας τῇ Θρᾴκῃ καταστρεφόμενος καὶ τὴν χώραν καταφθείρων. Βουλόμενος οὖν ἐμφράξαι τῶν βαρβάρων τὴν ὁρμὴν ἐστράτευσεν ἐπ' αὐτοὺς σὺν πολλῇ δυνάμει. νικήσας δὲ πλείοσι μάχαις τοὺς Θρᾷκας, τοῖς μὲν καταπολεμηθεῖσι Βαρβάροις προςέταξε δεκάτας τελεῖν τοῖς Μακεδόσι· αὐτὸς δ' ἐν τοῖς ἐπικαίροις τόποις κτίσας ἀξιολόγους πόλεις ἔπαυσε τοῦ θράσους τοὺς Θρᾷκας. διόπερ αἱ τῶν Ἑλλήνων πόλεις, ἀπολυθεῖσαι τῶν φόβων, εἰς τὴν συμμαχίαν τοῦ Φιλίππου προθυμότατα κατετάχθησαν.

τὸ θηρίον φυλάξασθαι] Θηρίον oratores interdum tropice de homine nequam, qui perniciem aliorum perpetuo meditatur. Sic infra 6. παρακελεύσασθαί με φησιν αὐτῷ, ὅπως τὸ θηρίον κοινῇ φυλάξωμεν. Ctes. 58. fin. ἄξιον ἡγοῦμαι μεμνῆσθαι τοῦ θηρίου τούτου.

τῆς ἱερείας ἐνύπνιον] Haec non leguntur in Demosthenis oratione. Alii tamen, atque etiam scholiastes noster, somnium nobis servarunt. Hic περὶ τὴν γραφὴν, inquit, ἡμάρτηται. δεῖ γὰρ γεγράφθαι Ἱμεραίας. Τίμαιος γὰρ ἐν τῇ ἕκτῃ ἱστορεῖ, γυναῖκά τινα, Ἱμεραίαν τὸ γένος, ἰδεῖν ὄναρ ἀνιοῦσαν αὐτὴν εἰς τὸν οὐρανὸν πρός τινος ἄγεσθαι

διηγήσατο. οὕτω δ' ἄνω τὸ πρᾶγμα ἐξάρας, ἐφθόνησέ μου ταῖς διαβολαῖς, τὰς αἰτίας ἀνατιθεὶς τῶν πεπραγμένων οὐ τοῖς ἐμοῖς λόγοις, ἀλλὰ τοῖς ὅπλοις τοῖς Φιλίππου.
4. Πρὸς δὴ τοσαύτην τόλμαν καὶ τερατείαν ἀνθρώπου, // χαλεπὸν καὶ διαμνημονεῦσαι τὰ λεχθέντα καθ' ἕκαστα, καὶ λέγειν μετὰ κινδύνου πρὸς ἀπροσδοκήτους διαβολάς. ᾗ δ' ἡγοῦμαι σαφεστάτους μοι τοὺς λόγους ἔσεσθαι, καὶ γνωρίμους ὑμῖν καὶ δικαίους, ἐντεῦθεν ἄρξομαι, ἀπὸ τῶν

θεασομένην τὰς τῶν θεῶν οἰκήσεις. ἔνθα ἰδεῖν καὶ τὸν Δία καθεζόμενον ἐπὶ θρόνου, ὑφ' οὗ ἐδέδετο πυῤῥός τις ἄνθρωπος καὶ μέγας ἁλύσει καὶ κλοιῷ. ἐρέσθαι οὖν τὸν περιάγοντα, ὅστις ἐστίν. αὐτὸν δὲ εἰπεῖν· ἀλάστωρ ἐστὶ τῆς Σικελίας καὶ Ἰταλίας, καὶ εἴπερ ἀφεθῇ, τὰς χώρας διαφθερεῖ. περιαναστᾶσαν δὲ χρόνοις ὑστέροις ὑπαντῆσαι τῷ Διονυσίῳ τῷ τυράννῳ μετὰ τῶν δορυφόρων, καὶ ἐδοῦσαν ἀνακραγῆναι, ὡς οὗτος εἴη ὁ τότε δειχθείς. καὶ ἅμα ταῦτα λέγουσαν πεσεῖν εἰς τοὔδαφος ἐκλυθεῖσαν.

ἐφθόνησέ μου ταῖς διαβολαῖς] Calumniis, quas in me conjecerat, invidit. Nolebat iis fidem haberi, quia verebatur, ne magna mea potestas haberetur.

4. πρὸς δὴ τοσαύτην τόλμαν]. Δὴ scripsi ex Harl. pro vulgato δέ.

ἀνθρώπου] Markland mavult τἀνθρώπου. Jam is vocabulo ἄνθρωπος sine articulo de certo homine posito infensus erat. Nos in Demosth. p. 64. sq. usum hunc τοῦ ἄνθρωπος firmare studuimus. Inprimis id fit, si ἄνθρωπος cum contemtu ponitur. Ut nostri scriptoris usum illustremus, laudamus haec loca. Infra. 16. σκέψασθε δὴ πράγματος μεγάλου κλοπὴν καὶ δεινὴν ἀναισχυντίαν ἀνθρώπου: ubi Markland iterum τἀνθρώπου. 44. σκέψασθε γὰρ ἀφροσύνην ἅμα καὶ ἀπαιδευσίαν ἀνθρώπου Markland vult τἀνθρώπου. Ctes. 30. καὶ γὰρ τοῦτο ἄνθρωπος ἴδιον καὶ οὐ κοινὸν ποιεῖ. Markl. τοῦθ' ὁ ἄνθρωπος. 39. ἐπειδὴ ἐκ τοῦ φανεροῦ τὴν πόλιν ἄνθρωπος οὐκ ἠδύνατο σφῆλαι. 49. τοὺς μὲν πρώτους χρόνους ὑπότρομος ἦν ἄνθρωπος M. ὁ ἄνθρωπος. Alicubi Reiskius exclamat: „Dedecet in his minutis labi. Quoties hoc ingerit Marklandus, ignorans, Atticos ad vocabula ἄνθρωπος, ἀνὴρ et alia quaepiam talia solere articulum omittere, quem eorum morem debebat eum auctorum Atticorum usus docere; poterat certe."

ᾗ δ' ἡγοῦμαι] Ἡγοῦμαι recepi ex Helmst. et Reg. 3. pro οἴομαι, quod ego pro scholio illius habeo. Nam ἡγοῦμαι, existimo, significat, re pensitata aliquid censeo.

περὶ τῆς εἰρήνης λόγων, καὶ τῆς αἱρέσεως τῆς πρεσβείας. οὕτω γὰρ ἂν μάλιστα καὶ μεμνήσομαι, καὶ δυνήσομαι εἰπεῖν, καὶ ὑμεῖς μαθήσεσθε. Ἅπαντας γὰρ [ἂν] ὑμᾶς οἴομαι τοῦτό γε αὐτὸ μνημονεύειν, ὅθ᾽ οἱ πρέσβεις οἱ τῶν Εὐβοέων, ἐπειδὴ περὶ τῆς πρὸς αὐτοὺς εἰρήνης τῷ δήμῳ διελέχθησαν, εἶπον, ὅτι καὶ Φίλιππος αὐτοὺς κελεύσειεν ὑμῖν ἀπαγγεῖλαι, ὅτι βούλεται διαλύσασθαι πρὸς ὑμᾶς, καὶ τὴν εἰρήνην ἄγειν. οὐ πολλῷ δ᾽ ὕστερον χρόνῳ Φρύνων ὁ Ῥαμνούσιος ἑάλω ὑπὸ λῃστῶν, ἐν ταῖς σπονδαῖς ταῖς Ὀλυμπιακαῖς, ὡς αὐτὸς ᾐτιᾶτο. ἐπειδὴ δ᾽ ἐπα-

---

οὕτω γὰρ ἂν μάλιστα καὶ μεμνήσομαι] Vide ad cap. 2. Non tamen celandum, ἂν deesse in Harl.

καὶ ὑμεῖς μαθήσεσθε] Non mutandum cum Tayloro in μαθήσεσθαι, ut sit καὶ ὑμεῖς δυνήσεσθε μαθήσεσθαι. Si orator infinitivum posuisset, in priore membro addidisset ἐγώ. Sed affirmat, fore ut hoc fiat, non fieri solum posse. Non rara est haec membrorum variatio. 12. σῶσαί με, εἰ μηδὲν ἀδικῶ, δυνήσεσθε, ἱκανὰς εἰληφότες ἀφορμάς, καὶ θεάσεσθε ἐκ τῶν ὁμολογουμένων καὶ τὰ ἀντιλεγόμενα: ubi θεάσεσθε restitui ex antiquis editionibus et optimis, ni fallor, Mss., quum Reiskius e duobus libris dederat θεάσασθαι. Sed ut certum ponit, τὸ θεᾶσθαι; an servent ipsum, affirmare non potest, 36. ἀλλ᾽ ἔμοιγε νὴ τοὺς θεοὺς οὑτοσὶ δοκεῖ τοῦτο μόνον λογίζεσθαι. ὅπως μεταξὺ λέγων εὐδοκιμήσῃ. εἰ δὲ μικρὸν ἐπισχὼν δόξει πονηρότατος τῶν Ἑλλήνων εἶναι, οὐδὲ μικρὸν φροντίζει: ubi miror, neminem conjecisse φροντίζειν. 41. συμπέπλεγμαι δ᾽ ἐν τῇ πολιτείᾳ καθ᾽ ὑπερβολὴν ἀνθρώπῳ γόητι καὶ πονηρῷ, ὃς οὐδ᾽ ἂν ἄκων ἀληθὲς οὐδὲν εἴποι, ἡγεῖται δ᾽, ὅταν τι ψεύδηται, τῶν λόγων ὅρκος κατὰ τῶν ἀναισχύντων ὀφθαλμῶν.

καὶ τὴν εἰρήνην ἄγειν] Articulus in hac locutione εἰρήνην ἄγειν omittitur, nisi ad certam quandam pacem respiciatur. Fortasse tamen sic intelligendum, eam pacem, quam cum Athenien- sibus initurus sit. Additus articulus aqud Isocrat. Symmach. 38. οὗτοι δὲ μεταξὺ Πελοποννησίων καὶ Θηβαίων καὶ τῆς ἡμετέρας πόλεως οἰκοῦντες τὴν εἰρήνην ἄγοντες διατελοῦσιν.

Ῥαμνούσιος] Ῥαμνοῦς δῆμος Αἰαντίδος φυλῆς: in quo deme celebre erat Nemeseos fanum. Distabat Marathone stadiis LX.

ἑάλω] Harl. ἥλω. Cf. Tim. 34.

ἐν ταῖς σπονδαῖς Ὀλυμπιακαῖς] Ab tempore ludorum Olympiorum

νῆλθε δεῦρο λυτρωθεὶς, ἐδεῖτο ὑμῶν πρεσβευτὴν αὐτῷ πρὸς Φίλιππον ἑλέσθαι· ἵν᾽, εἴ πως δύναιτο, ἀπολάβοι τὰ λύτρα. πεισθέντες δ᾽ ὑμεῖς προςείλεσθ᾽ αὐτῷ Κτησιφῶντα πρεσβευτήν. ἐπειδὴ δὲ ἐπανῆκε δεῦρ᾽ ἀπὸ τῆς πρεσβείας ὁ Κτησιφῶν, ἀπήγγειλε πρὸς ὑμᾶς ὑπὲρ ὧν ἐπέμφθη, καὶ πρὸς τούτοις, ὅτι φαίη Φίλιππος, ἄκων μὲν πολεμῆσαι πρὸς ὑμᾶς, βούλεσθαι δὲ καὶ νῦν ἀπαλλαγῆναι τοῦ πολέμου. εἰπόντος δὲ ταῦτα τοῦ Κτησιφῶντος, (14) καὶ πολλήν τινα ἐξαγγείλαντος πρὸς τούτοις φιλανθρωπίαν, καὶ τοῦ δήμου σφόδρα ἀποδεξαμένου, καὶ τὸν Κτησιφῶντα ἐπαινέσαντος, ἀντιστάντος δ᾽ οὐδενὸς, ἐνταῦθα ἤδη δίδωσι ψήφισμα Φιλοκράτης ὁ Ἁγνούσιος, καὶ ὁ δῆμος ἅπας ὁμογνωμονῶν ἐχειροτόνησεν, ἐξεῖναι δεῦρο Φιλίππῳ κήρυκας καὶ πρέσβεις πέμπειν ὑπὲρ εἰρήνης. πρότερον μὲν γὰρ καὶ αὐτὸ τοῦτ᾽ ἐκωλύετο ὑπό τινων, οἷς

---

feriae indicebantur, i. e. induciae, eaeque cunctis Graeciae populis sancte agebantur. Cf. P. Fabri agonistica L. II. c. 26. Ὀλυμπιακαῖς dedit Reiskjus ex Harl. et Helmst. Thomas quidem M. ait Ὀλυμπικὸς Ἀττικοὶ οὐκ Ὀλυμπιακός. Sed ut multa, ita etiam hoc Thomae praeceptum falsum esse docet ibi Sallier. Si originem spectes, Ὀλυμπιακὸς praeferendum erit, quamquam alterum damnare non ausim.

πρεσβευτὴν αὐτῷ πρὸς Φίλιππον ἑλέσθαι] Revocavi plerorumque omnium Mss. lectionem. Reiskius ex solo Reg. 3. dederat αὐτόν. Sed qualis petitio, ut populus eum in ipsius caussa publice legatum creet! Non intellexerunt interpretes rem. Phrynon scilicet sua sponte et suis impensis erat iter in Macedoniam suscepturus. Sed, ut itineris scopum certius assequeretur, populum rogavit, ut legatum publica auctoritate instructum comitem sibi adjungeret, et populus Ctesiphontem ei ut publicum legatum adjunxit. Sic omnia plana, et vulgata totius loci lectio sana

Ἁγνούσιος] Ἁγνοῦς, δῆμος τῆς Ἀκαμαντίδος φυλῆς, ἧς ὁ φυλέτης (leg. δημότης) Ἁγνούσιος. Alii ad Demetriadem tribum referunt.

κήρυκας καὶ πρέσβεις] Cf. Tim. 9.

ἦν τοῦτ᾽ ἐπιμελὲς, ὡς αὐτὸ τὸ πρᾶγμα ἔδειξεν. 5. γράφονται δ᾽ οὗτοι παρανόμων τὸ ψήφισμα, Λυκῖνον ἐπὶ τὴν γραφὴν ἐπιγραψάμενοι, καὶ τίμημα ἑκατὸν τάλαντα. καὶ μετὰ ταῦτ᾽ εἰσῄει ἡ γραφὴ εἰς τὸ δικαστήριον. ἀῤῥώστως δ᾽ ἔχων ὁ Φιλοκράτης ἐκάλεσεν αὐτῷ συνήγορον τὸν Δημοσθένην, ἀλλ᾽ οὐκ ἐμέ. παρελθὼν δ᾽ ὁ μισοφίλιππος Δημοσθένης κατέτριψε τὴν ἡμέραν ὅλην ἀπολογούμενος, καὶ τὸ τελευταῖον ἀποφεύγει ὁ Φιλοκράτης. ὁ δὲ γραψάμενος τὸ πέμπτον μέρος τῶν ψήφων οὐ μεταλαμβάνει, καὶ ταῦθ᾽ ὑμεῖς ἅπαντες ἴστε. ὑπὸ δὲ τοὺς αὐτοὺς καιροὺς Ὄλυνθος ἥλω, καὶ πολλοὶ τῶν ἡμετέρων ἐγκατελήφθησαν πολιτῶν· ὧν ἦν Στρατοκλῆς, ὁ Ἐργοχάρους ἀδελφὸς, καὶ Εὐήρατος, ὁ Στρομβίχου υἱός. ὑπὲρ δὲ τούτων ἱκετηρίας θέντες ἐν τῷ δήμῳ οἱ οἰκεῖοι, ἐδέοντο ὑμῶν ἐπιμέλειαν ποιήσασθαι. παρελθόντες δ᾽ αὐτοῖς συνηγόρουν Φιλοκράτης καὶ Δημοσθένης, ἀλλ᾽ οὐκ Αἰσχίνης. καὶ πέμπουσι πρεσβευτὴν Ἀριστόδημον,

---

5. ἑκατὸν τάλαντα] Ἐπέθηκαν, quod his vocabulis praepositum et a Reiskio cod. Harl. auctoritate uncis inclusum erat, ego prorsus delevi. Non enim actores ἐπέθηκαν τίμημα sed ἐπεγράψαντο. ἐπιθεῖναι est judicis. „Sehr hohe Geldbufsen setzte man in den Klagen der Gesetzwidrigkeit (γραφὴ παρανόμων) fünf, zehn, fünfzehn Talente, wobey jedoch Ermäfsigungen Statt fanden, wie von fünfzehn Talenten auf eines. Ja Aeschines setzte dem Ktesiphon eine Strafe von fünfzig, Lykinos dem Philokrates von hundert Talenten: was indefs keineswegs als das gewöhnliche angesehen werden darf. Boeckh. Staatsh. T. I. p. 411.

ἐγκατελήφθησαν] Coisl. ἐγκατελείφθησαν. Sed alterum verum esse, per se patet, et nostro loco usus est Wesselingius ad firmandam veram lectionem in Diod. Sic. L. XV, 68, ubi eadem lectionis varietas obtinet.

Στρομβίχου] Sic dedit Reiske ex codd. Mead. et Helmst. Vulgo Στρομμίχου. Στρόμβιχος est deminutivum a στρόμβος: quae ambo vocabula plerumque corrupta fuisse monet Bastius Epist. Crit. p. 57.

ἱκετηρίας] Vide ad Tim. 42.

τὸν ὑποκριτὴν, πρὸς Φίλιππον, διὰ τὴν γνῶσιν καὶ φιλίαν τῆς τέχνης· ὡς δ' ἐπανήκων ἀπὸ τῆς πρεσβείας ὁ Ἀριστόδημος, διά τινας ἀσχολίας οὐ προςῄει πρὸς τὴν βουλὴν, ἀλλ' ἔφθασεν αὐτὸν Στρατοκλῆς, ἐλθὼν ἐκ Μακεδονίας, ἀφεθεὶς ὑπὸ Φιλίππου ἄνευ λύτρων, γενόμενος αἰχμάλωτος, ἐνταῦθ' ἠγανάκτουν πολλοὶ, ὅτι τὴν πρεσβείαν οὐκ ἀπήγγειλεν ὁ Ἀριστόδημος, τοὺς αὐτοὺς λόγους ἀκούοντες τοῦ Στρατοκλέους παρὰ τοῦ Φιλίππου. τελευταῖον δ' εἰς τὴν βουλὴν εἰςελθὼν Δημοκράτης ὁ Ἀφιδναῖος, ἔπεισε τὴν βουλὴν ἀνακαλέσασθαι τὸν Ἀριστόδημον. εἷς δὲ τῶν βουλευτῶν ἦν Δημοσθένης, ὁ ἐμὸς κατήγορος. παρελθὼν δ' Ἀριστόδημος, πολλήν τινα εὔνοιαν ἀπήγγειλε τοῦ Φιλίππου πρὸς τὴν πόλιν, καὶ προςέθηκεν, ὅτι καὶ σύμμαχος βούλοιτο τῇ πόλει γενέσθαι. καὶ ταῦτ' οὐκ ἐν τῇ βουλῇ μόνον εἶπεν, ἀλλὰ καὶ ἐν τῷ δήμῳ. κἀνταῦθ' οὐδὲν ἀντεῖπε Δημοσθένης, ἀλλὰ καὶ στεφανῶσαι τὸν Ἀριστόδημον ἔγραψε. 6. ῥηθέντων δὲ τούτων ἐν τῷ δήμῳ, ψήφισμα ἔγραψεν ὁ Φιλοκράτης, ἑλέσθαι πρέσβεις ὑμᾶς πρὸς Φίλιππον ἄνδρας δέκα, οἵτινες διαλέξονται Φιλίππῳ περὶ εἰρήνης, καὶ τῶν κοινῇ ξυμφερόντων Ἀθηναίοις καὶ Φιλίππῳ. χειροτονουμένων δὲ τῶν δέκα πρέσβεων, ἐγὼ μὲν προεβλήθην ὑπὸ Ναυσικλέους, Δημοσθένης δ' ὑπ'

διὰ τὴν γνῶσιν καὶ τὴν φιλίαν τῆς τέχνης] Φιλίαν dedi ex Askew. Mead. Helmst. pro φιλανθρωπίαν. Φιλία τινὸς significat interdum amorem rei. Sic apud Xenoph. Symp. VIII, 15. τῆς ψυχῆς φιλία.

τοὺς αὐτοὺς λόγους] Eadem, quae Phryno dixerat, Ctesipho et Eretriensis.

παρὰ τοῦ Φιλίππου] Brachylogice quae a Philippo dicta erant. Vide Sturzii Lex. Xen. s. v. Tim. 47. ὁ παρ' ἐμοῦ λόγος.

ἀνακαλέσασθαι] Evocare, arcessere. Interdum de eo, qui vocatur, quod ipse non venit, quum ex officio veniendum erat, vel quod aliquid peccavit, et suae actionis rationem reddere cogitur.

6. προεβλήθην ὑπὸ Ναυσικλέους] Homo privatus, opinor, Nau-

αὐτοῦ Φιλοκράτους, ὁ νυνὶ Φιλοκράτους κατηγορῶν. οὕτω δ' ἦν πρόθυμος εἰς τὰ πράγματα, ὥστε ἐν τῇ βουλῇ γράφει, ἵνα ἀζήμιος ὢν ἡμῖν συμπρεσβεύῃ ὁ Ἀριστόδημος, ἑλέσθαι πρέσβεις ἐπὶ τὰς πόλεις, ἐν αἷς ἔδει τὸν Ἀριστόδημον ἀγωνίζεσθαι, οἵτινες ὑπὲρ αὐτοῦ παραιτήσονται τὰς ζημίας· καὶ ὅτι ταῦτ' ἐστὶν ἀληθῆ, λάβε μοι τὰ ψηφίσματα, καὶ τὴν ἐκμαρτυρίαν ἀνάγνωθι τὴν Ἀριστοδήμου, καὶ κάλει πρὸς οὓς ἐξεμαρτύρησεν, ἵν' εἰδῶσιν οἱ δικασταί, τίς ἦν ὁ τοῦ Φιλοκράτους ἑταῖρος, καὶ τίς ὁ τὰς δωρεὰς Ἀριστο-
(20) δήμῳ φάσκων πείσειν δοῦναι τὸν δῆμον. Ψηφίσματα. Ἐκμαρτυρία. Ἡ μὲν τοίνυν ἐξ ἀρχῆς ἔνστασις τῶν ὅλων πραγμάτων ἐγίγνετο, οὐ δι' ἐμοῦ, ἀλλὰ διὰ Δημοσθένους καὶ Φιλοκράτους. ἐν δὲ τῇ πρεσβείᾳ συσσιτεῖν ἡμῖν ἐσπούδασεν, οὐκ ἐμὲ πείσας, ἀλλὰ τοὺς μετ' ἐμοῦ, Ἀγλαοκρέοντα τὸν Τενέδιον, ὃν ἐκ τῶν συμμάχων εἵλεσθε, καὶ Ἰατροκλέα. ἐν δὲ τῇ πορείᾳ παρακελεύσασθαί με φησὶν αὐτῷ, ὅπως τὸ θηρίον κοινῇ φυλάξομεν, τὸν Φιλοκράτην, πρᾶγμα

---

sicles, eligendum designat. In iis nempe muneribus, quae peti et ambiri a candidatis non poterant, quo ex genere sunt legationes, a quocunque cive hic vel ille populo commendari poterat. In ordinariis vero magistratibus eorum nomina, qui professi erant, ab Archontibus aut Prytanibus ad populum ferebantur, isque rogabatur, quem ex iis magistratum fieri juberet. Schömann de com. Athen. p. 328. Exempla hujus vocabuli significationis habet Astius ad Plat. de Legg. VII, 4.

ἀζήμιος] Aristodemus promiserat compluribus civitatibus, certis quibusdam diebus festis in scenam prodire, et convenerat de multa, si officium negligeret. Hinc commendabat Demosthenes, legatos mittere in eas civitates, qui id agerent, ut veniam pro Aristodemo impetrarent, ut qui publica auctoritate in Macedoniam missus esset.

ἐκμαρτυρίαν] Vide ad Tim. 44. ubi Harpocrationem laudavi, significationem exponentem, quae nostro loco obtinet.

ἔνστασις τῶν ὅλων πραγμάτων] Vide ad Tim. 54.

ὅπως τὸ θηρίον φυλάξομεν] Hoc revocavi, quum nonnulli ex paucis libris dederint φυλάξωμεν. Φυλάττειν fortasse est diligenter aliquem observare, ne quid in nostram perniciem perpetret, ut

λέγων πεπλασμένον. πῶς γὰρ ἂν ἐγὼ Δημοσθένην ἐπὶ Φιλοκράτην παρεκάλουν, ὃν ᾔδειν συνειπόντα μὲν Φιλοκράτει, ὅτ' ἦν ἡ τῶν παρανόμων γραφὴ, προβληθέντα δὲ εἰς τὴν πρεσβείαν ὑπὸ Φιλοκράτους; πρὸς δὲ τούτοις, οὐκ ἐν τοιούτοις ἦμεν λόγοις οἱ συμπρέσβεις, ἀλλ' ὅλην τὴν πορείαν ἠναγκαζόμεθα ὑπομένειν Δημοσθένην, ἀφόρητον ὄντα καὶ βαρὺν ἄνθρωπον. ὃς διασκοπούντων ἡμῶν, ὅ τι (21) *χρὴ λέγειν [ἡμᾶς, τῶν συμπρέσβεων,] καὶ Κίμωνος εἰπόντος, ὅτι φοβοῖτο, μὴ δικαιολογούμενος περιγένοιτο ἡμῶν ὁ Φίλιππος, πηγὰς δὴ λόγων ἀφθόνους ἔχειν ἐπηγγέλλετο, καὶ περὶ τῶν δικαίων τῶν ὑπὲρ Ἀμφιπόλεως καὶ τῆς ἀρχῆς τοῦ πολέμου τοιαῦτα ἐρεῖν ἔφη, ὥστε ἀποῤῥάψειν τὸ Φιλίππου στόμα ὁλοσχοίνῳ ἀβρόχῳ, καὶ πείσειν Ἀθηναίους μὲν καταδέξασθαι Λεωσθένην, Φίλιππον δ' Ἀθη-*

---

furem observamus, ne quid nobis surripiat. Demosth. p. 317. s. *φυλάττειν ἐμὲ καὶ τηρεῖν ἐκέλευεν, ὅπως μὴ παρακρούσομαι μηδ' ἐξαπατήσω, δεινὸν καὶ γόητα, καὶ σοφιστὴν καὶ τὰ τοιαῦτ' ὀνομάζων* p. 691. s. *ἃ νομίζω μνημονεύοντας ἂν ὑμᾶς ἄμεινον φυλάττειν, ἃν παράγειν καὶ φενακίζειν οὗτοι ζητῶσιν ὑμᾶς.* Alii fortasse *φυλάττειν* pro *φυλάττεσθαι* positum judicabunt, quod fieri posse defendere tentabat Heindorf ad Plat. Gorg. 38.

πηγὰς δὴ λόγων] Edd. antiquae post *πηγὰς* inserunt *δὲ*, quod Reiskius de suo mutavit in *τε*, ego delevi auctoritate codd. Harl. et Helmst.

ὁλοσχοίνῳ ἀβρόχῳ] Harpocration *ὁλοσχοίνους, Αἰσχίνης ἐν τῷ περὶ τῆς παραπρεσβείας. Θεόφραστος δ' ἐν τετάρτῃ περὶ φυτῶν εἰπὼν τοῦ σχοίνου τρία εἴδη εἶναι, ὧν ὁ τρίτος τῷ μεγέθει καὶ εὐσαρκίᾳ διαφέρων ὁλόσχοινος καλεῖται.* Scholiastes noster: *τὸ ὁλόσχοινον φυτόν ἐστιν ᾧ χρῶνται ἀντὶ βελόνης* (statt eines Pfeiles). *ἀβρόχῳ δὲ εἶπεν οἱονεὶ ξηρῷ, ἵνα διὰ τῶν σιάλων τοῦ στόματος φυσηθὲν ὀδύνην δῆθεν ποιήσῃ τῷ στόματι ἐν τῷ ἐῤῥάφθαι. εἰώθασι γὰρ βρέχεσθαι ἐν τῷ ὕδατι, ἵνα μαλακὰ γενόμενα εὔθετα γένωνται εἰς τὴν τῶν ἄλλων ἔργων πλοκήν.*

Λεωσθένην] Sic dedi ex Bern. Mead. Helmst. pro *Λεωσθένη*. Cf. ad Tim. 63. *ὁ Λεωσθένης Ἀθηναῖος ἦν. οὗτος ἐφυγαδεύθη Ἀθήνηθεν ὡς φιλιππίζων, καὶ ἦν παρὰ Φιλίππῳ ἐς τὰ μάλιστα τιμώμενος, ἀνὴρ εἰπεῖν δυνατός.* 31. dicitur *φεύγων ἐνθένδε διὰ τοὺς συκοφάντας,*

ναίοις Ἀμφίπολιν ἀποδοῦναι. 7. ἵνα δὲ μὴ μακρολογῶ τὴν τούτου διεξιὼν ὑπερηφανίαν — ὡς τάχιστα ἥκομεν εἰς Μακεδονίαν, συνετάξαμεν ἡμᾶς αὐτούς, ὅταν προςίωμεν Φιλίππῳ, τοὺς πρεσβυτάτους πρώτους λέγειν, καὶ τοὺς λοιποὺς καθ' ἡλικίαν. ἐτύγχανε δ' ἡμῶν νεώτατος ὤν, ὡς ἔφη, Δημοσθένης. ἐπειδὴ δὲ εἰςεκλήθημεν — καὶ τούτοις ἤδη σφόδρα μοι προςέχετε τὸν νοῦν· ἐντεῦθεν γὰρ κατόψεσθε ἀνθρώπου φθόνον ὑπερβάλλοντα, καὶ δεινὴν δειλίαν ἅμα καὶ κακοήθειαν, καὶ τοιαύτας ἐπιβουλὰς κατ' ἀνδρῶν συσσίτων καὶ συμπρέσβεων, ἃς οὐδ' ἂν κατὰ τῶν ἐχθίστων τις εἰκῇ ποιήσαιτο. τοὺς γὰρ τῆς πόλεως ἅλας, καὶ τὴν δημοσίαν τράπεζαν περὶ πλείστου δή φησι ποιεῖσ-

---

7. συνετάξαμεν ἡμᾶς αὐτούς] Revocavi hanc omnium librorum lectionem, quum Reiskius e conjectura dederit πρὸς ἡμᾶς αὐτούς. Συντάσσειν est proprie eorum, qui milites in ordinem disponunt, aciem instruunt. Hinc in universum, plurium ordinem instituere. Ergo συνετάξαμεν ἡμᾶς αὐτούς est: sic nostram seriem loquentium instruximus. Infinitivus λέγειν est appositio, cui recentiores linguae particulam explicativam praeponunt.

ἐπειδὴ δὲ εἰςεκλήθημεν —] Est anapodoton. Quae interjiciuntur enuntiationes, in oblivionem ferunt protasin praemissam. Et hinc omnis oratio procedit ita, quasi nulla adfuerit. Simile anapodoton est c. 8. init., ubi Reiskius ad πρῶτον μὲν γὰρ πρὸς αὐτὸν διεξῆλθον τὴν πατρικὴν εὔνοιαν opinatur, γὰρ eleganter redundare, ut fere semper in orationis restauratione, eumque laudat God. Stallbaum ad Plat. Phileb. p. 36. Id quidem verissimum est, γὰρ saepe poni ad significandam orationis redintegrationem, nec tamen ita, ut opinatur Reiskius, ad indicandam apodosin. Tum ponitur, quum protasis aut membrum periodi abruptum per enuntiationes interjectas nunc alia quidem forma quodammodo repetatur et sic oratio redintegretur, ut in l. Plat. l. Sed in Aeschine vera sunt anapodota, optimo cuique scriptori haud aliena.

ἀνθρώπου] Markland τἀνθρώπου. Sed vide supra c. 4.

τοὺς - τῆς πόλεως ἅλας καὶ τὴν δημοσίαν τράπεζαν] Ἅλες καὶ τράπεζα dicuntur de hospitio et convictu. Hic igitur de honore publico et σιτήσει sermo est. Ctes. 76. ἔφησθα τοὺς τῆς πόλεως ἅλας περὶ πλείστου ποιήσασθαι τῆς ξενικῆς τραπέζης. Vide Huschke

θαι, οὐκ ὢν ἐπιχώριος, εἰρήσεται γάρ, οὐδ' ἐγγενὴς ἡμῖν, ἡμεῖς δέ, οἷς ἱερὰ καὶ τάφοι προγόνων ὑπάρχουσιν ἐν τῇ πατρίδι, καὶ διατριβαί, καὶ συνήθειαι μεθ' ὑμῶν ἐλευθέριοι, καὶ γάμοι κατὰ τοὺς νόμους, καὶ κηδεσταί, καὶ τέκνα, Ἀθήνησι μὲν ἦμεν ἄξιοι τῆς ὑμετέρας πίστεως· οὐ γὰρ ἄν ποτε ἡμᾶς εἵλεσθε· ἐλθόντες δ' εἰς Μακεδονίαν ἐξαίφνης ἐγενόμεθα προδόται. ὁ δὲ οὐδὲν ἄπρατον ἔχων μέρος τοῦ σώματος, οὐδ' ὅθεν τὴν φωνὴν προΐεται, ὡς ὢν Ἀριστείδης ὁ τοὺς φόρους τάξας τοῖς Ἕλλησιν, ὁ δίκαιος ἐπικαλούμενος, δυσχεραίνει, καὶ καταπτύει δωροδοκίας. ἀκούσατε δὴ τούς τε ἡμετέρους λόγους, οὓς εἴπομεν ὑπὲρ ὑμῶν, καὶ πάλιν, οὓς τὸ μέγα ὄφελος τῆς πόλεως εἴρηκε Δημοσθένης, ἵν' ἐφεξῆς καὶ κατὰ μικρὸν πρὸς ἕκαστα τῶν κατηγορημένων ἀπολογήσωμαι. ἐπαινῶ δ' εἰς ὑπερβολὴν πάντας ὑμᾶς, ὦ ἄνδρες, ὅτι σιγῇ καὶ δικαίως ἡμῶν ἀκούετε. ὥστε ἐάν τι μὴ λύσω τῶν κατηγορημένων, οὐχ

---

in A. Matthiae Miscell. Phill. P. I. p. 15. *Τὴν ξενικὴν τράπεζαν* perquam sanctam fuisse, et gravi poena ejus violationem affectam, docet Spanhemius ad Callim. Dian. v. 123.

οὐδ' ἐγγενὴς ἡμῖν] Aeschines nempe dicebat Demosthenem matre Scythissa natum esse. Qui vero non utrimque Atheniensibus germanis natus erat, ipse non erat civis Atheniensis. Cf. Ctes. 54.

οὐδὲν ἄπρατον ἔχων μέρος τοῦ σώματος, οὐδ' ὅθεν τὴν φωνὴν προΐεται] Theon progymnasm. p. 26. *Αἰσχίνης Δημοσθένην διαβάλλων φησὶν αὐτὸν μὴ καθαρεύειν τὸ στόμα* (f. *σῶμα*) *μηδ' ὅθεν τὴν φωνὴν προΐεται.* Respicit Theon proprie locum, qui legitur infra c. 25. A. Gellius I. 5. Etiam turpibus indignisque verbis in eum non temperatum, quin parum vir, et ore quoque polluto diceretur.

καταπτύει δωροδοκίας.] *Καταπτύειν* cum genitivo personae *καθ' ἧς τις πτύει,* construitur, sed recte accusativus rei, cujus quis insimulatur, culpae, quae in aliquem malevole et maledice confertur, ponitur.

τὸ μέγα ὄφελος] Quod hic ironice dicitur, significat sensu bono hominem perquam praestantem et utilem, d e c u s e t p r a e s i d i u m, ut Horatii verbis utar. Vide Hemsterh. ad Lucian. Tim. 50. T. 1. p. 163.

ὑμᾶς, ἀλλ' ἐμαυτὸν αἰτιάσομαι. 8. ἐπειδὴ γὰρ οἱ πρεσβύτεροι ταῖς ἡλικίαις ὑπὲρ τῆς πρεσβείας εἰρήκεσαν, καὶ καθῆκεν εἰς ἡμᾶς ὁ λόγος — καὶ τὰ μὲν καθ' ἕκαστα τῶν ἐκεῖ ῥηθέντων ὑπ' ἐμοῦ, καὶ τοὺς πρὸς ταῦτα λεχθέντας ὑπὸ Φιλίππου λόγους, ἐν τῷ δήμῳ σαφῶς ἀπήγγειλα πρὸς ἅπαντας Ἀθηναίους, νυνὶ δὲ πειράσομαι διὰ κεφαλαίων ὑμᾶς ὑπομιμνήσκειν. πρῶτον μὲν γὰρ πρὸς αὐτὸν διεξῆλθον τὴν πατρικὴν εὔνοιαν, καὶ τὰς εὐεργεσίας, ἃς ὑμεῖς ὑπήρξατε Ἀμύντᾳ, τῷ Φιλίππου πατρὶ, οὐδὲν παραλείπων, ἀλλ' ἐφεξῆς ἅπαντα ὑπομιμνήσκων, δεύτερον δὲ ὧν αὐτὸς ἦν μάρτυς εὖ παθών. Ἀμύντου γὰρ νεωστὶ τετελευτηκότος, καὶ Ἀλεξάνδρου τοῦ πρεσβυτάτου τῶν ἀδελφῶν, Περδίκκου δὲ καὶ Φιλίππου παίδων ὄντων, Εὐρυδίκης δὲ τῆς μητρὸς αὐτῶν προδεδομένης ὑπὸ τῶν δοκούντων αὐτῆς εἶναι φίλων, Παυσανίου δ' ἐπὶ τὴν ἀρχὴν αὐτῶν κατιόντος, φυγάδος μὲν ὄντος, τῷ καιρῷ δ' ἰσχύοντος, πολλῶν δ' αὐτῷ συμπραττόντων, ἔχοντος δὲ Ἑλληνικὴν δύναμιν, εἰληφότος δὲ Ἀνθεμοῦντα καὶ Θέρμαν καὶ

---

8. νυνὶ δὲ πειράσομαι, cet.] Cod. Helm. νῦν. Et sunt viri docti, qui νυνὶ nonnisi cum praesenti construi affirmant. Sed major est exemplorum numerus, quam quem corrigere liceat, in quibus νυνὶ etiam cum aliis temporibus jungitur. Vide Lobeck. ad Phryn. p. 19. not ** Ut non a nostro decedamus, Ctes. 53. νυνὶ δὲ οὐ φήσεις δύνασθαι λέγειν. Cum perfecto saepe καὶ κέχρηται νυνὶ κατ' ἐμοῦ Ctes. 1. νυνὶ καταλέλειπται. Tim. 75. τί οὖν δὴ λέξετε οἱ τῆς ψήφου νυνὶ γεγονότες κύριοι. cet.

προδεδομένης] Sic dedi ex Mead. et Helmst. pro vulgato προδιδομένης. Statim αὐτῆς pro αὐτοῖς ex Mead. Regg. 1. 3. 4. Helmst.

Παυσανίου ἐπὶ τὴν ἀρχὴν αὐτῶν κατιόντος] Suidas s. v. Κάρανος. — — Ἀμύντου τελευτήσαντος Παυσανίας φυγαδευθεὶς ὑπ' αὐτοῦ πρότερον, κατελθὼν ἐβιάσατο τοὺς παῖδας καὶ κατέσχε τὴν ἀρχήν. Εὐρυδίκη Ἀθηναίων στρατηγῷ διατρίβοντι περὶ τὴν Μακεδονίαν χρησαμένη συμμάχῳ, τὸν Παυσανίαν ἐκβάλλει. Ceterum haec omnia Aeschines hyperbolico rhetorum more exornavit et auxit.

Ἀνθεμοῦντα καὶ Θέρμαν καὶ Στρέψαν] Urbes in meridionali parte Macedoniae. Θέρμα eo loco sita erat, ubi postea Θεσσαλονίκη. Strabo

Στρέψαν καὶ ἄλλ' ἄττα χωρία, Μακεδόνων δὲ οὐχ ὁμονοούντων, ἀλλὰ τῶν πλείστων τὰ Παυσανίου φρονούντων ἐπὶ τῶν καιρῶν τούτων ἐχειροτόνησαν στρατηγὸν Ἀθηναῖοι ἐπ' Ἀμφίπολιν Ἰφικράτην, Ἀμφιπολιτῶν αὐτῶν ἐχόντων τότε τὴν πόλιν, καὶ τὴν χώραν καρπουμένων. ἀφικομένου δ' εἰς τοὺς τόπους Ἰφικράτους μετ' ὀλίγων τὸ πρῶτον νεῶν, ἐπὶ κατασκοπῇ μᾶλλον τῶν πραγμάτων, ἢ πολιορκίᾳ τῆς πόλεως, ἐνταῦθ', ἔφην ἐγὼ, μετεπέμψατο αὐτὸν Εὐρυδίκη ἡ μήτηρ ἡ σή. καὶ, ὥς γε δὴ λέγουσιν οἱ παρόντες πάντες, Περδίκκαν μὲν τὸν ἀδελφὸν τὸν σὸν καταστήσασα εἰς τὰς χεῖρας τὰς Ἰφικράτους, σὲ δὲ εἰς τὰ γόνατα τὰ ἐκείνου θεῖσα παιδίον ὄντα, εἶπεν, ὅτι Ἀμύντας, ὁ πατὴρ τῶν παίδων τούτων, ὅτ' ἔζη, υἱὸν ἐποιήσατό σε, τῇ δὲ Ἀθηναίων πόλει οἰκείως ἐχρήσατο, ὥστε συμβαίνει σοι καὶ ἰδίᾳ τῶν παιδίων τούτων γεγενῆσθαι ἀδελφῷ, καὶ δημοσίᾳ φίλῳ ἡμῖν εἶναι. καὶ μετὰ ταῦτα ἤδη δέησιν ἰσχυρὰν ἐποιεῖτο καὶ ὑπὲρ ὑμῶν, καὶ ὑπὲρ αὑτῆς, καὶ ὑπὲρ τῆς ἀρχῆς, καὶ ὅλως ὑπὲρ τῆς σωτηρίας. ἀκούσας δὲ ταῦτα Ἰφικράτης, ἐξήλασε Παυσανίαν ἐκ Μακεδονίας, καὶ τὴν δυναστείαν ὑμῖν ἔσωσε. 9. καὶ μετὰ ταῦτα εἶπον περὶ

---

epit. p. 509. ἡ Θεσσαλονίκη ἣ πρότερον Θέρμη ἐκαλεῖτο. Inde celebris sinus Θερμαῖος nomen habebat, qui quondam etiam sinus Macedonicus appellabatur, nunc Golfo di Salonichi. Harum urbium meminit etiam Stephanus Byz.

ἐπὶ κατασκοπῇ μᾶλλον – ἢ πολιορκίᾳ] Mead. Harl. κατασκοπὴν, Harl. etiam πολιορκίαν; sed elegantior lectio vulgata. ἐπὶ cum dativo consilium indicat. Vide Matthiae Gr. Gr. §. 585.

οἱ παρόντες πάντες] Πάντες deest in Helmst. Si ab Aeschine profectum est, id quoque fastum sapit rhetoricum.

καὶ τὴν δυναστείαν ὑμῖν ἔσωσε] Locum laudat Thomas M. s. v. δυνάστης. Δυνάστης, καὶ ὁ τύραννος καὶ ὁ βασιλεύς· ὡσαύτως καὶ ἡ δυναστεία οὐ μόνον ἡ τυραννὶς ἀλλὰ καὶ ἡ βασιλεία. Αἰσχίνης, ἐξήλασε Παυσανίαν ἐκ Μακεδονίας, καὶ τὴν δυναστείαν ἡμῖν (perperam pro ὑμῖν) ἔσωσε. Cod. Helmst. pro δυναστείαν glossam habet Μακεδονίαν.

Πτολεμαίου, ὃς ἦν ἐπίτροπος καθεστηκὼς τῶν πραγμάτων, ὡς ἀχάριστον καὶ δεινὸν ἔργον διεπράξατο, διδάσκων, ὅτι πρῶτον μὲν ὑπὲρ Ἀμφιπόλεως ἀντέπραττε τῇ πόλει, καὶ πρὸς Θηβαίους διαφερομένων Ἀθηναίων συμμαχίαν ἐποιήσατο. καὶ πάλιν ὡς Περδίκκας, εἰς τὴν ἀρχὴν καταστὰς, ὑπὲρ Ἀμφιπόλεως ἐπολέμησε τῇ πόλει, καὶ τὴν ὑμετέραν, ἠδικημένων ὅμως, φιλανθρωπίαν διεξῄειν, λέγων, ὅτι κρατοῦντες τῷ πολέμῳ Περδίκκαν, Καλλισθένους Ἀθηναίων ἡγουμένου, ἀνοχὰς πρὸς αὐτὸν ἐποιήσασθε, ἀεί τινος προσδοκῶντες τῶν δικαίων τεύξεσθαι. καὶ τὴν διαβολὴν ταύτην ἐπειρώμην διαλύειν, διδάσκων, ὅτι Καλλισθένην ὁ δῆμος ἀπέκτεινεν, οὐ διὰ τὰς πρὸς Περδίκκαν ἀνοχὰς, ἀλλὰ δι' ἑτέρας ἁμαρτίας. καὶ πάλιν οὐκ ὤκνουν κατ' αὐτοῦ λέγειν Φιλίππου, ἐπιτιμῶν, ὅτι τὴν ἐκδοχὴν ἐποιήσατο πρὸς τὴν πόλιν τοῦ πολέμου. καὶ πάντων ὧν εἴποιμι, μάρτυρας τὰς ἐκείνων ἐπιστολὰς παρειχόμην, καὶ τὰ ψηφίσματα τοῦ δήμου, καὶ τὰς Καλλισθένους ἀνοχάς.

---

9. Πτολεμαίου] Hic Ptolemaeus Alorites secundum Diodor. Sic. L. XV, 77. ἐδολοφονήθη ὑπὸ τοῦ ἀδελφοῦ Περδίκκα, βασιλεύσας ἔτη τρία. Perdiccam ejus fratrem non fuisse, monet Wesseling.

τεύξεσθαι] Post hanc enuntiationem nonnulla deesse videntur Reiskio, Philippi ad illa superiora Aeschinis obstrepentis et querentis. Sed nihil deest. Nam Aeschines hanc quam dicit calumniam de damnatione Callisthenis refutarat, ante, quam ejus rei mentionem faciebat Philippus. Callisthenes morte damnatus erat ab Atheniensibus. Dicebatur, ut videtur, haec ei poena inflicta fuisse, quod inducias cum Perdicca fecerit. Aeschines autem aliis poenam criminibus tributam esse affirmat.

ἐκδοχὴν ἐποιήσατο] Laudat hunc locum Thomas M. p. 289. s. οὐ μόνον ἀναδοχὴ ἀλλὰ καὶ ἐκδοχή· ὡς ὁ Αἰσχίνης· τὴν ἐκδοχὴν ἐποιήσατο πρὸς τὴν πόλιν τοῦ πολέμου.

ὧν εἴποιμι] Vulgo ὧν ἂν εἴποιμι. Ἂν delevi auctoritate codicis Harl. Vere enim monuit Reisigius de vi et usu particulae ἂν p. 111. in hac constructione ἂν cum optativo poni non posse, ubi praeteritum spectatur tempus, sed aut praesens tempus aut futurum intelligatur necesse est.

περὶ μὲν οὖν τῆς ἐξ ἀρχῆς κτήσεως τῆς χώρας, καὶ τῶν καλουμένων Ἐννέα ὁδῶν, καὶ περὶ τῶν Θησέως παίδων, ὧν Ἀκάμας λέγεται φερνὴν ἐπὶ τῇ γυναικὶ λαβεῖν τὴν χώραν ταύτην, τότε μὲν ἥρμοττε λέγειν, καὶ ἐῤῥήθη ὡς ἐνεδέχετο ἀκριβέστατα· νυνὶ δὲ ἴσως ἀνάγκη συντέμνειν τοὺς λόγους. ἃ δὲ ἦν τῶν σημείων οὐκ ἐν τοῖς ἀρχαίοις μύθοις, ἀλλ' ἐφ' ἡμῶν γεγενημένα, τούτων ἐπεμνήσθην.

Ἐννέα ὁδῶν] Colonia Atheniensium, ad flumen Strymonem sita, quae postea Amphipoleos nomen accepit.

Θησέως παίδων] Θησέως παῖδες Δημοφῶν καὶ Ἀκάμας. τούτων Δημοφῶντι λέγεται δοθῆναι προῖκα τὰς Ἐννέα ὁδοὺς οὕτω καλουμένας, οὗτος δὲ παρὰ τὴν ἱστορίαν Ἀκάμαντί φησι δοθῆναι, οὐ Δημοφῶντι. Schol. Tota haec historia est fabulosa. Cf. Meursium in Theseo c. 28. sqq.

γυναικὶ] Phyllidis nomen habet. Rem ita narrat Scholiastes ad Lycophr. Cassandr. v. 495. s. Ἀκάμας ὀλίγαις ναυσὶ προσίσχει Θρᾳξὶ Βισάλταις, καὶ ἐρᾷ τούτου Φυλλὶς, ἡ θυγάτηρ τοῦ ἐκεῖ βασιλέως· καὶ ὁ πατὴρ αὐτὴν ἐγγυᾷ ἐπὶ προικὶ τῇ βασιλείᾳ. Ἀκάμας δὲ βουλόμενος ἐλθεῖν εἰς τὴν πατρίδα, πολλὰ δεηθεὶς παρὰ Φυλλίδος καὶ τῶν ἐκείνης, ὀμόσας ἀναστρέψειν ἐξέρχεται. καὶ Φυλλὶς αὐτὸν προπέμπει ἄχρι τῶν καλουμένων Ἐννέα ὁδῶν, καὶ δίδωσιν αὐτῷ κιβώτιον, εἰποῦσα ἱερὸν εἶναι τῆς μητρὸς Ῥέας, καὶ μὴ ἀνοίγειν αὐτὸ, εἰ μὴ ὅταν ἀπελπίσῃ τὴν πρὸς αὐτὴν ἄνοδον. ὁ δ' ἐλθὼν εἰς Κύπρον ἐκεῖ κατῴκει. καὶ χρόνου διελθόντος ἡ Φυλλὶς ἀρὰς θεμένη κατὰ Ἀκάμαντος ἑαυτὴν ἀναιρεῖ. Ἀκάμας δὲ τὸ κιβώτιον ἀνοίξας, φάσματι κρατηθεὶς, ἄνεισιν ἐπὶ τὸν ἵππον, καὶ τοῦτον ἐλαύνων ἀτάκτως, ἀπόλλυται. τοῦ γὰρ ἵππου σφαλέντος ἐκ τῶν ὀπισθίων μερῶν, τῷ αὐτοῦ ἐμπήγνυται ξίφει.

ἐῤῥήθη] Sic dedi ex Mead. et Harl. pro vulgato ἐῤῥέθη. Lobeck ad Phryn. p. 47. „In contrariam partem (ab εὑρήθην) peccat ἐῤῥέθην, in quod non Isocrates, non Demosthenes umquam, bis ad summum Aeschines impegit, quo utroque loco ἐῤῥήθη in codd. servatum. Apud Platonem utrumque saepius legitur. v. Heindorf ad Gorg. p. 46. Sed et hunc arbitror popularem consuetudinem sequutum esse." Alter locus est c. 32., ubi ex Helmst. dedi ἐῤῥήθη.

τούτων ἐπεμνήσθην] Revocavi hanc omnium Mss. lectionem, quum Reiskius retinuerit Wolfii conjecturam ἐπιμνησθήσομαι. Sed haec enuntiatio non est opposita proxime antecedenti: νυνὶ δὲ ἴσως ἀνάγκη

συμμαχίας γὰρ Λακεδαιμονίων καὶ τῶν ἄλλων Ἑλλήνων συνελθούσης, εἰς ὧν τούτων Ἀμύντας, ὁ Φιλίππου πατὴρ, καὶ πέμπων σύνεδρον, καὶ τῆς καθ' ἑαυτὸν ψήφου κύριος ὢν, [ἀπ]εψηφίσατο Ἀμφίπολιν τὴν Ἀθηναίων συνεξαιρεῖν μετὰ τῶν ἄλλων Ἑλλήνων Ἀθηναίοις. καὶ τούτων τὸ κοινὸν δόγμα τῶν Ἑλλήνων, καὶ τοὺς ψηφισαμένους, ἐκ τῶν δημοσίων γραμμάτων μάρτυρας παρεσχόμην. ὧν δὲ Ἀμύντας ἀπέστη ὁ Φιλίππου πατὴρ, ἐναντίον τῶν Ἑλλήνων ἁπάντων, οὐ μόνον λόγοις, ἀλλὰ καὶ ψήφῳ, τούτων, ἔφην ἐγὼ, σὲ τὸν ἐξ ἐκείνου γεγενημένον, οὐκ ἔστι δίκαιον ἀντιποιεῖσθαι. εἰ δ' ἀντιποιῇ, κατὰ πόλεμον λαβὼν, εἰκότως ἔχειν, εἰ μὲν πρὸς ἡμᾶς πολεμήσας, δορυάλωτον τὴν πόλιν εἷλες, κυρίως ἔχεις, τῷ τοῦ πολέμου νόμῳ κτησάμενος· εἰ δ' Ἀμφιπολίτας ἀφεῖλου τὴν Ἀθηναίων πόλιν, οὐ τὰ ἐκείνων ἔχεις, ἀλλὰ τὴν Ἀθηναίων χώραν.

συντέμνειν τοὺς λόγους, sed est progressio eorum, quae ante dixerat, et quae ex antiquis et mythicis temporibus petita erant.

συμμαχίας γὰρ Λακεδαιμονίων καὶ τῶν ἄλλων Ἑλλήνων συνελθούσης] Cod. Harl, *εἰς συμμαχίαν γὰρ — συνελθόντων*: quae est vulgatae lectionis longe elegantioris explicatio.

σύνεδρον] Bekkeri Anecdd. p. 302. *σύνεδροι, οἱ ἀπὸ τῶν συμμάχων μετὰ τῶν Ἀθηναίων βουλευόμενοι περὶ τῶν πραγμάτων.* Hic latiore significatione est is, qui in conventu legatorum a sociis in consilium missorum locum habet.

ἀπεψηφίσατο] Sic dedi ex conjectura Palmerii, quam nexus orationis aperte flagitat, pro vulgato *ἐψηφίσατο*. *Ἀποψηφίζεσθαι* est c e n s e r e n o n f a c i e n d u m e s s e; recusare.

εἰ δ' ἀντιποιῇ – εἰκότως ἔχειν] Rarum est *ἀντιποιεῖσθαι* sequente infinitivo constructum. Contendere adversus aliquem, hoc ita esse.

δορυάλωτον] Sic codd. omnes, nec de veritate lectionis dubitandum, quam satis firmavit Wesseling. ad Diodor. Sic. L. XVI, 20. Alii dicunt *δοριάλωτον* et utrumque vocabulum ubique fere in Mss. confunditur. Cf. Porson, ad Eurip. Hec. 105. et 485. Ceterum non erat, cur Reiskius ambigeret inter *εἷλες* quod omnium Mss. est, et inter suam conjecturam *εἶχες*. *Δορυάλωτον εἷλες* est parallelismus, qui non infrequens est Aeschini. Cf. ad Tim. 18.

10. Ῥηθέντων δὲ καὶ τούτων καὶ ἑτέρων λόγων, ἤδη καθῆκεν εἰς Δημοσθένην τὸ τῆς πρεσβείας μέρος, καὶ πάντες προσεῖχον ὡς ὑπερβολάς τινας δυνάμεως ἀκουσόμενοι λόγων. καὶ γὰρ πρὸς αὐτὸν τὸν Φίλιππον, ὡς ἦν ὕστερον ἀκούειν, καὶ πρὸς τοὺς ἑταίρους αὐτοῦ, ἐξηγγέλθη ἡ τῶν ἐπαγγελιῶν ὑπερβολή. οὕτω δὲ ἁπάντων διακειμένων πρὸς τὴν ἀκρόασιν, φθέγγεται τὸ θηρίον τοῦτο προοίμιον σκοτεινόν τε καὶ τεθνηκὸς δειλίᾳ, καὶ μικρὸν προαγαγὼν ἄνω τῶν πραγμάτων, ἐξαίφνης ἐσίγησε καὶ διηπορήθη· τελευτῶν δὲ ἐκπίπτει ἐκ τοῦ λόγου. ἰδὼν δὲ αὐτὸν ὁ Φίλιππος ὡς διέκειτο, θαῤῥεῖν τε παρεκελεύετο,

---

10. *προοίμιον σκοτεινόν τε καὶ τεθνηκὸς δειλίᾳ*] Scholiastes *σκοτεινὸν ἢ ἀσαφὲς, ἢ οὐδεμιᾶς λαμπρότητος ἐχόμενον καὶ οὐκ ἄξιον τῆς ἡγεμονίας τῆς πόλεως, ἀλλὰ ταπεινοῦ φρονήματος. τεθνηκὸς δὲ ἀντὶ τοῦ οὐδὲν φανερὸν ἔχον, ἀλλ' ἀφανὲς, ὑπὸ μεταφορᾶς τῶν τεθνηκότων, καὶ ταπεινόν.* *Θνήσκειν* et composita *ὑπὸ φόβου, τῷ δέει* homines saepe dicuntur, qui terrore ita perculsi sunt, ut quid agant, nesciant, nec agere quidquam possint. Hic vero de sermone dicitur, qui ob hominis pavorem et anxietatem et memoria excidit et ob ipsius linguae trepidationem pronuntiari non potest.

καὶ μικρὸν προαγαγὼν ἄνω τῶν πραγμάτων] Post haec Bern. et Helmst. addunt *τὸν λόγον*: quod si non addendum, certe supplendum est; et suppleri facile potest ex antecedente *προοίμιον*. Fit enim saepe, ut ex nomine, quod totum significat, pars, aut ex notione partis totum sit assumendum.

ἐκπίπτει ἐκ τοῦ λόγου] Excidit a dicendi proposito, perturbatur in dicendo, conticescit. Multis aliis locis *ἐκπίπτειν* significat explodi, exsibilari. Vide Wyttenbach. ad Plut. Mor. p. 586. Oxon. Rem nimium quantum exaggerat Aeschines, si ulla fides Plutarcho, qui in vita Demosth. p. 853. B. narrat: *ὅτε πρεσβεύων δέκατος ἧκεν εἰς Μακεδονίαν, ἤκουσε μὲν πάντων Φίλιππος, ἀντεῖπε δὲ μετὰ πλείστης ἐπιμελείας πρὸς τὸν ἐκείνου λόγον.* Neque Plutarchum Aeschinem confudisse cum Demosthene, neque historicum oratoris loco confutandum esse, recte judicat Weiske de Hyperbole errorum — genetrice P. III. p. 5.

θαῤῥεῖν] Humanitatis plena oratio, non tamen abhorrens a faceta derisione ac ne injusta quidem. Wolfius.

καὶ μὴ νομίζειν, ὥςπερ ἐν τοῖς θεάτροις, διὰ τοῦτο οἴεσθαί τι πεπονθέναι· ἀλλ᾽ ἡσυχῇ καὶ κατὰ μικρὸν ἀναμιμνήσκεσθαι, καὶ λέγειν ὡς προείλετο. ὁ δ᾽, ὡς ἅπαξ ἐταράχθη, καὶ τῶν γεγραμμένων διεσφάλη, οὐδ᾽ ἀναλαβεῖν ἔτι αὑτὸν ἠδυνήθη· ἀλλὰ καὶ πάλιν λέγειν ἐπιχειρήσας, ταὐτὸν ἔπαθεν. ὡς δὲ ἦν σιωπὴ, μεταστῆναι ἡμᾶς ὁ κήρυξ ἐκέλευεν. ἐπειδὴ δ᾽ ἐφ᾽ ἡμῶν αὐτῶν οἱ συμπρέσβεις ἐγενόμεθα, σφόδρα πάνυ σκυθρωπάσας ὁ χρηστὸς οὑτοσὶ Δημοσθένης, ἀπολωλεκέναι με ἔφη τὴν πόλιν καὶ τοὺς συμμάχους. ἐκπλαγέντος δὲ οὐκ ἐμοῦ μόνον, ἀλλὰ καὶ τῶν συμπρέσβεων ἁπάντων, καὶ τὴν αἰτίαν πυνθανομένων, δι᾽ ἣν ταῦτ᾽ εἶπεν, ἤρετό με, εἰ τῶν Ἀθήνησι πραγμάτων ἐπιλέλησμαι, καὶ τὸν δῆμον καταπεπονημένον, καὶ σφόδρα ἐπιθυμοῦντα τῆς εἰρήνης, εἰ

μὴ νομίζειν, ὥςπερ ἐν τοῖς θεάτροις, διὰ τοῦτο οἴεσθαί τι πεπονθέναι] Stephanus vel *νομίζειν* vel *οἴεσθαι* delendum opinatur. Reiskius addendum potius aliquid censet et scribendum, *καὶ μὴ νομίζειν ἐκβεβλῆσθαι* (aut *ἐκπεσεῖν*) *ὥςπερ τοὺς ἐν τοῖς θεάτροις, διὰ τὸ οἴεσθαί τι πεπονθέναι*, quod externam certe probabilitatem non habet neque sententia commendatur. Weiske l. l. suspicatur in verbis *διὰ τοῦτο οἴεσθαι* latere aliquid ejusmodi *διὰ τὸ ὑπο . . . εσθαι* (an *ὑποπτοεῖσθαι* i. e. *ὑποταράττεσθαι, ὑποκινεῖσθαι?*) nam hic loci sensus est: Hortatus eum rex est, ne putaret, ut in theatris histrio, qui paululum commotus ac turbatus esset atque haesitaret, ideo sibi aliquid magnum accidisse. Equidem, si opus sit lectionis mutatione, eam novis manuscriptis commendo. Fortasse tamen in vulgata lectione repetitio notionis primariae esse possit non quidem elegans, sed tolerabilis.

καὶ τῶν γενομένων διεσφάλη] Scholiastes agnoscit aliam lectionem *παρεσφάλη*. E Mss. nulla varietas est notata. Videtur Aeschines *διασφάλλεσθαι* elegisse ut fortius. Notio *παρὰ* jam inest in verbo *σφάλλεσθαι*, quae augetur adjecta praepositione *διά*. Ctes. 28. *μὴ διασφαλῆναι τῆς πρὸς ὑμᾶς συμμαχίας.*

καταπεπονημένον] *Καταπονεῖσθαι* dicuntur ii, quorum vires laboribus, aerumnis, morbis ita defatigati sunt, ut tolerare aut praestare nihil amplius valeant.

μὴ μέμνημαι. ἦ μέγα φρονεῖς, ἔφη, ἐπὶ ταῖς ἐψηφισμέναις μὲν πεντήκοντα ναυσὶν, οὐδέποτε δὲ πληρωθησομέναις; οὕτω γὰρ ἠρέθικας Φίλιππον καὶ τοιαῦτα εἴρηκας, ἐξ ὧν οὐκ εἰρήνη γένοιτ' ἂν ἐκ πολέμου, ἀλλ' ἐξ εἰρήνης πόλεμος ἀκήρυκτος. 11. ἀρχομένου δέ μου πρὸς ταῦτα ἀντιλέγειν, ἐκάλουν ἡμᾶς οἱ ὑπηρέται οἱ τοῦ Φιλίππου. ὡς δ' ἤλθομεν καὶ ἐκαθεζόμεθα, ἐξ ἀρχῆς πρὸς ἕκαστον τῶν εἰρημένων ἐνεχείρει τι λέγειν ὁ Φίλιππος, πλείστην δὲ εἰκότως ἐποιήσατο διατριβὴν πρὸς τοὺς ἐμοὺς λόγους· ἴσως γὰρ οὐδὲν τῶν ἐνόντων εἰπεῖν, ὥς γε οἶμαι, παρέλιπον· καὶ πολλάκις μου τοὔνομα ἐν τοῖς λόγοις ὠνόμαζε; πρὸς δὲ Δημοσθένην, τὸν οὕτω καταγελάστως ἀπαλλάξαντα, οὐδ' ὑπὲρ ἑνὸς, οἶμαι, διελέχθη. τοῦτο δὲ ἄρα ἦν ἀγχόνη καὶ λύπη τούτῳ. ἐπειδὴ δὲ κατέστρεψεν εἰς φιλανθρωπίαν (39) τοὺς λόγους Φίλιππος, καὶ τὸ συκοφάντημα, ὃ προειρήκει κατ' ἐμοῦ πρὸς τοὺς συμπρέσβεις οὗτος, ὡς ἐσομένου πολέμου καὶ διαφορᾶς αἰτίου, διέπιπτεν αὐτῷ, ἐνταῦθα ἤδη [καὶ] παντελῶς ἐξιστάμενος αὑτοῦ καταφανὴς ἦν· ὥστε καὶ κληθέντων ἡμῶν ἐπὶ ξένια, δεινῶς ἀσχημο-

---

πόλεμος ἀκήρυκτος] Bellum saevum, implacabile, internecivum, ut docuit Astius ad Plat. Legg. 1, 2. Infra c. 22. ἀσπόνδους καὶ ἀκηρύκτους τοὺς πολέμους.

11. Δημοσθένην] Sic dedi ex Harl. Mead. Helmst. pro vulgato Δημοσθένη. Vide Tim. 63.

ἀγχόνη] Mor. et Mead. ἀγχονῇ. Scholiastes Aristophanis ad Acharn. 125. distinguit ἀγχόνην et ἀγχονήν. ὀξυτόνως μὲν γὰρ τὸ εἶδος τοῦ πάθους. βαρυτόνως δὲ τὸ σχοίνιον καὶ ὁ βρόχος: quod praeceptum, si verum sit, saepissime violari monuit Hemsterhusius ad Luciani Tim. 45. Tom. I. p. 153. ἀγχόνη καὶ λύπη per ἓν διὰ δυοῖν accipere possis. Ἀγχόνη vehementiam λύπης notat.

ἐπὶ ξένια] Sic dedit Taylor e cod. Mead. pro vulgato ἐπὶ ξενίᾳ, idque videtur probari e c. 47. ἐκλήθην μὲν γὰρ ἐπὶ τὰ ξένια μετὰ τῶν συμπρέσβεων. Non video tamen, cur in universum rejiciatur locutio καλεῖσθαι ἐπὶ ξενίᾳ. Sed ἐπὶ ξένια videtur plura amplecti, non solum hospitium ipsum seu mensam hospitalem, sed etiam dona, quae hospitibus, hic legatis ut hospitibus, dari solebant.

40. *νεῖν. Ἀφορμώντων δ' ἡμῶν οἴκαδε ἐκ τῆς πρεσβείας, ἐξαίφνης κατὰ τὴν ὁδὸν παραδόξως καὶ φιλανθρώπως πρὸς ἕκαστον διελέγετο. ὅ, τι μὲν οὖν δήποτ' ἦν ὁ κέρκωψ, ἢ τὸ καλούμενον παιπάλημα, ἢ τὸ παλίμβολον, ἢ τὰ τοιαῦτα ῥήματα, οὐκ ᾔδειν πρότερον· νυνὶ δὲ ἐξηγητὴν τοῦτον λαβὼν τῆς πάσης κακοηθείας, μεμάθηκα.*
41 *διαλαμβάνων γὰρ ἕκαστον ἡμῶν ἐν μέρει, τῷ μὲν, ἔρανον συστήσειν ἐπηγγέλλετο, καὶ βοηθήσειν τοῖς ἰδίοις, τὸν δὲ εἰς στρατηγίαν καταστήσειν, ἐμοὶ δὲ παρακολουθῶν, καὶ τὴν φύσιν μακαρίζων, καὶ τοὺς λόγους, οὓς εἶπον, ἐγκω-*

ὁ κέρκωψ, ἢ τὸ καλούμενον παιπάλημα, ἢ τὸ παλίμβολον] Vocabula, quae tropica significatione adhibentur. Scholiastes noster: *οἱ κέρκωπες γένος τι ὑπῆρξε λῃστῶν καὶ πανούργων περὶ τὴν Λιβύην, οὓς ἐτιμωρήσατο Ἡρακλῆς διὰ τὴν κλοπὴν τῶν βοῶν τοῦ Γηρυόνου.* Harpocration p. 100. s. *ἐν τοῖς εἰς Ὅμηρον ἀναφερομένοις Κέρκωψιν δηλοῦται, ὡς ἐξαπατητῆρές τε ἦσαν καὶ ψεῦσται οἱ Κέρκωπες. Ξεναγόρας δὲ εἰς πιθήκους αὐτοὺς μεταβαλεῖν φησί.* Significat vocabulum etiam simiam longa cauda instructam ejus generis, quod *κερκοπιθήκων* appellant historiae naturalis scriptores. — Bekker. Anecdd. p. 295. *παιπάλημά ἐστιν ὁ τραχὺς ἄνθρωπος καὶ ἀνώμαλος, ἐπεὶ καὶ τῶν ὀρῶν τὰς ἀνωμαλίας παιπαλήματα καλοῦσιν.* Vide Valckenaer ad Eurip. Hippol. 406. — Bekker An. p. 291. *παλίμβολος ὁ πολλάκις μεταβαλλόμενος, ὃν καὶ Ὅμηρος ἀλλοπρόσαλλον καλεῖ.* Neutrum genus contemtum auget.

ἔρανον συστήσειν] „Fuit apud Graecos moribus receptum, ut, quum adversam fortunam passus esset aliquis, amicorum atque sodalium facultatibus sublevaretur. Accipiebat enim ab iis pecuniae aliquam summam ea lege, ut, si deus aliquando meliora daret, quantum illi erogatum esset, tantundem ipse restitueret. Hanc illi stipem collatitiam vocabant *ἔρανον*, et factum ipsum *ἐρανίζειν*, respectu ut plurimum accipientis, vel *ἔρανον συλλέγειν*· dantis vero, *ἔρανον εἰςφέρειν*. Atque hoc fuit veluti medium quoddam genus inter id quod *δάνεισμα* creditumque proprie dicitur, et *ἐλεημοσύνην*." Casaubonus ad Theophr. XV, 2.

βοηθήσειν τοῖς ἰδίοις] In universum hoc dictum est, cujus pars erat *ἔρανος*: omnino rebus privatis opem se esse laturum, rem privatam quocunque modo se adjuturum. In sequentibus de publicis muneribus sermo est, quae ipsis suis opibus sit comparaturus.

μιάζων, πολὺς ἦν ἐν τοῖς ἐπαίνοις καὶ ἐπαχθής. συνδειπνούντων δ' ἡμῶν ἁπάντων ἐν Λαρίσσῃ, εἰς αὐτὸν μὲν ἔσκωπτε, καὶ τὴν ἀπορίαν τὴν ἐν τῷ λόγῳ συμβᾶσαν ἑαυτῷ· τὸν δὲ Φίλιππον τῶν ὑπὸ τὸν ἥλιον ἀνθρώπων ἔφη πάντων εἶναι δεινότατον. 12. συναποφηναμένου δὲ κἀμοῦ τι τοιοῦτον, ὡς μνημονικῶς εἴποι πρὸς τὰ παρ' ἡμῶν ῥηθέντα, Κτησιφῶντος δὲ, ὅςπερ ἦν ἡμῶν πρεσβύτατος, ὑπερβολήν τινα ἑαυτοῦ παλαιότητος καὶ πλήθους ἐτῶν εἰπόντος, καὶ προςθέντος, ὡς ἐν τοσούτῳ χρόνῳ καὶ βίῳ οὐ πώποθ' οὕτως ἡδὺν οὐδ' ἐπαφρόδιτον ἄνθρωπον ἑωρακὼς εἴη, ἀνακροτήσας ὁ Σίσυφος ὅδε τὰς χεῖρας, ταῦτα μέντοι, ἔφη, ὦ Κτησιφῶν, οὔτ' ἂν σὺ πρὸς τὸν δῆμον εἴποις, οὔτ' ἂν οὗτος (ἐμὲ δὴ λέγων) τολμήσειεν εἰπεῖν πρὸς Ἀθηναίους, ὡς [ἦν] ὁ Φίλιππος δεινὸς εἰπεῖν, καὶ μνημονικός. ἀναισθήτως δὲ ἡμῶν ἐχόντων, καὶ τὴν ἐπιβουλὴν οὐ προορωμένων, ἣν αὐτίκα ἀκούσεσθε, εἰς συνθήκην τινὰ ἡμᾶς κατέκλεισεν ὑπὲρ τοῦ ταῦτ' ἐρεῖν πρὸς ὑμᾶς, ἐμοῦ δὲ καὶ δέησίν τινα ἰσχυρὰν ἐδεήθη, μὴ παραλιπεῖν, ἀλλ' εἰπεῖν, ὡς ὑπὲρ Ἀμφιπόλεώς τι καὶ Δημοσθένης εἴποι. Μέχρι μὲν οὖν τούτων οἱ συμπρέσβεις

---

12. ἐν τοσούτῳ χρόνῳ καὶ βίῳ] Notandum hoc ἓν διὰ δυοῖν. Nos dicimus: in einer so langen Lebenszeit.

ἀνακροτήσας ὁ Σίσυφος ὅδε τὰς χεῖρας] Rarior quidem est locutio ἀνακροτεῖν τὰς χεῖρας, nec tamen dubia. Dicitur de longiore applausu, plaudendi actione repetita. Aristoph. Plut. 739.

ἐγὼ δὲ τὼ χεῖρ' ἀνεκρότησ' ὑφ' ἡδονῆς.

Σίσυφος: ἐπὶ πανούργου καὶ κακοπράγμονος χρῶνται τῷ ὀνόματι, ὅτι Σίσυφος περὶ πανουργίας διεβέβλητο. Saepe nomine proprio utuntur, ad indicandos mores, sentiendi et agendi rationem hominis similem ejus, qui proprium nomen habebat. Cf. Ruhnken. ad Vell. Paterc. II, 18.

ἀναισθήτως δὲ ἡμῶν ἐχόντων] Οὐκ αἰσθομένων οὐδὲ καταλαβόντων τὴν διάνοιαν τῶν ὑπ' αὐτοῦ λεγομένων. Ne perperam intelligatur, additum est καὶ τὴν ἐπιβουλὴν οὐ προορωμένων.

εἰσί μοι μάρτυρες, οὓς προπηλακίζων οὗτος καὶ διαβάλλων ἐν τῇ κατηγορίᾳ διατετέλεκε· τῶν δ᾽ ἐπὶ τοῦ βήματος παρ᾽ ὑμῖν λόγων ὑμεῖς ἀκηκόατε· ὥςτε οὐκ ἐνέσται μοι ψεύδεσθαι. δέομαι δὲ ὑμῶν προςεπιπονῆσαι ἀκούοντας καὶ τὴν λοιπὴν διήγησιν. ὅτι μὲν γὰρ ἕκαστος ὑμῶν ποθεῖ τὰ περὶ Κερσοβλέπτην ἀκούειν, καὶ τὰς περὶ Φωκέων αἰτίας, σαφῶς οἶδα, καὶ πρὸς ταῦτα σπεύδω. ἀλλ᾽ ἐὰν μὴ τὰ πρὸ τούτων ἀκούσητε, οὐδ᾽ ἐκείνοις ὁμοίως παρακολουθήσετε· ἐὰν δ᾽ ἐμοὶ τῷ κινδυνεύοντι εἰπεῖν δῶτε, ὡς βούλομαι, καὶ σῶσαί με, εἰ μηδὲν ἀδικῶ, δυνήσεσθε, ἱκανὰς εἰληφότες ἀφορμάς, καὶ θεάσεσθε ἐκ τῶν ὁμολογουμένων καὶ τὰ ἀντιλεγόμενα. 13. ὡς γὰρ δεῦρ᾽ ἤλθομεν, καὶ πρὸς τὴν βουλὴν ἐπὶ κεφαλαίων τὴν πρεσβείαν ἀπηγγείλαμεν, καὶ τὴν ἐπιστολὴν ἀπέδομεν τὴν παρὰ Φιλίππου, ἐπαινέτης ἦν ἡμῶν Δημοσθένης πρὸς τοὺς βουλεύοντας, καὶ τὴν Ἑστίαν ἐπώμοσε τὴν βουλαίαν, συγχαίρειν τῇ πόλει, ὅτι τοιούτους ἄνδρας ἐπὶ τὴν πρεσβείαν ἐξέπεμψεν, οἳ καὶ τοῖς λόγοις, καὶ τῇ πίστει, λέγοντες ἄξιοι ἦσαν τῆς πόλεως· ὑπὲρ ἐμοῦ δὲ εἶπέ τι τοιοῦτον, ὡς οὐ ψευσαίμην

προπηλακίζων] Suidas προπηλακίζων. ἀδικῶν, ὑβρίζων, διασύρων, ἐξουθενῶν. καὶ προπηλακισμὸς ὕβρις. εἴρηται δὲ ἀπὸ τοῦ πηλὸν ἐπιχρίεσθαι τὰ πρόσωπα τῶν ἀτιμίαν καὶ ὕβριν καταψηφιζομένων, οὓς ἀρτίως ἀσβόλῳ χρίουσι.

θεάσεσθε] Hanc plurimorum codd. lectionem restitui pro ea, quam ex paucis recepit Reiske, θεάσασθαι. Vide, quae dixi supra c. 1.

13. τὴν ἑστίαν ἐπώμοσε – βουλαίαν] Antiphon περὶ τοῦ χορ. p. 789. R. ἐν αὐτῷ βουλευτηρίῳ Διὸς βουλαίου καὶ Ἀθηνᾶς ἱερόν ἐστι, καὶ εἰςιόντες οἱ βουλευταὶ προςεύχονται.

οἳ καὶ τοῖς λόγοις καὶ τοῖς ἔργοις λέγοντες ἄξιοι ἦσαν τῆς πόλεως] Si λέγοντες a bono codice abesset, non dubitarem, id delere. Sed ut id sine codicum auctoritate audax foret, sic audacius etiam, quod Wolfius proprio Marte ausus est, scribere καὶ πράττοντές τε καὶ λέγοντες. Λέγοντες hic de toto legati munere accipiendum, cujus praecipua dos est τὸ λέγειν. Sensus est: in iis, quae loquebantur, non solum inerat eloquentia, sed veritas etiam et fides.

οἰκείοις πράγμασιν. οὐδὲν γὰρ εἶναι ῥᾷον, ἢ πρεσβείαν
50 ἀπαγγεῖλαι. βούλομαι δ' ὑμῖν, ἔφη, καὶ ἐπιδεῖξαι, ὡς δεῖ τὸ πρᾶγμα γίνεσθαι. ἅμα δ' ἐκέλευσεν ἀναγνωσθῆναι τὸ ψήφισμα τοῦ δήμου. ἀναγνωσθέντος δὲ, εἶπεν, ὅτι κατὰ τοῦτο ἐξεπέμφθημεν, καὶ ταῦτα ἐπράττομεν, ἃ ἐνταυθοῖ γέγραπται. λάβε δή μοι καὶ τὴν ἐπιστολὴν, ἣν ἥκομεν παρὰ Φιλίππου φέροντες. ἐπειδὴ δὲ ἀνεγνώσθη, ἀπέχετε, ἔφη, τὴν ἀπόκρισιν, καὶ λοιπὸν ὑμῖν ἐστὶ βουλεύσασθαι. 15. θορυβησάντων δ' ἐπ' αὐτῷ, τῶν μὲν, ὡς δεινός τις εἴη καὶ σύντομος, τῶν δὲ πλειόνων, ὡς πονηρὸς, καὶ φθονερὸς, καὶ σκέψασθε δὲ, ἔφη, ὡς συντόμως καὶ τἄλλα πάντα ἀπαγγελῶ. ἐδόκει μνημονικὸς καὶ δεινὸς εἶναι λέγειν Αἰσχίνῃ Φίλιππος; ἀλλ' οὐκ ἐμοί. ἀλλ' εἴ τις αὐτοῦ τὴν τύχην περιελὼν, ἑτέρῳ περιθείη, οὐκ ἂν πολύ τι καταδεὴς εἴη. ἐδόκει Κτησιφῶντι τὴν ὄψιν λαμπρὸς εἶναι; ἐμοὶ δ' οὐ χείρων Ἀριστόδημος ὁ ὑποκριτὴς, ὃς παρῆν ἡμῖν καὶ συνεπρέσβευε. μνημονικόν τις αὐτόν, φησιν εἶναι; καὶ γὰρ ἕτεροι. συμπιεῖν δεινὸς ἦν; ἀλλὰ

---

indicat aberrationem a re primaria et studium rerum alienarum, quod inest in vocabulis, quae sequuntur, τὴν ὑπερόριον λαλιὰν ἀγαπῶντες. Haec compositio apud antiquiores Graecos perrara est.

ἐνταυθοῖ] Hoc vocabulum pro ἐνταῦθα positum ex Atticis scriptoribus Elmsley ejicere et ubique ἐνταυθοῖ scribere voluit ad Aristoph. Acharn. v. 152. Sed recte se opposuit God. Stallbaum ad Plat. Phileb. p. 23. Sexcenta optimorum scriptorum loca contra omnes Mss. mutanda forent, si quis parere vellet Elmsleyi imperio.

15. οὐκ ἂν πολύ τι καταδεὴς εἴη] Sc. ἕτερος, ᾧ ἂν τὴν τύχην τὴν Φιλίππου τις περιθείη. Sententia, etiam si hic in calumniam dicatur, non tamen abhorret a veritate. Quo enim major est hominis potestas, et quo major locus, quem tenet in civitate, eo magis ceteri obstupescunt illius dictis et factis, et quem privatum vix ulla attentione dignantur, eum, si forte ad altiora evectus fuerit, admirantur et deum nominant.

μνημονικόν τις αὐτόν φησιν εἶναι; καὶ γὰρ ἕτεροι] Aut haec sana non sunt, aut quae antecesserunt. Nam eadem Philippo virtus jam tribuebatur. Omnium minime placet Reiskii suspicio, μνημονικὸν

Φιλοκράτης ὁ μεθ' ἡμῶν δεινότερος. λόγον τίς φησιν ἐμοὶ καταλιπεῖν ὑπὲρ Ἀμφιπόλεως; ἀλλ' οὔτ' ἂν ὑμῖν ὁ ῥήτωρ οὗτος, οὔτ' ἂν ἐμοὶ λόγου μεταδοίη. ταῦτα μὲν οὖν λῆρός ἐστιν, ἔφη, ἐγὼ δὲ ψήφισμα γράφω, καὶ τῷ κήρυκι σπείσασθαι [βούλομαι] τῷ παρὰ Φιλίππου ἥκοντι, καὶ τοῖς μέλλουσι παρ' αὐτοῦ δεῦρο ἰέναι πρέσβεσι, καὶ τοὺς πρυτάνεις, ἐπειδὰν ἥκωσιν οἱ πρέσβεις, ἐκκλησίαν ἐπὶ δύο ἡμέρας ποιεῖν, μὴ μόνον ὑπὲρ εἰρήνης, ἀλλὰ καὶ περὶ συμμαχίας, καὶ τοὺς πρέσβεις ἡμᾶς, εἰ δοκοῦμεν ἄξιοι εἶναι, ἐπαινέσαι, καὶ καλέσαι ἐπὶ δεῖπνον εἰς τὸ πρυτανεῖον εἰς αὔριον. ὅτι δ' ἀληθῆ λέγω, λάβε μοι τὰ

---

mutandum esse in συμποτικὸν, et quod sequitur συμπιεῖν in πιεῖν. Melius Marklandus ἡγεμονικόν: quae virtus sane Philippo abjudicari non potest. Sed illius nullam mentionem a quoquam legatorum factam esse videmus, nec ea in ejusmodi legatione admodum conspici poterat. Quod fortasse ipse sentiens Marklandus alteram addit opinionem, haec verba esse subdititia. Et seclusissem ea, nisi vitium in antecedentibus inesse possit, et ibi delendum sit μνημονικὸς καὶ, ut primum Demosthenes de sola δεινότητι locutus sit, ad quam solam responsio ἀλλ' οὐκ ἐμοὶ aptior est, quam si utriusque virtutis et μνημονικοῦ et δεινότητος meminerit.

ἀλλ' οὔτ' ἂν ὑμῖν ὁ ῥήτωρ οὗτος οὔτ' ἂν ἐμοὶ λόγου μεταδοίη] Reiskio videtur post οὗτος desiderari τῆς οὐσίας. Nec ego diffiteor, in utroque membro necessario mihi diversam rei notionem intelligendam videri. Num autem in primo substantivum elapsum sit, an Demosthenes ipse id cuique ex λόγου supplendum reliquerit, quid libuerit, id non decernam.

ψήφισμα γράφω, καὶ τῷ κήρυκι σπείσασθαι [βούλομαι] τῷ παρὰ Φιλίππου ἥκοντι] Βούλομαι ut insititium uncis inclusi, non quod omnino adesse non possit, sed quod desit in optimis codd. Mead. Harl. Helmst. Vienn. Sic etiam paullo post Wolfius sine caussa contra libros addidit κελεύειν in καὶ κελεύειν τοὺς πρυτάνεις. In ψήφισμα γράφω et locutionibus idem denotantibus jussum jam inest. Infra c. 38. ἔπεμψεν ἐπιστολὴν Φίλιππος, ἐξιέναι πάσῃ τῇ δυνάμει, βοηθήσοντας τοῖς δικαίοις, ubi Wolfius item conjecit ἐξιέναι κελεύων. Ctes. 19. ψήφισμα νικᾷ Δημοσθένης, ἐν ᾧ γράφει, μὴ μόνον ὑπὲρ τῆς εἰρήνης ἀλλὰ καὶ συμμαχίας ὑμᾶς βουλεύσασθαι. et sic saepe.

ψηφίσματα, ἵνα εἰδῆτε, ὦ ἄνδρες, καὶ τὴν ἀνωμαλίαν αὐτοῦ, καὶ τὸν φθόνον, καὶ τὴν τῶν πραγμάτων μετὰ Φιλοκράτους κοινωνίαν, καὶ τὸ ἦθος ὡς ἐπίβουλον καὶ ἄπιστον. κάλει δέ μοι καὶ τοὺς συμπρέσβεις, καὶ τὰς μαρτυρίας αὐτῶν ἀνάγνωθι, [καὶ τὰ ψηφίσματα τὰ Δημοσθένους.] „Ψηφισμα Δημοσθενους." Οὐ τοίνυν μόνον ταῦτα ἔγραψεν, ἀλλὰ καὶ μετὰ ταῦτα ἐν τῇ βουλῇ εἶπε, θέαν εἰς τὰ Διονύσια κατανεῖμαι τοῖς πρέσβεσιν, ἐπειδὰν ἥκωσι, τοῖς Φιλίππου. λέγε καὶ τοῦτο τὸ ψήφισμα. „Ψηφισμα Δημοσθένους." ἀνάγνωθι δὴ καὶ τὴν τῶν συμπρέσβεων μαρτυρίαν, ἵν' εἰδῆτε, ὦ Ἀθηναῖοι, ὅτι Δημοσθένης οὐχ ὑπὲρ τῆς πόλεως εἰπεῖν δύναται, ἀλλ' ἐπὶ τοὺς συσσίτους καὶ ὁμοσπόνδους μελετᾷ. Μαρτυρια. 16. Τὴν μὲν τοίνυν κοινωνίαν τῶν ὑπὲρ τῆς εἰρήνης πράξεων, οὐκ ἐμὴν καὶ Φιλοκράτους, ἀλλὰ Δημοσθένους καὶ Φιλοκράτους εὑρίσκετε, καὶ τὰς πίστεις τῶν εἰρημένων ἱκανὰς ὑμῖν οἴομαι παρεσχῆσθαι. τῶν μὲν γὰρ ἀπηγγελμένων ὑμεῖς ἐστέ μοι μάρτυρες· τῶν δὲ ἐν Μακεδονίᾳ ῥηθέντων, καὶ τῶν κατὰ τὴν πορείαν ἡμῖν συμβάντων, τοὺς συμπρέσβεις ὑμῖν μάρτυρας παρεσχόμην· τῆς δὲ ὑπὸ Δημοσθένους ἀρτίως εἰρημένης κατηγορίας ἠκούσατε καὶ μέμνησθε, ἧς τὴν ἀρχὴν ἐποιήσατο ἀπὸ τῆς δημηγορίας, ἣν εἶπον περὶ τῆς εἰρήνης. πάντα δὲ ἐν τῷ μέρει τούτῳ τῆς κατηγορίας ἐψευσμένος,

---

[καὶ τὰ ψηφίσματα τὰ Δημοσθένους,]] Tayloro censente haec verba ut spuria uncis inclusi. Modo dixerat λάβε μοι τὰ ψηφίσματα, et vel ipsa vel quae sequuntur in nonnullis Mss. desunt, aut minio ad marginem picta.

μελετᾷ] Omne studium intendit, diligenter se exercet.

16. εὑρίσκετε] Sic dedi ex Coisl. Mead. Harl. Helmst. pro vulgato εὑρήσετε. Rem Aeschines ponit praesentem et certam.

παρεσχῆσθαι] Sic Bern. Regg. 1. 2. Helmst. Vienn., quae non est librariorum aberratio; sed vulgatum παρασχέσθαι, ut vulgarius, substitutum.

ἐπὶ τῷ καιρῷ τούτῳ δεινῶς ἐσχετλίασε. τοὺς γὰρ λόγους τούτους ἐναντίον φησὶ τῶν πρέσβεων λέγεσθαι, οὓς ἔπεμψαν πρὸς ἡμᾶς οἱ Ἕλληνες, μεταπεμφθέντες ὑπὸ τοῦ δήμου, ἵνα κοινῇ καὶ πολεμοῖεν, εἰ δέοι, Φιλίππῳ μετὰ Ἀθηναίων, καὶ τῆς εἰρήνης, εἰ τοῦτο εἶναι δοκοίη συμφέρον, μετέχοιεν. σκέψασθε δὴ πράγματος μεγάλου κλοπὴν, καὶ δεινὴν ἀναισχυντίαν ἀνθρώπου. τῶν γὰρ πρέσβεων, οὓς ἐξεπέμψατε εἰς τὴν Ἑλλάδα, ἔτι τοῦ πολέμου πρὸς Φίλιππον ἡμῖν ἐνεστηκότος, οἱ μὲν χρόνοι τῆς αἱρέσεως, ὅτε ἐξεπέμφθησαν, καὶ τὰ τῶν πρεσβευσάντων ὀνόματα, ἐν τοῖς δημοσίοις ἀναγέγραπται γράμμασι· τὰ δὲ σώματα αὐτῶν ἐστὶν οὐκ ἐν Μακεδονίᾳ, ἀλλ' Ἀθήνησι· ταῖς δὲ ξενικαῖς πρεσβείαις ἡ βουλὴ τὰς εἰς τὸν δῆμον προσόδους προβουλεύει. οὗτος δὲ ἐφεστάναι παρὰ τῶν Ἑλλήνων φησὶ πρεσβείας. παρελθὼν τοίνυν, Δημόσθενες, ἐπὶ τὸ βῆμα τοῦτο, ἐν τῷ ἐμῷ λόγῳ, εἰπὲ πόλεως ἧστινος βούλει τῶν

ἐν τῷ καιρῷ τούτῳ] In hoc momento, nempe quod dixisse me in ista δημηγορίᾳ calumniatur. Δεινῶς σχετλιάζειν improbissimum se praestare.

μεταπεμφθέντες] Per legatos invitati. Videtur lusus inesse cum antecedente ἔπεμψαν.

πράγματος μεγάλου κλοπὴν] Fallaciam in re gravi. Sic verbum κλέπτειν saepe ponitur fallere clandestinis commentis. Cf. L. Bosii Obsvv. Critt. p. 102.

ἀνθρώπου] Marklandus more suo conjecit τἀνθρώπου. Cf. supra c. 4.

εἰς τὸν δῆμον προσόδους] Reiskius nimis est scrupulosus, quum pro εἰς restituere velit πρός. Quamquam haec praepositio usitatior, tamen εἰς saepe locutionibus motum indicantibus jungitur, etiam si nomen personam denotet, praesertim si locus respiciatur, ubi homines sunt. Cf. Intpp. ad Greg. Cor. p. 46. sqq.

ἐν τῷ ἐμῷ λόγῳ] Ut temporis spatium ei concedam, quod meae defensioni constitutum est. Forma in ea re solemnis est ἐν τῷ ἐμῷ ὕδατι. Scholiastes Luciani ad Pisc. T. I. p. 579. Ἰστέον, ὅτι οἱ Ἀθήνησι δικασταὶ ἐπέχειν βουλόμενοι τὰς ἀπεράντους φλυαρίας τῶν ῥητό-

Ἑλληνίδων τοὔνομα, ἐξ ἧς ἀφῖχθαι τότε φὴς τοὺς πρέσβεις, καὶ τὰ προβουλεύματα αὐτῶν ἐκ τοῦ βουλευτηρίου δὸς ἀναγνῶναι, καὶ τοὺς Ἀθηναίων κάλει πρέσβεις, οὓς ἐξέπεμψαν ἐπὶ τὰς πόλεις, μάρτυρας· κἂν παρεῖναι, καὶ μὴ ἀποδημεῖν, ὅτε ἡ πόλις τὴν εἰρήνην ἐποιεῖτο, μαρτυρήσωσιν, ἢ τὰς πρὸς τὴν βουλὴν αὐτῶν προσόδους καὶ τὰ ψηφίσματα ἂν παράσχῃ, ἐν ᾧ σὺ φὴς ὄντα χρόνῳ, καταβαίνω, καὶ θανάτου τιμῶμαι. 17. ἀνάγνωθι δὴ καὶ τὸ τῶν συμμάχων δόγμα τί λέγει. ἐν ᾧ διαῤῥήδην γέγραπται, ἐπειδὴ βουλεύεται ὁ δῆμος ὁ Ἀθηναίων ὑπὲρ εἰρήνης πρὸς Φίλιππον, οἱ δὲ πρέσβεις οὔπω παρεισιν, οὓς ἐξέπεμψεν ὁ δῆμος εἰς τὴν Ἑλλάδα, παρακαλοῦντας τὰς πόλεις ὑπὲρ τῆς ἐλευθερίας τῶν Ἑλλήνων, δεδόχθαι τοῖς συμμάχοις,

---

ρων, ὑδρίας ὕδατος ἐπλήρουν καὶ διά τινὸς διατρήματος παρεῖχον τῷ ὕδατι ἔκροιαν καὶ ἐν ἀρχῇ τῆς ἀφέσεως τοῦ κρουνίσκου ἐκέλευον τὸν ῥήτορα λέγεσθαι, ἄχρις ἂν τὸ πᾶν ἐκρύῃ· ἅτε δὴ οὖν πρὸς τὸ μέτρον τοῦ ὕδατος τὸν λόγον ποιούμενοι, συνέτεμνον καὶ ἄκοντες τὴν δημηγορίαν· ὅθεν παροιμία· μὴ λέγε ἐν τῷ ἐμῷ ὕδατι. Vas, in quod infundebatur aqua, *κλέψυδρα* appellabatur; et qua ratione aqua inter litigantes distributa fuerit, cognosces ex Ctes. 63.

τὰ προβουλεύματα αὐτῶν] Nempe exterarum civitatum legatis primum ad Senatum aditus dabatur; is autem, cognitis mandatis eorum atque epistolis, perscripto probuleumate in concionem eos producebat; ibi populus et quae illi attulissent, et quid Senatus censuisset, edocebatur; oratores consilia populo proponebant; qui optimum suasisse videbatur, in ejus sententiam psephisma conscriptum legatis pro responso dabatur. Schömann de com. Athen. p. 283.

17. *τὸ τῶν συμμάχων δόγμα*] C. 17. init. nominatur *τὸ τῶν συνέδρων δόγμα.* De synedris jam supra c. 9. laudavi glossographos. Res, quae hic respicitur, haec erat. Quando exterae civitates *συμμαχίαν* inirent cum Atheniensibus, legatos singulae Athenas mittebant, qui *σύνεδροι* appellabantur et conjuncti *συνέδριον*, senatum *τῶν συμμάχων*, constituebant; qui auspiciis senatus Atheniensis, quae communem rem attingebant, deliberabant. Quod igitur tunc temporis *συνέδριον* erat Athenis, auctoritate *τῆς βουλῆς* hoc *δόγμα* sciscebat, quod vel *δόγμα τῶν συμμάχων* vel *δόγμα τῶν συνέδρων* appellari potest, quoniam *σύνεδροι* nomine *συμμάχων* agebant.

ἐπειδὰν ἐπιδημήσωσιν οἱ πρέσβεις, καὶ τὰς πρεσβείας ἀπαγγείλωσιν Ἀθηναίοις καὶ τοῖς συμμάχοις, προγράψαι τοὺς πρυτάνεις ἐκκλησίας δύο κατὰ τοὺς νόμους. ἐν δὲ ταύταις βουλεύσασθαι περὶ τῆς εἰρήνης Ἀθηναίους. ὅ, τι δ' ἂν βουλεύσηται ὁ δῆμος, τοῦτ' εἶναι κοινὸν δόγμα τῶν συμμάχων. 17. *ἀνάγνωθι δή μοι τὸ τῶν συνέδρων δόγμα.* „*Δογμα συνεδρων.*" *παραναγνωθι δή μοι καὶ τὸ τοῦ Δημοσθένους ψήφισμα, ἐν ᾧ κελεύει τοὺς πρυτάνεις μετὰ τὰ Διονύσια τὰ ἐν ἄστει, καὶ τὴν ἐν Διονύσου ἐκκλησίαν, προγράψαι δύο ἐκκλησίας, τὴν μὲν, τῇ ὀγδόῃ ἐπὶ δέκα, τὴν δὲ τῇ ἐνάτῃ ἐπὶ δέκα, ὁρίζων τὸν χρόνον, καὶ προϋφαιρῶν τὰς ἐκκλησίας, πρὶν ἐπιδημῆσαι τοὺς ἀπὸ τῶν Ἑλλήνων πρέσβεις. καὶ τὸ μὲν τῶν*

καὶ τοῖς συμμάχοις] Taylor haec delenda censet, ut temere iterata ex antecedente *δεδόχθαι τοῖς συμμάχοις*. Sed recte monet Reiskius, intelligendos esse *συνέδρους*, Athenis ex sociis civitatibus commorantes.

προγράψαι δύο ἐκκλησίας] *Προγράφειν* est verbum proprium ratione *ἐκκλησιῶν*, quod optime illustravit Hemsterhusius ad Lucian. Necyomant. 19. T. I. p. 482: Adde Schömann l. l. p. 58.

ἐν Διονύσου] Sc. *θεάτρῳ*. In hoc enim theatro post Bacchanalia postridie Pandiorum, quae statim post Bacchanalia Elaphebolionis d. XIV celebrabantur, de rebus ad festum pertinentibus agendum erat cum populo. Legem, qua id jubebatur, affert Demosthenes *κατὰ Μειδ.* p. 517. Cf. Schömann. l. l. p. 56.

τῇ ὀγδόῃ ἐπὶ δέκα] Atheniensis mensis plenus, triginta dies continens, in tres decadas (*δεχήμερα*) dividebatur. Prima decas appellabatur *μηνὸς ἱσταμένου, ἀρχομένου μηνὸς*, secunda *μεσοῦντος*, tertia *μηνὸς φθίνοντος, λήγοντος, παυσαμένου*. Secundae decadis dies sic notabantur, ut v. c. undecimus dies mensis, non solum *πρώτη μεσοῦντος*, sed etiam *πρώτη ἐπὶ δέκα* nominaretur, et sic porro *δευτέρα, τρίτη ἐπὶ δέκα* cet. Tertiae autem decadis nomen habebant *μηνὸς φθίνοντος* cet. vel *ἐπ' εἰκάδι, μετ' εἰκάδα, μετ' εἰκοστήν*. Ecclesiae igitur illae habendae erant decimo octavo et nono die Elaphebolionis.

προϋφαιρῶν τὰς ἐκκλησίας] I. e. tempus earum ita constituens, ut legati nondum potuerint rediisse.

συμμάχων δόγμα κελεύει, ᾧ συνειπεῖν καὶ ἐγὼ ὁμολογῶ,
ὑπὲρ τῆς εἰρήνης μόνον ὑμᾶς βουλεύσασθαι, Δημοσθένης
δὲ καὶ περὶ συμμαχίας κελεύει. λέγε αὐτοῖς τὸ ψήφισμα.
„Ψήφισμα Δημοσθένους.“ Τῶν μὲν ψηφισμάτων ἀμφο-
τέρων, ὦ Ἀθηναῖοι, ἠκούσατε, ἐφ' ὧν ἐξελέγχεται Δημο-
σθένης τὰς ἀποδημούσας πρεσβείας ἐπιδημεῖν φάσκων,
καὶ βουλομένων ὑμῶν ἀκροάσασθαι, τὸ τῶν συμμάχων
ἄκυρον πεποιηκὼς δόγμα. οἱ μὲν γὰρ ἀπεφήναντο, ἀνα-
μεῖναι τὴν πόλιν τὰς Ἑλληνικὰς πρεσβείας. Δημοσθένης
δὲ οὐ λόγῳ μόνον κεκώλυκε περιμεῖναι, ὁ πάντων αἴσχιστα
καὶ τάχιστα μετατιθέμενος, ἀλλ' ἔργῳ καὶ ψηφίσματι
προςτάξας ἤδη βουλεύεσθαι. 18. εἴρηκε δέ, ὡς ἐν τῇ 63
προτέρᾳ τῶν ἐκκλησιῶν δημηγορήσαντος Φιλοκράτους,
ὕστερον ἀναβὰς ἐγὼ κατεμεμψάμην, ἣν εἰςηγεῖτο ἐκεῖνος
εἰρήνην, αἰσχρὰν καὶ τῆς πόλεως ἀναξίαν εἶναι φάσκων·
τῇ δ' ὑστεραίᾳ πάλιν ἡμέρᾳ ὡς συναγορεύοιμι τῷ Φιλο-
κράτει, καὶ τὴν ἐκκλησίαν εὐημερήσας ᾠχόμην φέρων,
πείθων ὑμᾶς μὴ προςέχειν τοῖς τὰς μάχας καὶ τὰ τῶν
προγόνων λέγουσι τρόπαια, μηδὲ τοῖς Ἕλλησι βοηθεῖν.
ὅτι δ' οὐ ψευδῆ μόνον κατηγόρηκεν, ἀλλὰ καὶ ἀδύνατα
γενέσθαι, μίαν μὲν αὐτὸς καθ' αὑτοῦ Δημοσθένης μαρ-
τυρίαν μαρτυρήσει, ἑτέραν δὲ πάντες Ἀθηναῖοι, καὶ ὑμεῖς
ἀναμιμνησκόμενοι, τρίτην δέ, ἡ τῆς αἰτίας ἀπιθανότης,

---

18. τῇ δὲ ὑστεραίᾳ – ἡμέρᾳ] Plerumque apud Atticos προτεραίᾳ et ὑστεραίᾳ sine ἡμέρᾳ ponitur. Non tamen dubitandum, quin etiam addi possit: quod antiquorum et recentiorum nonnulli noluerunt. Vide Bosii Ell. p. 175. sqq. Sch.

καὶ τὴν ἐκκλησίαν εὐημερήσας ᾠχόμην φέρων] Nescio quomodo Wolfius dicere possit φέρων sibi πλεονάζειν videri. τὴν ἐκκλησίαν est accusativus pendens e φέρων. ᾠχόμην φέρων est celeriter abripui. εὐημερήσας forte fortuna, durch einen Glücksfall.

ἀπιθανότης] Substantivum hac aetate parum usitatum. Apud seriores saepe legitur, πιθανότης etiam apud antiquiores. Multa

τετάρτην δὲ, ἀνὴρ ἀξιόλογος, εἷς τῶν πολιτευομένων, Ἀμύντωρ, ᾧ τὸ ψήφισμα ἐπεδείξατο Δημοσθένης, καὶ ἀνεκοινοῦτο, εἰ δώσει τῷ γραμματεῖ, οὐχ ὑπεναντίον, ἀλλὰ ταυτὸν γεγραφὼς Φιλοκράτει. καί μοι λάβε τὸ ψήφισμα καὶ ἀνάγνωθι τὸ Δημοσθένους. ἐν ᾧ φαίνεται γεγραφὼς τῇ μὲν προτέρᾳ τῶν ἐκκλησιῶν συμβουλεύειν τὸν βουλόμενον, τῇ δ᾽ ὑστεραίᾳ τοὺς προέδρους ἐπιψηφίζειν τὰς γνώμας, λόγον δὲ μὴ προτιθέναι, ἐν ᾧ με φησὶν αὐτὸς Φιλοκράτει συνειπεῖν. „Ψηφισμα Δημοσθενους.“ Οὐκοῦν τὰ μὲν ψηφίσματα, ὡς ἐξ ἀρχῆς ἐγράφη, μένει· οἱ δὲ τῶν συκοφαντῶν λόγοι πρὸς τοὺς ἐφ᾽ ἡμέραν καιροὺς λέγονται. ποιεῖ δέ μου τὴν δημηγορίαν ὁ μὲν κατήγορος διαιρετὴν, τὸ ψήφισμα δὲ καὶ τἀληθὲς μίαν. λόγων γὰρ μὴ προτεθέντων εἰς τὴν ὑστέραν ἐκκλησίαν, τῶν δε προέ-

---

derivata in οτης, quae minime reprehendenda sunt, seriore demum tempore in usum sunt recepta. Vide Lobeck ad Phryn. p. 350. sq.

εἰ δώσει τῷ γραμματεῖ] Δώσει pro δῷ dedi ex Helmst. Nec enim existimo, εἰ cum subjunctivo aoristi poni, nisi in verbis αὐθυποσπάκτοις. vide Bastii epist. Crit. p. 126. s. Hic autem futurum indicativi perquam aptum, quod restituendum etiam paullo post, etsi eo loco omnes Mss. conspirent in δῷ. Schömann l. l. p. 119. ad γραμματεῖ supplendum censet δώσοντι aut προσοίσοντι aut aliud ejusmodi participium. Nam conscriptum Psephisma tradendum erat proedris, qui, assumtis in consilium nomophylacibus, examinarent, essetne quid in eo, quod aut legibus aut bono publico contrarium videretur.

ἐπιψηφίζειν τὰς γνώμας] Ἐπιψηφίζειν est προέδρων seu potius ἐπιστάτου, qui populum in suffragia mittit. ἐπιψηφίζεσθαι autem populi, qui de re proposita it in suffragium. Recentiores quidem interdum utramque formam perperam confundunt. Apud antiquos hujus confusionis dubia sunt exempla. C. 19. ἐπιψηφίσασθαι de proedris non est, ut Reiskius opinatur s u f f r a g i a c o l l i g e r e, sed s u f f r a g i o s u o c o m p r o b a r e. Προτιθέναι λόγον item est proedrorum et epistatae, quum iis, qui jus habent, facultas datur, de re proposita sententiam suam dicendi et confirmandi. πῶς οὖν, φησὶν, ἔμελλον συνηγορεῖν Φιλοκράτει, μὴ οὔσης ἀδείας διὰ τὸ ψήφισμα; Schol.

δρων κωλυόντων, οὐκ ἐνῆν εἰπεῖν. τί δὲ καὶ βουλόμενος, εἴπερ ταὐτὰ Φιλοκράτει προειλόμην, κατηγόρουν μὲν πρὸς τοὺς αὐτοὺς ἀκροατὰς τῇ προτεραίᾳ, μίαν δὲ νύκτα διαλιπὼν συνηγόρουν; πότερα ὡς αὐτὸς εὐδοξήσων, ἢ ὡς ἐκεῖνον ὠφελήσων; ἀλλ' οὐκ ἐνῆν ἀμφότερα ἐξενέγκασθαι, ἀλλ' ὑπὸ πάντων μὲν μισεῖσθαι, περαίνειν δὲ μηδέν. 19. κάλει δέ μοι καὶ Ἀμύντορα Ἐρχιέα, καὶ τὴν μαρτυρίαν ἀνάγνωθι. ὃν δὲ τρόπον γέγραπται, προδιελθεῖν ὑμῖν βούλομαι. μαρτυρεῖ Ἀμύντωρ Αἰσχίνῃ, ὅτε ἐβουλεύετο ὁ δῆμος περὶ τῆς συμμαχίας τῆς πρὸς Φίλιππον κατὰ τὸ Δημοσθένους ψήφισμα, ἐν τῇ ὑστεραίᾳ τῶν δυοῖν ἐκκλησιῶν, ὅτε οὐκ ἐξῆν δημηγορεῖν, ἀλλὰ τὰ περὶ τῆς εἰρήνης καὶ συμμαχίας ψηφίσματα ἐπεψηφίζετο, ἐν ταύτῃ τῇ ἐκκλησίᾳ, Δημοσθένην ἐπιδείξασθαι παρακαθήμενον ψήφισμα γεγραμμένον ἑαυτῷ, ἐφ' ᾧ ἐπεγέγραπτο Δημοσθένους ὄνομα, καὶ ἀνακοινοῦσθαι αὐτὸν αὐτῷ, εἰ δώσει τῷ γραμματεῖ, ἐπιψηφίσασθαι τοῖς προέδροις· καὶ εἶναι ἐφ' οἷς τὴν εἰρήνην καὶ τὴν συμμαχίαν ἔγραψε ποιεῖσθαι· ἐπὶ τοῖς αὐτοῖς, ἐφ' οἷσπερ καὶ Φιλοκράτης ἐγεγράφει. κάλει δέ μοι Ἀμύντορα Ἐρχιέα, καὶ ἐκκλήτευε, ἐὰν μὴ θέλῃ δεῦρο παρεῖναι. „Μαρτυρία Ἀμύντορος." Τῆς μὲν μαρτυρίας ἀκηκόατε, ὦ ἄνδρες. σκοπεῖτε δή, πότερα ὑμῖν δοκεῖ Δημοσθένης ἐμοῦ κατηγορηκέναι, ἢ τοὐναντίον αὐτὸς ἑαυτοῦ ἐπὶ τῷ ἐμῷ ὀνόματι. 20. Ἐπειδὴ δὲ καὶ τὴν δημηγορίαν μου διαβάλλει, καὶ τοὺς εἰρημένους λόγους ἐπὶ τὰ χείρω διεξέρχεται, οὔτ' ἂν ἀποδραίην, οὔτ' ἂν τῶν τότ' εἰρημένων οὐδὲν ἀρνησαίμην, οὔτ' αἰσχύνομαι ἐπ' αὐτοῖς, ἀλλὰ καὶ [μᾶλλον] φιλοτιμοῦμαι. βούλομαι δ' ὑμᾶς

---

19. Ἐρχιέα] Harpocration: Ἐρχεία δῆμός ἐστι τῆς Αἰγηΐδος φυλῆς. ὁ δημότης Ἐρχιεύς. Vide Meursium.

δώσει] Vide c. anteced.

ἐκκλήτευε] Vide ad Tim. c. 20.

20. ἀλλὰ καὶ [μᾶλλον] φιλοτιμοῦμαι.] Μᾶλλον, quod abest a

καὶ τοὺς καιροὺς ὑπομνῆσαι ἐν οἷς ἐβουλεύεσθε. τὴν μὲν γὰρ ἀρχὴν ἐποιησάμεθα τοῦ πολέμου ὑπὲρ Ἀμφιπόλεως. συνέβαινέ δ' ἡμῶν τὸν στρατηγὸν ἐν τῷ πολέμῳ ἑβδομήκοντα μὲν καὶ πέντε πόλεις συμμαχίδας ἀποβεβληκέναι, ἃς ἐκτήσατο Τιμόθεος ὁ Κόνωνος, καὶ κατέστησεν εἰς τὸ συνέδριον (προῄρημαι γὰρ παῤῥησιάσασθαι καὶ ἐλευθέρως ἅμα καὶ τἀληθῆ εἰπὼν σῴζεσθαι, ἐὰν δὲ ἄλλως πως γινώσκητε, καταχρήσασθέ μοι· οὐ γὰρ ἂν ὑποστειλαίμην·) ἑκατὸν δὲ καὶ πεντήκοντα τριήρεις λαβόντα ἐκ τῶν νεωρίων

Mead. Harl. Helmst., uncis inclusi. Eo deleto, sententia fit fortior et confidentior.

τὸν στρατηγὸν] Χάρητα dicit. Uterque oratorum, Demosthenes in excusando homine, Aeschines in vituperando, rhetorico more rem auxerunt. Vituperatio tamen veritati propior, si fides est iis, quae Athenaeus ex historico, Theopompo, nobis servavit L. XII c. 43. p. 532. Cas. quae afferenda sunt. Καὶ περὶ τοῦ Χάρητος ἐν τῇ πέμπτῃ καὶ τεσσερακοστῇ (τῶν Φιλιππικῶν) φησίν· Χάρητός τε νωθροῦ τε ὄντος καὶ βραδέος, καὶ δὴ καὶ πρὸς τρυφὴν ζῶντος· ὅς γε περιήγετο στρατευόμενος αὐλητρίδας καὶ ψαλτρίας καὶ πεζὰς ἑταίρας. καὶ τῶν χρημάτων τῶν εἰσφερομένων εἰς τὸν πόλεμον, τὰ μὲν εἰς ταύτην τὴν ὕβριν ἀνήλισκε, τὰ δ' αὐτοῦ κατέλιπεν Ἀθήνησι, τοῖς τε λέγουσι καὶ τὰ ψηφίσματα γράφουσι, καὶ τῶν ἰδιωτῶν τοῖς δικαζομένοις, ἐφ' οἷς ὁ δῆμος ὁ τῶν Ἀθηναίων οὐδεπώποτε ἠγανάκτησεν, ἀλλὰ διὰ ταῦτα καὶ μᾶλλον αὐτὸν ἠγάπα τῶν πολιτῶν, καὶ δικαίως. (εἰκότως potius dicendum erat, quam δικαίως, quod ironicum) καὶ γὰρ αὐτοὶ τοῦτον τὸν τρόπον ἔζων, ὥστε τοὺς μὲν νέους ἐν τοῖς αὐλητριδίοις καὶ παρὰ ταῖς ἑταίραις διατρίβειν· τοὺς δὲ μικρὸν ἐκείνων πρεσβυτέρους ἔν τε τοῖς κύβοις καὶ ταῖς τοιαύταις ἀσωτίαις· τὸν δὲ δῆμον ἅπαντα πλείω καταναλίσκειν εἰς τὰς κοινὰς ἑστιάσεις καὶ κρεανομίας, ἤπερ εἰς τὴν τῆς πόλεως διοίκησιν. Etiam Diodorus Siculus ejus virtutes imperatorias nihili aestimat.

Τιμόθεος ὁ Κόνωνος] Hujus egregii viri laudes ex intimo animi sensu celebrat Isocrates περὶ ἀντιδόσεως et in ea quidem parte, quam in Italiae bibliothecis inventam primus edidit Mystoxides; (erudito totam orationem commentario illustravit noster Casp. Orellius) inde a p. 66. Or.

καταχρήσασθε] Cf. Tim. 49.

θρων κωλυόντων, οὐκ ἐνῆν εἰπεῖν. τί δὲ καὶ βουλόμενος, εἴπερ ταῦτα Φιλοκράτει προειλόμην, κατηγόρουν μὲν πρὸς τοὺς αὐτοὺς ἀκροατὰς τῇ προτεραίᾳ, μίαν δὲ νύκτα διαλιπὼν συνηγόρουν; πότερα ὡς αὐτὸς εὐδοξήσων, ἢ ὡς ἐκεῖνον ὠφελήσων; ἀλλ' οὐκ ἐνῆν ἀμφότερα ἐξενέγκασθαι, ἀλλ' ὑπὸ πάντων μὲν μισεῖσθαι, περαίνειν δὲ μηδέν. 19. κάλει δέ μοι καὶ Ἀμύντορα Ἐρχιέα, καὶ τὴν μαρτυρίαν ἀνάγνωθι. ὃν δὲ τρόπον γέγραπται, προδιελθεῖν ὑμῖν βούλομαι. μαρτυρεῖ Ἀμύντωρ Αἰσχίνῃ, ὅτε ἐβουλεύετο ὁ δῆμος περὶ τῆς συμμαχίας τῆς πρὸς Φίλιππον κατὰ τὸ Δημοσθένους ψήφισμα, ἐν τῇ ὑστεραίᾳ τῶν δυοῖν ἐκκλησιῶν, ὅτε οὐκ ἐξῆν δημηγορεῖν, ἀλλὰ τὰ περὶ τῆς εἰρήνης καὶ συμμαχίας ψηφίσματα ἐπεψηφίζετο, ἐν ταύτῃ τῇ ἐκκλησίᾳ, Δημοσθένην ἐπιδείξασθαι παρακαθήμενον ψήφισμα γεγραμμένον ἑαυτῷ, ἐφ' ᾧ ἐπεγέγραπτο Δημοσθένους ὄνομα, καὶ ἀνακοινοῦσθαι αὐτὸν αὐτῷ, εἰ δώσει τῷ γραμματεῖ, ἐπιψηφίσασθαι τοῖς προέδροις· καὶ εἶναι ἐφ' οἷς τὴν εἰρήνην καὶ τὴν συμμαχίαν ἔγραψε ποιεῖσθαι· ἐπὶ τοῖς αὐτοῖς, ἐφ' οἷσπερ καὶ Φιλοκράτης ἐγεγράφει. κάλει δέ μοι Ἀμύντορα Ἐρχιέα, καὶ ἐκκλήτευε, ἐὰν μὴ θέλῃ δευρὶ παρεῖναι. „Μάρτυρια Ἀμυντορος." Τῆς μὲν μαρτυρίας ἀκηκόατε, ὦ ἄνδρες. σκοπεῖτε δή, πότερα ὑμῖν δοκεῖ Δημοσθένης ἐμοῦ κατηγορηκέναι, ἢ τοὐναντίον αὐτὸς ἑαυτοῦ ἐπὶ τῷ ἐμῷ ὀνόματι. 20. Ἐπειδὴ δὲ καὶ τὴν δημηγορίαν μου διαβάλλει, καὶ τοὺς εἰρημένους λόγους ἐπὶ τὰ χείρω διεξέρχεται, οὔτ' ἂν ἀποδραίην, οὔτ' ἂν τῶν τότ' εἰρημένων οὐδὲν ἀρνησαίμην, οὔτ' αἰσχύνομαι ἐπ' αὐτοῖς, ἀλλὰ καὶ [μᾶλλον] φιλοτιμοῦμαι. βούλομαι δ' ὑμᾶς

---

19. Ἐρχιέα] Harpocration: Ἐρχεία δῆμός ἐστι τῆς Αἰγῇδος φυλῆς. ὁ δημότης Ἐρχιεύς. Vide Meursium.

δώσει] Vide c. anteced.

ἐκκλήτευε] Vide ad Tim. c. 20.

20. ἀλλὰ καὶ [μᾶλλον] φιλοτιμοῦμαι.] Μᾶλλον, quod abest a

καὶ τοὺς καιροὺς ὑπομνῆσαι ἐν οἷς ἐβουλεύεσθε. τὴν μὲν γὰρ ἀρχὴν ἐποιησάμεθα τοῦ πολέμου ὑπὲρ Ἀμφιπόλεως. συνέβαινέ δ᾽ ἡμῶν τὸν στρατηγὸν ἐν τῷ πολέμῳ ἑβδομήκοντα μὲν καὶ πέντε πόλεις συμμαχίδας ἀποβεβληκέναι, ἃς ἐκτήσατο Τιμόθεος ὁ Κόνωνος, καὶ κατέστησεν εἰς τὸ συνέδριον (προῄρημαι γὰρ παῤῥησιάσασθαι καὶ ἐλευθέρως ἅμα καὶ τἀληθῆ εἰπὼν σώζεσθαι, ἐὰν δὲ ἄλλως πως γινώσκητε, καταχρήσασθέ μοι· οὐ γὰρ ἂν ὑποστειλαίμην·) ἑκατὸν δὲ καὶ πεντήκοντα τριήρεις λαβόντα ἐκ τῶν νεωρίων

Mead. Harl. Helmst., uncis inclusi. Eo deleto, sententia fit fortior et confidentior.

τὸν στρατηγὸν] Χάρητα dicit. Uterque oratorum, Demosthenes in excusando homine, Aeschines in vituperando, rhetorico more rem auxerunt. Vituperatio tamen veritati propior, si fides est iis, quae Athenaeus ex historico, Theopompo, nobis servavit L. XII c. 43. p. 532. Cas. quae afferenda sunt. Καὶ περὶ τοῦ Χάρητος ἐν τῇ πέμπτῃ καὶ τεσσερακοστῇ (τῶν Φιλιππικῶν) φησίν· Χάρητός τε νωθροῦ τε ὄντος καὶ βραδέος, καὶ δὴ καὶ πρὸς τρυφὴν ζῶντος· ὅς γε περιήγετο στρατευόμενος αὐλητρίδας καὶ ψαλτρίας καὶ πεζὰς ἑταίρας. καὶ τῶν χρημάτων τῶν εἰςφερομένων εἰς τὸν πόλεμον, τὰ μὲν εἰς ταύτην τὴν ὕβριν ἀνήλισκε, τὰ δ᾽ αὐτοῦ κατέλιπεν Ἀθήνησι, τοῖς τε λέγουσι καὶ τὰ ψηφίσματα γράφουσι, καὶ τῶν ἰδιωτῶν τοῖς δικαζομένοις, ἐφ᾽ οἷς ὁ δῆμος ὁ τῶν Ἀθηναίων οὐδεπώποτε ἠγανάκτησεν, ἀλλὰ διὰ ταῦτα καὶ μᾶλλον αὐτὸν ἠγάπα τῶν πολιτῶν, καὶ δικαίως. (εἰκότως potius dicendum erat, quam δικαίως, quod ironicum) καὶ γὰρ αὐτοὶ τοῦτον τὸν τρόπον ἔζων, ὥςτε τοὺς μὲν νέους ἐν τοῖς αὐλητριδίοις καὶ παρὰ ταῖς ἑταίραις διατρίβειν· τοὺς δὲ μικρὸν ἐκείνων πρεσβυτέρους ἔν τε τοῖς κύβοις καὶ ταῖς τοιαύταις ἀσωτίαις· τὸν δὲ δῆμον ἅπαντα πλείω καταναλίσκειν εἰς τὰς κοινὰς ἑστιάσεις καὶ κρεανομίας, ἤπερ εἰς τὴν τῆς πόλεως διοίκησιν. Etiam Diodorus Siculus ejus virtutes imperatorias nihili aestimat.

Τιμόθεος ὁ Κόνωνος] Hujus egregii viri laudes ex intimo animi sensu celebrat Isocrates περὶ ἀντιδόσεως et in ea quidem parte, quam in Italiae bibliothecis inventam primus edidit Mystoxides; (erudito totam orationem commentario illustravit noster Casp. Orellius) inde a p. 66. Or.

καταχρήσασθε] Cf. Tim. 49.

τῶν φίλων καὶ ἑταίρων τοῦ Χάρητος, ἐκπλεῖν τὴν ταχίστην Ἀντίοχον τὸν ἐπὶ τῶν ὑπηρετικῶν, καὶ ζητεῖν τὸν στρατηγὸν τὸν ἐπὶ τῇ δυνάμει τεταγμένον, κἂν ἐντύχῃ που, φράζειν, ὅτι θαυμάζει ὁ δῆμος ὁ τῶν Ἀθηναίων, εἰ Φίλιππος μὲν ἐπὶ Χεῤῥόννησον τὴν Ἀθηναίων πορεύεται, Ἀθηναῖοι δὲ οὐδὲ τὸν στρατηγὸν ἴσασιν, οὐδὲ τὴν δύναμιν, ἣν ἐξέπεμψαν, ὅπου ἐστίν. ὅτι δ᾽ ἀληθῆ λέγω, ἀκούσατε τοῦ ψηφίσματος, καὶ ἀναμνήσθητε τοῦ πολέμου, καὶ τὴν εἰρήνην, τοὺς τῶν πολέμων ἡγεμόνας, ἀλλὰ μὴ τοὺς πρέσβεις ἀπαιτεῖτε. „ Ψηφισμα δημου ο Κηφισοφων ειπεν."

21. Οἱ μὲν καιροὶ τῆς πόλεως τοιοῦτοι ἦσαν, ἐν οἷς οἱ περὶ τῆς εἰρήνης ἐγένοντο λόγοι. ἀνιστάμενοι δὲ οἱ συντεταγμένοι ῥήτορες, περὶ μὲν τῆς σωτηρίας τῆς πόλεως οὐδὲν ἐνεχείρουν λέγειν, ἀποβλέπειν δὲ εἰς τὰ προπύλαια τῆς ἀκροπόλεως ἐκέλευον ἡμᾶς, καὶ τῆς ἐν Σαλαμῖνι πρὸς τὸν Πέρσην ναυμαχίας μεμνῆσθαι, καὶ τῶν τάφων τῶν προγόνων, καὶ τῶν τροπαίων. ἐγὼ δὲ ἁπάντων μὲν τούτων ἔφην δεῖν μεμνῆσθαι, μιμεῖσθαι μέντοι τὰς τῶν προγόνων εὐβουλίας, τὰ δὲ ἁμαρτήματα αὐτῶν καὶ τὴν ἄκαιρον φιλονεικίαν φυλάττεσθαι, τὴν μὲν ἐν Πλαταιαῖς πρὸς τοὺς

τὴν ταχίστην] Glossographi supplent βάδισιν. Scriptores ipsi interdum addunt ὁδόν. Vide Bos. Ell. p. 54. sq. Sch.

τὸν ἐπὶ τῶν ὑπηρετικῶν] Τὰ ὑπηρετικὰ sc. πλοῖα sunt naves actuariae, κέλητες, veloces, quarum usus est, si quid celeriter sit renuntiandum. Antiochus igitur erat ejusmodi navium praefectus.

21. οἱ συντεταγμένοι ῥήτορες] Oratores quasi ordine composito, quasi inter eos convenerit.

τὰ προπύλαια τῆς ἀκροπόλεως] Atrium, introitus arcis. Harpocration s. v. περὶ δὲ τῶν προπυλαίων τῆς ἀκροπόλεως, ὡς ἐπὶ Εὐθυμένους ἄρχοντος (Ol. 85, 3.) οἰκοδομεῖν ἤρξαντο Ἀθηναῖοι, Μνησικλέους ἀρχιτεκτονοῦντος, ἄλλοι τε ἱστορήκασι, καὶ Φιλόχορος ἐν τῇ τετάρτῃ. Ἡλιόδωρος δ᾽ ἐν πρώτῳ περὶ τῆς Ἀθήνησιν ἀκροπόλεως; μεθ᾽ ἕτερα καὶ ταῦτά φησιν· ἐν ἔτεσι μὲν πέντε παντελῶς ἐξεποιήθη, τάλαντα δὲ ἀνηλώθη δισχίλια δώδεκα· πέντε δὲ πύλας ἐποίησαν, δι᾽ ὧν εἰς τὴν ἀκρόπολιν εἰσίασιν.

Πέρσας πεζομαχίαν, καὶ τοὺς ἀγῶνας τοὺς περὶ Σαλαμῖνα, καὶ τὴν ἐν Μαραθῶνι μάχην, καὶ τὴν ἐπ' Ἀρτεμισίῳ ναυμαχίαν, καὶ τὴν Τολμίδου ζηλοῦν στρατηγίαν κελεύων, ὃς χιλίους ἐπιλέκτους ἔχων Ἀθηναίων διὰ μέσης Πελο-

---

ἐπ' Ἀρτεμισίῳ] Ad hoc Euboeae promontorium primo se Graecorum classis ei, quae Xerxe regnante Graeciam invasit, opposuit. Promontorium hoc nomen habebat, quia ibi templum erat *Ἀρτέμιδος*.

Τολμίδου] Diodorus Sic. L. XI. 84. narrat „ *Τολμίδης ὁ τεταγμένος ἐπὶ τῆς ναυτικῆς δυνάμεως, ὁμιλλώμενος πρὸς τὴν Μυρωνίδου ἀρετήν τε καὶ δόξαν ἀξιόλογόν τι κατεργάσασθαι. Διὸ καὶ κατ' ἐκείνους τοὺς καιροὺς μηδενὸς πρότερον πεπορθηκότος τὴν Λακωνικὴν παρεκάλεσε τὸν δῆμον δῃῶσαι τὴν τῶν Σπαρτιατῶν χώραν. ἐπηγγέλλετο δὲ χιλίους ὁπλίτας παραλαβὼν εἰς τὰς τριήρεις μετὰ τούτων πορθήσειν μὲν τὴν Λακωνικὴν, ταπεινώσειν δὲ τὴν τῶν Σπαρτιατῶν δόξαν. Συγχωρησάντων δὲ τῶν Ἀθηναίων, βουλόμενος λαθραίως πλείονας πολίτας ἐξαγαγεῖν, τεχνάζεταί τι τοιοῦτον. οἱ μὲν πολῖται διελάμβανον αὐτὸν καταλέξειν εἰς τὴν στρατιὰν τῶν νέων τοὺς ἀκμάζοντας ταῖς ἡλικίαις, καὶ τοῖς σώμασιν εὐρωστάτους. ὁ δὲ Τολμίδης σπεύδων μὴ μόνον τοὺς τεταγμένους χιλίους ἐξάγειν εἰς τὴν στρατιὰν, προσιὼν ἑκάστῳ τῶν νέων καὶ τῇ ῥώμῃ διαφερόντων ἔλεγεν, ὡς μέλλει καταλέγειν αὐτόν. κρεῖττον οὖν ἔφησεν ἐθελοντὴν στρατεύειν μᾶλλον ἢ διὰ τὸν κατάλογον ἀναγκασθῆναι δοκεῖν. ἐπεὶ δὲ πλέους τῶν τρισχιλίων τούτῳ λόγῳ συνέπεισεν ἐθελοντὶ ἀπογράφεσθαι, τοὺς δὲ λοιποὺς οὐκ ἔτι σπεύδοντας ἑώρα, τότε τοὺς ὡμολογημένους χιλίους κατέλεξεν ἐκ τῶν ἄλλων. ὡς δ' αὐτῷ καὶ τἄλλα τὰ πρὸς τὴν στρατείαν ἡτοίμαστο, πεντήκοντα μὲν τριήρεσιν ἀνήχθη καὶ τετρακισχιλίοις ὁπλίταις. καταπλεύσας δὲ τῆς Λακωνικῆς εἰς Μεθώνην, τοῦτο μὲν τὸ χωρίον εἷλε. τῶν δὲ Λακεδαιμονίων βοηθησάντων, ἀνέζευξε, καὶ παραπλεύσας εἰς τὸ Γύθιον, ἐπίνειον τῶν Λακεδαιμονίων, χειρωσάμενος δὲ καὶ ταύτην τὴν πόλιν, καὶ τὰ νεώρια τῶν Λακεδαιμονίων ἐμπρήσας, τὴν χώραν ἐδῄωσεν. ἐκεῖθεν δ' ἀναχθεὶς τῆς Κεφαληνίας εἰς Ζάκυνθον, ταύτην δὲ χειρωσάμενος καὶ πάσας τὰς ἐν Κεφαληνίᾳ πόλεις προσαγόμενος, εἰς τὸ πέραν διέπλευσε καὶ κατῆρεν εἰς Ναύπακτον. ὁμοίως δὲ καὶ ταύτην ἐξ ἐφόδου λαβὼν, κατῴκισεν εἰς ταύτην Μεσσηνίων τοὺς ἐπισήμους, ὑποσπόνδους ὑπὸ Λακεδαιμονίων ἀφεθέντας.*

ἐπιλέκτους] Pollux I, 76. *ἐρεῖς στρατιῶται ἐπίλεκτοι, ἔκκριτοι, πρόκριτοι, δόκιμοι, εὐδόκιμοι, ἀριστεῖς, λογάδες, ἀριστεύοντες, καταφρονοῦντες, λόγιμοι.*

συμμάχων δόγμα κελεύει, ᾧ συνειπεῖν καὶ ἐγὼ ὁμολογῶ,
ὑπὲρ τῆς εἰρήνης μόνον ὑμᾶς βουλεύσασθαι, Δημοσθένης
δὲ καὶ περὶ συμμαχίας κελεύει. λέγε αὐτοῖς τὸ ψήφισμα.
„Ψήφισμα Δημοσθένους.“ Τῶν μὲν ψηφισμάτων ἀμφο-
τέρων, ὦ Ἀθηναῖοι, ἠκούσατε, ὑφ' ὧν ἐξελέγχεται Δημο-
σθένης τὰς ἀποδημούσας πρεσβείας ἐπιδημεῖν φάσκων,
καὶ βουλομένων ὑμῶν ἀκροάσασθαι, τὸ τῶν συμμάχων
ἄκυρον πεποιηκὼς δόγμα. οἱ μὲν γὰρ ἀπεφήναντο, ἀνα-
μεῖναι τὴν πόλιν τὰς Ἑλληνικὰς πρεσβείας. Δημοσθένης
δὲ οὐ λόγῳ μόνον κεκώλυκε περιμεῖναι, ὁ πάντων αἴσχιστα
καὶ τάχιστα μετατιθέμενος, ἀλλ' ἔργῳ καὶ ψηφίσματι
προστάξας ἤδη βουλεύεσθαι. 18. εἴρηκε δὲ, ὡς ἐν τῇ 63
προτέρᾳ τῶν ἐκκλησιῶν δημηγορήσαντος Φιλοκράτους,
ὕστερον ἀναβὰς ἐγὼ κατεμεμψάμην, ἣν εἰσηγεῖτο ἐκεῖνος
εἰρήνην, αἰσχρὰν καὶ τῆς πόλεως ἀναξίαν εἶναι φάσκων·
τῇ δ' ὑστεραίᾳ πάλιν ἡμέρᾳ ὡς συναγορεύοιμι τῷ Φιλο-
κράτει, καὶ τὴν ἐκκλησίαν εὐημερήσας ᾠχόμην φέρων,
πείθων ὑμᾶς μὴ προσέχειν τοῖς τὰς μάχας καὶ τὰ τῶν
προγόνων λέγουσι τρόπαια, μηδὲ τοῖς Ἕλλησι βοηθεῖν.
ὅτι δ' οὐ ψευδῆ μόνον κατηγόρηκεν, ἀλλὰ καὶ ἀδύνατα
γενέσθαι, μίαν μὲν αὐτὸς καθ' αὑτοῦ Δημοσθένης μαρ-
τυρίαν μαρτυρήσει, ἑτέραν δὲ πάντες Ἀθηναῖοι, καὶ ὑμεῖς
ἀναμιμνησκόμενοι, τρίτην δὲ, ἡ τῆς αἰτίας ἀπιθανότης,

---

18. τῇ δὲ ὑστεραίᾳ - ἡμέρᾳ] Plerumque apud Atticos προτεραίᾳ et ὑστεραίᾳ sine ἡμέρᾳ ponitur. Non tamen dubitandum, quin etiam addi possit; quod antiquorum et recentiorum nonnulli noluerunt. Vide Bosii Ell. p. 175. sqq. Sch.

καὶ τὴν ἐκκλησίαν εὐημερήσας ᾠχόμην φέρων] Nescio quomodo Wolfius dicere possit φέρων sibi πλεονάζειν videri. τὴν ἐκκλησίαν est accusativus pendens e φέρων. ᾠχόμην φέρων est celeriter abripui. εὐημερήσας forte fortuna, durch einen Glücksfall.

ἀπιθανότης] Substantivum hac aetate parum usitatum. Apud seriores saepe legitur, πιθανότης etiam apud antiquiores. Multa

τετάρτην δὲ, ἀνὴρ ἀξιόλογος, εἷς τῶν πολιτευομένων, Ἀμύντωρ, ᾧ τὸ ψήφισμα ἐπεδείξατο Δημοσθένης, καὶ ἀνεκοινοῦτο, εἰ δώσει τῷ γραμματεῖ, οὐχ ὑπεναντίον, ἀλλὰ ταυτὸν γεγραφὼς Φιλοκράτει. καί μοι λάβε τὸ ψήφισμα καὶ ἀνάγνωθι τὸ Δημοσθένους. ἐν ᾧ φαίνεται γεγραφὼς τῇ μὲν προτέρᾳ τῶν ἐκκλησιῶν συμβουλεύειν τὸν βουλόμενον, τῇ δ᾽ ὑστεραίᾳ τοὺς προέδρους ἐπιψηφίζειν τὰς γνώμας, λόγον δὲ μὴ προτιθέναι, ἐν ᾧ με φησὶν αὐτὸς Φιλοκράτει συνειπεῖν. „Ψήφισμα Δημοσθένους.“ Οὐκοῦν τὰ μὲν ψηφίσματα, ὡς ἐξ ἀρχῆς ἐγράφη, μένει· οἱ δὲ τῶν συκοφαντῶν λόγοι πρὸς τοὺς ἐφ᾽ ἡμέραν καιροὺς λέγονται. ποιεῖ δέ μου τὴν δημηγορίαν ὁ μὲν κατήγορος διαιρετὴν, τὸ ψήφισμα δὲ καὶ τἀληθὲς μίαν. λόγων γὰρ μὴ προτεθέντων εἰς τὴν ὑστέραν ἐκκλησίαν, τῶν δε προέ-

---

derivata in ότης, quae minime reprehendenda sunt, seriore demum tempore in usum sunt recepta. Vide Lobeck ad Phryn. p. 350. sq.

εἰ δώσει τῷ γραμματεῖ] Δώσει pro δῷ dedi ex Helmst. Nec enim existimo, εἰ cum subjunctivo aoristi poni, nisi in verbis αὐθυποτάκτοις. vide Bastii epist. Crit. p. 126. s. Hic autem futurum indicativi perquam aptum, quod restituendum etiam paullo post, etsi eo loco omnes Mss. conspirent in δῷ. Schömann l. l. p. 119. ad γραμματεῖ supplendum censet δώσοντι aut προσοίσοντι aut aliud ejusmodi participium. Nam conscriptum Psephisma tradendum erat proedris, qui, assumtis in consilium nomophylacibus, examinarent, essetne quid in eo, quod aut legibus aut bono publico contrarium videretur.

ἐπιψηφίζειν τὰς γνώμας] Ἐπιψηφίζειν est προέδρων seu potius ἐπιστάτου, qui populum in suffragia mittit. ἐπιψηφίζεσθαι autem populi, qui de re proposita it in suffragium. Recentiores quidem interdum utramque formam perperam confundunt. Apud antiquos hujus confusionis dubia sunt exempla. C. 19. ἐπιψηφίσασθαι de proedris non est, ut Reiskius opinatur suffragia colligere, sed suffragio suo comprobare. Προτιθέναι λόγον item est proedrorum et epistatae, quum iis, qui jus habent, facultas datur, de re proposita sententiam suam dicendi et confirmandi. πῶς οὖν, φησὶν, ἔμελλον συνηγορεῖν Φιλοκράτει, μὴ οὔσης ἀδείας διὰ τὸ ψήφισμα; Schol.

δρων κωλυόντων, οὐκ ἐνῆν εἰπεῖν. τί δὲ καὶ βουλόμενος, εἴπερ ταῦτα Φιλοκράτει προειλόμην, κατηγόρουν μὲν πρὸς τοὺς αὐτοὺς ἀκροατὰς τῇ προτεραίᾳ, μίαν δὲ νύκτα διαλιπὼν συνηγόρουν; πότερα ὡς αὐτὸς εὐδοξήσων, ἢ ὡς ἐκεῖνον ὠφελήσων; ἀλλ' οὐκ ἐνῆν ἀμφότερα ἐξενέγκασθαι, ἀλλ' ὑπὸ πάντων μὲν μισεῖσθαι, περαίνειν δὲ μηδέν. 19. κάλει δέ μοι καὶ Ἀμύντορα Ἐρχιέα, καὶ τὴν μαρτυρίαν ἀνάγνωθι. ὃν δὲ τρόπον γέγραπται, προδιελθεῖν ὑμῖν βούλομαι. μαρτυρεῖ Ἀμύντωρ Αἰσχίνῃ, ὅτε ἐβουλεύετο ὁ δῆμος περὶ τῆς συμμαχίας τῆς πρὸς Φίλιππον κατὰ τὸ Δημοσθένους ψήφισμα, ἐν τῇ ὑστεραίᾳ τῶν δυοῖν ἐκκλησιῶν, ὅτε οὐκ ἐξῆν δημηγορεῖν, ἀλλὰ τὰ περὶ τῆς εἰρήνης καὶ συμμαχίας ψηφίσματα ἐπεψηφίζετο, ἐν ταύτῃ τῇ ἐκκλησίᾳ, Δημοσθένην ἐπιδείξασθαι παρακαθήμενον ψήφισμα γεγραμμένον ἑαυτῷ, ἐφ' ᾧ ἐπεγέγραπτο Δημοσθένους ὄνομα, καὶ ἀνακοινοῦσθαι αὐτὸν αὐτῷ, εἰ δώσει τῷ γραμματεῖ, ἐπιψηφίσασθαι τοῖς προέδροις· καὶ εἶναι ἐφ' οἷς τὴν εἰρήνην καὶ τὴν συμμαχίαν ἔγραψε ποιεῖσθαι· ἐπὶ τοῖς αὐτοῖς, ἐφ' οἷσπερ καὶ Φιλοκράτης ἐγεγράφει. κάλει δέ μοι Ἀμύντορα Ἐρχιέα, καὶ ἐκκλήτευε, ἐὰν μὴ θέλῃ δευρὶ παρεῖναι. „Μάρτυρια Ἀμυντορος.“ Τῆς μὲν μαρτυρίας ἀκηκόατε, ὦ ἄνδρες. σκοπεῖτε δή, πότερα ὑμῖν δοκεῖ Δημοσθένης ἐμοῦ κατηγορηκέναι, ἢ τοὐναντίον αὐτὸς ἑαυτοῦ ἐπὶ τῷ ἐμῷ ὀνόματι. 20. Ἐπειδὴ δὲ καὶ τὴν δημηγορίαν μου διαβάλλει, καὶ τοὺς εἰρημένους λόγους ἐπὶ τὰ χείρω διεξέρχεται, οὔτ' ἂν ἀποδραίην, οὔτ' ἂν τῶν τότ' εἰρημένων οὐδὲν ἀρνησαίμην, οὔτ' αἰσχύνομαι ἐπ' αὐτοῖς, ἀλλὰ καὶ [μᾶλλον] φιλοτιμοῦμαι. βούλομαι δ' ὑμᾶς

---

19. Ἐρχιέα] Harpocration: Ἐρχεία δῆμός ἐστι τῆς Αἰγῆΐδος φυλῆς. ὁ δημότης Ἐρχιεύς. Vide Meursium.

δώσει] Vide c. anteced.

ἐκκλήτευε] Vide ad Tim. c. 20.

20. ἀλλὰ καὶ [μᾶλλον] φιλοτιμοῦμαι.] Μᾶλλον, quod abest a

καὶ τοὺς καιροὺς ὑπομνῆσαι ἐν οἷς ἐβουλεύεσθε. τὴν μὲν γὰρ ἀρχὴν ἐποιησάμεθα τοῦ πολέμου ὑπὲρ Ἀμφιπόλεως. συνέβαινέ δ' ἡμῶν τὸν στρατηγὸν ἐν τῷ πολέμῳ ἑβδομήκοντα μὲν καὶ πέντε πόλεις συμμαχίδας ἀποβεβληκέναι, ἃς ἐκτήσατο Τιμόθεος ὁ Κόνωνος, καὶ κατέστησεν εἰς τὸ συνέδριον (προῄρημαι γὰρ παῤῥησιάσασθαι καὶ ἐλευθέρως ἅμα καὶ τἀληθῆ εἰπὼν σώζεσθαι, ἐὰν δὲ ἄλλως πως γινώσκητε, καταχρήσασθέ μοι· οὐ γὰρ ἂν ὑποστειλαίμην·) ἑκατὸν δὲ καὶ πεντήκοντα τριήρεις λαβόντα ἐκ τῶν νεωρίων

Mead. Harl. Helmst., uncis inclusi. Eo deleto, sententia fic fortior et confidentior.

τὸν στρατηγὸν] Χάρητα dicit. Uterque oratorum, Demosthenes in excusando homine, Aeschines in vituperando, rhetorico more rem auxerunt. Vituperatio tamen veritati propior, si fides est iis, quae Athenaeus ex historico, Theopompo, nobis servavit L. XII c. 43. p. 532. Cas. quae afferenda sunt. Καὶ περὶ τοῦ Χάρητος ἐν τῇ πέμπτῃ καὶ τεσσερακοστῇ (τῶν Φιλιππικῶν) φησίν· Χάρητός τε νωθροῦ τε ὄντος καὶ βραδέος, καὶ δὴ καὶ πρὸς τρυφὴν ζῶντος· ὅς γε περιήγετο στρατευόμενος αὐλητρίδας καὶ ψαλτρίας καὶ πεζὰς ἑταίρας. καὶ τῶν χρημάτων τῶν εἰσφερομένων εἰς τὸν πόλεμον, τὰ μὲν εἰς ταύτην τὴν ὕβριν ἀνήλισκε, τὰ δ' αὐτοῦ κατέλιπεν Ἀθήνησι, τοῖς τε λέγουσι καὶ τὰ ψηφίσματα γράφουσι, καὶ τῶν ἰδιωτῶν τοῖς δικαζομένοις, ἐφ' οἷς ὁ δῆμος ὁ τῶν Ἀθηναίων οὐδεπώποτε ἠγανάκτησεν, ἀλλὰ διὰ ταῦτα καὶ μᾶλλον αὐτὸν ἠγάπα τῶν πολιτῶν, καὶ δικαίως. (εἰκότως potius dicendum erat, quam δικαίως, quod ironicum) καὶ γὰρ αὐτοὶ τοῦτον τὸν τρόπον ἔζων, ὥστε τοὺς μὲν νέους ἐν τοῖς αὐλητριδίοις καὶ παρὰ ταῖς ἑταίραις διατρίβειν· τοὺς δὲ μικρὸν ἐκείνων πρεσβυτέρους ἔν τε τοῖς κύβοις καὶ ταῖς τοιαύταις ἀσωτίαις· τὸν δὲ δῆμον ἅπαντα πλείω καταναλίσκειν εἰς τὰς κοινὰς ἑστιάσεις καὶ κρεανομίας, ἤπερ εἰς τὴν τῆς πόλεως διοίκησιν. Etiam Diodorus Siculus ejus virtutes imperatorias nihili aestimat.

Τιμόθεος ὁ Κόνωνος] Hujus egregii viri laudes ex intimo animi sensu celebrat Isocrates περὶ ἀντιδόσεως et in ea quidem parte, quam in Italiae bibliothecis inventam primus edidit Mystoxides; (erudito totam orationem commentario illustravit noster Casp. Orellius) inde a p. 66. Or.

καταχρήσασθε] Cf. Tim. 49.

τῶν φίλων καὶ ἑταίρων τοῦ Χάρητος, ἐκπλεῖν τὴν ταχίστην Ἀντίοχον τὸν ἐπὶ τῶν ὑπηρετικῶν, καὶ ζητεῖν τὸν στρατηγὸν τὸν ἐπὶ τῇ δυνάμει τεταγμένον, κἂν ἐντύχῃ που, φράζειν, ὅτι θαυμάζει ὁ δῆμος ὁ τῶν Ἀθηναίων, εἰ Φίλιππος μὲν ἐπὶ Χεῤῥόννησον τὴν Ἀθηναίων πορεύεται, Ἀθηναῖοι δὲ οὐδὲ τὸν στρατηγὸν ἴσασιν, οὐδὲ τὴν δύναμιν, ἣν ἐξέπεμψαν, ὅπου ἐστίν. ὅτι δ' ἀληθῆ λέγω, ἀκούσατε τοῦ ψηφίσματος, καὶ ἀναμνήσθητε τοῦ πολέμου, καὶ τὴν εἰρήνην, τοὺς τῶν πολέμων ἡγεμόνας, ἀλλὰ μὴ τοὺς πρέσβεις ἀπαιτεῖτε. „Ψηφισμα δημου ο Κηφισοφων ειπεν."

21. Οἱ μὲν καιροὶ τῆς πόλεως τοιοῦτοι ἦσαν, ἐν οἷς οἱ περὶ τῆς εἰρήνης ἐγένοντο λόγοι. ἀνιστάμενοι δὲ οἱ συντεταγμένοι ῥήτορες, περὶ μὲν τῆς σωτηρίας τῆς πόλεως οὐδὲν ἐνεχείρουν λέγειν, ἀποβλέπειν δὲ εἰς τὰ προπύλαια τῆς ἀκροπόλεως ἐκέλευον ἡμᾶς, καὶ τῆς ἐν Σαλαμῖνι πρὸς τὸν Πέρσην ναυμαχίας μεμνῆσθαι, καὶ τῶν τάφων τῶν προγόνων, καὶ τῶν τροπαίων. ἐγὼ δὲ ἁπάντων μὲν τούτων 75
ἔφην δεῖν μεμνῆσθαι, μιμεῖσθαι μέντοι τὰς τῶν προγόνων εὐβουλίας, τὰ δὲ ἁμαρτήματα αὐτῶν καὶ τὴν ἄκαιρον φιλονεικίαν φυλάττεσθαι, τὴν μὲν ἐν Πλαταιαῖς πρὸς τοὺς

τὴν ταχίστην] Glossographi supplent βάδισιν. Scriptores ipsi interdum addunt ὁδόν. Vide Bos. Ell. p. 54. sq. Sch.

τὸν ἐπὶ τῶν ὑπηρετικῶν] Τὰ ὑπηρετικὰ sc. πλοῖα sunt naves actuariae, κέλητες, veloces, quarum usus est, si quid celeriter sit renuntiandum. Antiochus igitur erat ejusmodi navium praefectus.

21. οἱ συντεταγμένοι ῥήτορες] Oratores quasi ordine composito, quasi inter eos convenerit.

τὰ προπύλαια τῆς ἀκροπόλεως] Atrium, introitus arcis. Harpocration s. v. περὶ δὲ τῶν προπυλαίων τῆς ἀκροπόλεως, ὡς ἐπὶ Εὐθυμένους ἄρχοντος (Ol. 85, 3.) οἰκοδομεῖν ἤρξαντο Ἀθηναῖοι, Μνησικλέους ἀρχιτεκτονοῦντος, ἄλλοι τε ἱστορήκασι, καὶ Φιλόχορος ἐν τῇ τετάρτῃ. Ἡλιόδωρος δ' ἐν πρώτῳ περὶ τῆς Ἀθήνησιν ἀκροπόλεως; μεθ' ἕτερα καὶ ταῦτά φησιν· ἐν ἔτεσι μὲν πέντε παντελῶς ἐξεποιήθη, τάλαντα δὲ ἀνηλώθη δισχίλια δώδεκα· πέντε δὲ πύλας ἐποίησαν, δι' ὧν εἰς τὴν ἀκρόπολιν εἰσίασιν.

Πέρσας πεζομαχίαν, καὶ τοὺς ἀγῶνας τοὺς περὶ Σαλαμῖνα, καὶ τὴν ἐν Μαραθῶνι μάχην, καὶ τὴν ἐπ' Ἀρτεμισίῳ ναυμαχίαν, καὶ τὴν Τολμίδου ζηλοῦν στρατηγίαν κελεύων, ὃς χιλίους ἐπιλέκτους ἔχων Ἀθηναίων διὰ μέσης Πελο-

---

ἐπ' Ἀρτεμισίῳ] Ad hoc Euboeae promontorium primo se Graecorum classis ei, quae Xerxe regnante Graeciam invasit, opposuit. Promontorium hoc nomen habebat, quia ibi templum erat Ἀρτέμιδος.

Τολμίδου] Diodorus Sic. L. XI. 84. narrat „ Τολμίδης ὁ τεταγμένος ἐπὶ τῆς ναυτικῆς δυνάμεως, ὁμιλλώμενος πρὸς τὴν Μυρωνίδου ἀρετήν τε καὶ δόξαν ἀξιόλογόν τι κατεργάσασθαι. Διὸ καὶ κατ' ἐκείνους τοὺς καιροὺς μηδενὸς πρότερον πεπορθηκότος τὴν Λακωνικὴν παρεκάλεσε τὸν δῆμον δῃῶσαι τὴν τῶν Σπαρτιατῶν χώραν. ἐπηγγέλλετο δὲ χιλίους ὁπλίτας παραλαβὼν εἰς τὰς τριήρεις μετὰ τούτων πορθήσειν μὲν τὴν Λακωνικὴν, ταπεινώσειν δὲ τὴν τῶν Σπαρτιατῶν δόξαν. Συγχωρησάντων δὲ τῶν Ἀθηναίων, βουλόμενος λαθραίως πλείονας πολίτας ἐξαγαγεῖν, τεχνάζεταί τι τοιοῦτον. οἱ μὲν πολῖται διελάμβανον αὐτὸν καταλέξειν εἰς τὴν στρατιὰν τῶν νέων τοὺς ἀκμάζοντας ταῖς ἡλικίαις, καὶ τοῖς σώμασιν εὐρωστάτους. ὁ δὲ Τολμίδης σπεύδων μὴ μόνον τοὺς τεταγμένους χιλίους ἐξάγειν εἰς τὴν στρατιὰν, προσιὼν ἑκάστῳ τῶν νέων καὶ τῇ ῥώμῃ διαφερόντων ἔλεγεν, ὡς μέλλει καταλέγειν αὐτόν. κρεῖττον οὖν ἔφησεν ἐθελοντὴν στρατεύειν μᾶλλον ἢ διὰ τὸν κατάλογον ἀναγκασθῆναι δοκεῖν. ἐπεὶ δὲ πλέους τῶν τρισχιλίων τούτῳ λόγῳ συνέπεισεν ἐθελοντὶ ἀπογράφεσθαι, τοὺς δὲ λοιποὺς οὐκ ἔτι σπεύδοντας ἑώρα, τότε τοὺς ὡμολογημένους χιλίους κατέλεξεν ἐκ τῶν ἄλλων. ὡς δ' αὐτῷ καὶ τἄλλα τὰ πρὸς τὴν στρατείαν ἡτοίμαστο, πεντήκοντα μὲν τριήρεσιν ἀνήχθη καὶ τετρακισχιλίοις ὁπλίταις. καταπλεύσας δὲ τῆς Λακωνικῆς εἰς Μεθώνην, τοῦτο μὲν τὸ χωρίον εἷλε. τῶν δὲ Λακεδαιμονίων βοηθησάντων, ἀνέζευξε, καὶ παραπλεύσας εἰς τὸ Γύθιον, ἐπίνειον τῶν Λακεδαιμονίων, χειρωσάμενος δὲ καὶ ταύτην τὴν πόλιν, καὶ τὰ νεώρια τῶν Λακεδαιμονίων ἐμπρήσας, τὴν χώραν ἐδῄωσεν. ἐκεῖθεν δ' ἀναχθεὶς τῆς Κεφαληνίας εἰς Ζάκυνθον, ταύτην δὲ χειρωσάμενος καὶ πάσας τὰς ἐν Κεφαληνίᾳ πόλεις προσαγόμενος, εἰς τὸ πέραν διέπλευσε καὶ κατῆρεν εἰς Ναύπακτον. ὁμοίως δὲ καὶ ταύτην ἐξ ἐφόδου λαβὼν, κατῴκισεν εἰς ταύτην Μεσσηνίων τοὺς ἐπισήμους, ὑποσπόνδους ὑπὸ Λακεδαιμονίων ἀφεθέντας.

ἐπιλέκτους] Pollux I, 76. ἐρεῖς στρατιῶται ἐπίλεκτοι, ἔκκριτοι, πρόκριτοι, δόκιμοι, εὐδόκιμοι, ἀριστεῖς, λογάδες, ἀριστεύοντες, καταριστεύοντες, λόγιμοι.

ποννήσου, πολεμίας οὔσης, ἀδεῶς διεξῄει· τὴν δ' εἰς Σικελίαν στρατείαν φυλάττεσθαι, ἣν ἐξέπεμψαν Λεοντίνοις βοηθήσοντες, τῶν πολεμίων ἐμβεβληκότων εἰς τὴν χώραν ἡμῶν, καὶ Δεκελείας ἐπιτετειχισμένης, καὶ τὴν τελευταίαν ἀβουλίαν φυλάξασθαι, ὅθ' ἡττημένοι τῷ πολέμῳ, προκαλουμένων αὐτοὺς Λακεδαιμονίων εἰρήνην ἄγειν, ἔχοντας πρὸς τῇ Ἀττικῇ Λῆμνον καὶ Ἴμβρον καὶ Σκύρον, καὶ δημοκρατουμένους κατὰ τοὺς νόμους, τούτων μὲν οὐδὲν ἤθελον ποιεῖν, πολεμεῖν δὲ προῃροῦντο, οὐ δυνάμενοι· Κλεοφῶν δὲ ὁ λυροποιὸς, ὃν πολλοὶ δεδεμένον ἐν πέδαις ἐμνημόνευον, παρεγγραφεὶς αἰσχρῶς πολίτης, καὶ διεφθαρκὼς νομῇ χρημάτων τὸν δῆμον, ἀποκόψειν ἠπείλει μαχαίρᾳ τὸν τράχηλον, εἴ τις εἰρήνης μνησθήσεται· τελευτῶντες δὲ εἰς τοῦτο τὴν πόλιν προήγαγον, ὥστε ἀγαπητῶς τὴν εἰρήνην ποιήσασθαι, ἀποστάντας πάντων, καὶ τὰ τείχη καθελόντας, καὶ παραδεξαμένους φρουρὰν, καὶ Λακεδαιμόνιον ἁρμοστὴν, καὶ τῆς δημοκρατίας τοῖς τριά-

---

Δεκελείας ἐπιτετειχισμένης] Lacedaemonii Deceliam in Attica munierunt belli Peloponnesiaci anno 19. Ol. 91, 3. Vide Thucyd. VII, 19.

τελευταίαν ἀβουλίαν] Intelligit calamitates, quas dominatione *τῶν τριάκοντα* passi sunt Athenienses,

Κλεοφῶν δὲ] Scholiastes ad Aristoph. Ran. v. 1580. *ὡς Ἀριστοτέλης φησὶ μετὰ τὴν ἐν Ἀργινούσαις ναυμαχίαν, Λακεδαιμονίων βουλομένων ἐκ Δεκελείας ἀπιέναι, ἐφ' οἷς ἔχουσιν ἑκάτεροι, καὶ εἰρήνην ἄγειν, ἐπὶ τοῦ Καλλίου* (qui Archon erat Ol. 93, 3.), *Κλεοφῶν ἔπεισε τὸν δῆμον μὴ προσδέξασθαι, ἐλθὼν εἰς τὴν ἐκκλησίαν μεθύων καὶ θώρακα ἐνδεδυκὼς, οὐ φάσκων ἐπιτρέψειν, ἐὰν μὴ πάσας ἀφῶσι τὰς πόλεις οἱ Λακεδαιμόνιοι. Οὗτος δὲ ὁ Κλεοφῶν ὡς ξένος κωμῳδεῖται καὶ βάρβαρος.*

Λακεδαιμόνιον ἁρμοστὴν] Harpocration: *Ἁρμοσταὶ, οἱ ὑπὸ Λακεδαιμονίων εἰς τὰς ὑπηκόους πόλεις ἄρχοντες ἐκπεμπόμενοι.* Ulpianus ad Demosth. Lept. p. 67. ed W. *ἁρμοστὰς δὲ τοὺς ἐν ταῖς πόλεσιν ἄρχοντας τῶν Λακεδαιμονίων λέγει· ἐκάλουν δὲ αὐτοὺς οὕτω διὰ τὸ ἁρμόζειν τὰ ἤθη τῶν πολιτῶν τοῖς τῶν Λακεδαιμονίων.* De variis hujus vocabuli significationibus in re civili Spartiatarum diligenter exposuit Manso in libro, cujus copiam omnibus Graecarum rerum studiosis optamus: Sparta, T. I. p. 107. s.

κοντα ἀφεμένους, οἳ χιλίους καὶ πεντακοσίους τῶν πολιτῶν ἀκρίτους ἀπέκτειναν. 22. τὴν μὲν τοιαύτην ἀβουλίαν ὁμολογῶ παραγγέλλειν φυλάττεσθαι, τὰ δ' ὀλίγῳ πρότερον εἰρημένα μιμεῖσθαι. οὐ γὰρ παρὰ τῶν ἀλλοτρίων, ἀλλὰ παρὰ τοῦ πάντων οἰκειοτάτου ταῦτα ἐπυνθανόμην. Ἀτρόμητος γὰρ ὁ πατὴρ ὁ ἡμέτερος (ὃν σὺ λοιδορεῖς, οὔτ' εἰδὼς οὔτ' ἐπιδὼν τῆς ἑαυτοῦ ἡλικίας ὅστις ἦν, καὶ ταῦτα, ὦ Δημόσθενες, ἐκ τῶν νομάδων Σκυθῶν τὸ πρὸς μητρὸς γένος ὤν) ἔφυγε μὲν ἐπὶ τῶν τριάκοντα, συγκατήγαγε δὲ τὸν δῆμον. καὶ ὁ τῆς μητρὸς τῆς ἡμετέρας ἀδελφὸς, θεῖος δὲ ἡμέτερος, Κλεόβουλος ὁ Γλαύκου τοῦ Ἀχαρνέως υἱὸς, μετὰ Δημαινέτου τοῦ Βουζύγου, συγκατεναυμάχησε Χείλωνα, τὸν Λακεδαιμονίων ναύαρχον. ὥστε οἰκεῖά μοι καὶ συνήθη τὰ τῆς πόλεως ἀτυχήματα εἶναι τοῖς ὠσὶν ἀκούειν. Ἐπιτιμᾷς δέ μοι καὶ τὴν ἐν τοῖς μυρίοις ἐν Ἀρκαδίᾳ δημη-

---

ἀκρίτους] Sic dedi ex Harl. et Helmst. pro vulgato ἀκρίτως. Interdum in hac loquendi ratione a librariis adverbium perperam intrusum. Sed linguae ratio alterum postulat et plerumque optimi codd. praebent. Ctes. 80. οἳ πλείους ἢ χιλίους καὶ πεντακοσίους τῶν πολιτῶν ἀκρίτους ἀπέκτειναν, ubi Bern. ἀκρίτως. Haeret adverbium etiamnum in Isocr. Panath. 73. ἐξεῖναι τοῖς ἐφόροις ἀκρίτως ἀποκτεῖναι τοσούτους, ὅσους ἂν βουληθῶσιν. In aliis locis Coray ex Mss. correxit, etiam de conjectura, et jam ante H. Wolfius.

22. τῆς ἑαυτοῦ ἡλικίας ὅστις ἦν] Wolfius et Scaligerus in locutione offenderunt. Sed ἡλικία hic positum est pro ἡλικιῶται. Phrynichus p. 469. σοφώτατος τῆς ἡλικίας, ἀντὶ τοῦ τῶν ἡλικιωτῶν: ubi Lobeckius lectionis veritatem satis vindicavit.

ἀτυχήματα] Wolfius, probante Scaligero, malnit εὐτυχήματά τε καὶ ἀτυχήματα. Sed hoc additamento non opus esse, monet Reiskius. Quamquam enim utrumque recte ex antecedentibus probari possit, tamen in eo hic res vertitur, satis eum cognitas habuisse patriae calamitates earumque caussas, ut officium suum duxerit monere, ut ab his similibusque caveatur.

ἐν τοῖς μυρίοις] Ex tot hominibus constabat commune Arcadum consilium, penes quod erat, de summa republica deliberare. Sed tumultu inter Arcadas exorto, armis controversia disceptabatur. Diodorus Sic. L. XV. 58. ss.

γορίαν καὶ πρεσβείαν, καὶ μεταβεβλῆσθαί με φῂς, αὐτὸς ὢν ἀνδραποδώδης καὶ μονονοὺκ ἐστιγμένος αὐτόμολος. ἐγὼ δ᾽ ἐν μὲν τῷ πολέμῳ συνίστην, καθ᾽ ὅσον ἦν δυνατὸς, Ἀρκάδας καὶ τοὺς ἄλλους Ἕλληνας ἐπὶ Φίλιππον, οὐδενὸς δ᾽ ἀνθρώπου ἐπικουροῦντος τῇ πόλει, ἀλλὰ τῶν μὲν, περιορώντων ὅ, τι συμβήσεται, τῶν δὲ, συνεπιστρατευόντων, τῶν δ᾽ ἐν τῇ πόλει ῥητόρων χορηγὸν ταῖς καθ᾽ ἡμέραν δαπάναις τὸν πόλεμον ποιουμένων, ὁμολογῶ συμβουλεῦσαι τῷ δήμῳ διαλύσασθαι πρὸς Φίλιππον, καὶ τὴν εἰρήνην συνθέσθαι, ἣν σὺ νῦν αἰσχρὰν νομίζεις, οὐδεπώποθ᾽ ἁψάμενος ὅπλων. ἐγὼ δὲ ταύτην εἶναι πολλῷ φημὶ καλλίω τοῦ πολέμου. χρὴ δὲ, ὦ Ἀθηναῖοι, τοὺς μὲν πρέσβεις θεωρεῖν πρὸς τὸν καιρὸν, καθ᾽ ὃν ἐπρέσβευον, τοὺς δὲ στρατηγοὺς πρὸς τὰς δυνάμεις, ὧν ἡγοῦντο. καὶ γὰρ τὰς εἰκόνας ἵστατε, καὶ τὰς προεδρίας, καὶ τοὺς στεφάνους, καὶ τὰς ἐν τῷ Πρυτανείῳ σιτήσεις δίδοτε, οὐ τοῖς τὴν εἰρήνην ἀπαγγείλασιν, ἀλλὰ τοῖς τὴν μάχην νικήσασιν. εἰ δ᾽ ἔσονται τῶν πολέμων αἱ μὲν εὔθυναι τῶν πρέσβεων, αἱ δὲ δωρεαὶ τῶν στρατηγῶν, ἀσπόνδους καὶ ἀκηρύκτους τοὺς πολέμους ποιήσετε· οὐδεὶς γὰρ θελήσει πρεσβεύειν. 23. Περὶ δὲ Κερσοβλέπτου, καὶ Φωκέων, καὶ τῶν ἄλλων, ἃ πρὸς τούτοις διαβέβλημαι, ὑπόλοιπον εἰπεῖν. ἐγὼ γὰρ, ὦ Ἀθηναῖοι, καὶ ἐν τῇ προτέρᾳ, καὶ ἐν τῇ ὑστέρᾳ πρεσβείᾳ, ἃ μὲν εἶδον, ὡς εἶδον, ὑμῖν ἀπήγγειλα, ἃ δ᾽ ἤκουον, ὡς ἤκουσα. τίνα οὖν ἦν ἑκάτερα τούτων,

---

καθ᾽ ὅσον ἦν δυνατὸς] Sic scripsi ex Mead. et Helmst. pro vulgato δυνατόν. Minus arroganter loquitur Aeschines: tantum se fecisse, quantum in ipso fuerit. Vulgatae hanc arrogantiam aliquis imputaverit, Aeschinem tantum fecisse, quantum nemo alius fecisset. Infra c. 32. πότερον οὖν ὁ μηδὲν προθυμηθεὶς ἐργάσασθαι ἀγαθὸν, δίκαιός ἐστιν εὐδοξεῖν, ἢ ὁ μηδὲν, ὧν ἦν δυνατὸς, ἐλλείπων;

τὰς εἰκόνας cet.] Omnes hi honores erant olim rari et tenues, ob eamque rem gloriosi; postea autem effusi atque obsoleti.

ἀσπόνδους καὶ ἀκηρύκτους] Vide supra c. 10.

ἅ τε εἶδον, ἅ τε ἤκουσα περὶ Κερσοβλέπτου; εἶδον μὲν καὶ ἐγὼ καὶ οἱ συμπρέσβεις ἅπαντες ὁμηρεύοντα τὸν υἱὸν τὸν Κερσοβλέπτου παρὰ Φιλίππῳ· καὶ ἔτι καὶ νῦν τοῦθ' οὕτως ἔχει. συνέβαινε δ', ὅτε τὴν προτέραν ἐπρεσβεύομεν πρεσβείαν, ἐμοὶ μὲν μετὰ τῶν συμπρέσβεων ἀπιέναι δεῦρο, Φιλίππῳ δ' ἐπὶ Θρᾴκην ἐξιέναι, πρὸς δ' ἡμᾶς ὡμολογηκέναι, ἕως ἂν ὑμεῖς περὶ τῆς εἰρήνης βουλεύσησθε, μὴ ἐπιβήσεσθαι μεθ' ὅπλων Χερρονήσου. ἐν ἐκείνῃ μὲν οὖν τῇ ἡμέρᾳ, ᾗ ὑμεῖς ἐψηφίσασθε τὴν εἰρήνην, οὐδεμία μνεία ἐγένετο περὶ Κερσοβλέπτου. ἤδη δὲ ἡμῶν κεχειροτονημένων ἐπὶ τοὺς ὅρκους, οὔπω δὲ ἀπηρκότων ἐπὶ τὴν ὑστέραν πρεσβείαν, ἐκκλησία γίνεται, ἐν ᾗ Δημοσθένης, ὁ νυνὶ κατηγορῶν ἐμοῦ, λαγχάνει προεδρεύειν. ἐν δὲ ταύτῃ τῇ ἐκκλησίᾳ Κριτόβουλος ὁ Λαμψακηνὸς εἶπε παρελθὼν, ὅτι πέμψειε μὲν αὐτὸν Κερσοβλέπτης, ἀξιοῖ δὲ ἀποδοῦναι τοὺς ὅρκους τοῖς Φιλίππου πρέσβεσιν, καὶ συναναγραφῆναι Κερσοβλέπτην ἐν τοῖς ὑμετέροις συμμάχοις. ῥηθέντων δὲ τῶν λόγων τούτων Ἀλεξίμαχος ὁ Πήληξ δίδωσιν ἀναγνῶναι ψήφισμα τοῖς προέδροις, ἐν ᾧ ἐγέγραπτο, ἀποδοῦναι τοὺς ὅρκους Φιλίππῳ μετὰ τῶν ἄλλων συμμάχων τὸν ἥκοντα παρὰ Κερσοβλέπτου. ἀναγνωσθέντος δὲ τοῦ ψηφίσματος (καὶ ταῦτα οἶμαι πάντας ὑμᾶς μνημονεύειν) ἀναστὰς ἐκ τῶν προέδρων Δημοσθένης, οὐκ ἔφη

---

23. ὁμηρεύοντα] Kersobleptes erat Philippi potentia coactus, filium suum regi obsidem dare, ut pignus tranquillitatis et otii.

ᾗ] Scaliger mavult ἐν ᾗ, quo non opus esse, ostendi Tim. 35.

Κριτόβουλος] ὁ Κερσοβλέπτου πρεσβευτής.

συναναγραφῆναι Κερσοβλέπτην] Notanda nominis proprii repetitio, quae significat Kersoblepten nihil reliqui fecisse, quo minus et ipse in foedus reciperetur.

ὁ Πήληξ] Harpocration: δῆμός ἐστι τῆς Λεοντίδος φυλῆς, ὥς φησι Διόδωρος ὁ περιηγητής. Cf. Meursium.

τὸ ψήφισμα ἐπιψηφιεῖν, οὐδὲ λύειν τὴν πρὸς Φίλιππον εἰρήνην, οὐδὲ γινώσκειν τῶν συμμαχιῶν τοὺς συνεφαπτομένους, ὥςπερ ἐν τοῖς σπένδουσι τῶν ἱερῶν. ἀποδοθῆναι γὰρ περὶ τούτων ἑτέραν ἐκκλησίαν. βοώντων δὲ ὑμῶν, καὶ τοὺς προέδρους ἐπὶ τὸ βῆμα κατ᾽ ὄνομα καλούντων, οὕτως, ἄκοντος αὐτοῦ, τὸ ψήφισμα ἐπεψηφίσθη. ὅτι δ᾽ ἀληθῆ λέγω, κάλει μοι τὸν γράψαντα τὸ ψήφισμα Ἀλεξίμαχον, καὶ τοὺς συμπροέδρους Δημοσθένους, καὶ τὴν μαρτυρίαν ἀνάγνωθι. „Μαρτυρια των Δημοσθενους συμπροεδρων.“

24. Ὁ μὲν τοίνυν ἐπιδακρύσας ἀρτίως ἐνταυθοῖ Δημοσθένης, μνησθεὶς Κερσοβλέπτου, φαίνεται τῆς συμμαχίας ἐκκλείων αὐτόν. ὡς δ᾽ ἡ παροῦσα ἐκκλησία διελύθη, ἐξώρκιζον τοὺς συμμάχους οἱ τοῦ Φιλίππου πρέσβεις ἐν

ἐπιψηφιεῖν] Cf. supra c. 18.

τοὺς συνεφαπτομένους] Apostolius Proverbb. Cent. XVIII. 48. haec habet: τὴν χεῖρ᾽ ἐπιβάλλει] Ἐπὶ τῶν μετεχόντων ἀρίστων καὶ καλῶν. ἔθος γὰρ εἶχόν τινες, ἄλλων θυόντων συνεφάπτεσθαι τῆς θυσίας καὶ κοινωνεῖν· καὶ Αἰσχίνης δὲ ἔφη· Γινώσκειν ὥςπερ τοὺς ἐφαπτομένους τῶν ἱερῶν. Hoc verbum dicitur igitur de iis, qui, quum ipsi nil contulerint ad rem aliquam perficiendam, commodorum tamen, quae inde nascuntur, participes esse volunt.

ἀποδοθῆναι γὰρ] Particula γὰρ minime offendit. Reddit enim rationem, cur Demosthenes nolit populum re non discussa in suffragia mittere. Peculiari enim concione de hac re esse deliberandum. Sed aoristus infinitivi potest videri parum aptus. Verum supplendum est δεῖν, quod post verba φάναι, λέγειν et synonyma apud infinitivum saepe omittitur. Vide Bosii Ellips. p. 596.

24. ἐνταυθοῖ] Vide supra 14.

ἐξώρκιζον] Formam ὁρκίζειν pro ὁρκοῦν improbarunt grammatici veteres. Phrynichus p. 360. ὥρκωσε μᾶλλον διὰ τὸ ω λέγε, ἢ διὰ τοῦ ι ὥρκισεν. Verum est, et verbum ὁρκοῦν esse frequentissimum, et, si varietas lectionis sit, id vindicari ab optimis libris. In nostro tamen loco nulla est varietas, nec in eo, quod hoc ipso capite sequitur ἐξορκίζεσθαι, ut apud Xenoph. Sympos. IV, 10. Non igitur ausim hanc formam e Graecia ejicere.

τῷ στρατηγίῳ τῷ ὑμετέρῳ. τετόλμηκε δὲ πρὸς ὑμᾶς εἰπεῖν ὁ κατήγορος, ὡς ἀπὸ τῶν ἱερῶν ἐγὼ Κριτόβουλον ἀπήλασα τὸν πρεσβευτὴν τὸν παρὰ Κερσοβλέπτου, παρόντων μὲν τῶν συμμάχων, ἐψηφισμένου δὲ τοῦ δήμου, παρακαθημένων δὲ τῶν στρατηγῶν. πόθεν τοσαύτην ῥώμην λαβών; ἢ πῶς ἂν τὸ πρᾶγμα ἐσιγήθη; εἰ δ' ἄρα ἐγὼ ἐτόλμων τοῦτο ποιεῖν, ἐπέτρεψας ἄν, ὦ Δημόσθενες; καὶ οὐκ ἐνέπλησας βοῆς καὶ κραυγῆς τὴν ἀγοράν, ὁρῶν με, ὡς ἔφης ἀρτίως, ὠθοῦντα ἀπὸ τῶν ἱερῶν τὸν πρεσβευτήν; καλείτω δέ μοι τοὺς στρατηγοὺς ὁ κῆρυξ, καὶ τοὺς συνέδρους τῶν συμμάχων, καὶ τὰς μαρτυρίας αὐτῶν ἀκούσατε.

87 „Μαρτυρίαι." Οὔκουν δεινόν, ὦ Ἀθηναῖοι, εἴ τις κατ' ἀνδρὸς πολίτου, οὐχ ἑαυτοῦ, ἀλλ' ὑμετέρου (τοῦτο γὰρ προςδιορθοῦμαι) τολμᾷ τηλικαῦτα καταψεύδεσθαι, κινδυνεύοντος ὑπὲρ τοῦ σώματος; ἢ πῶς οὐκ εἰκότως οἱ πα-

---

ἐν τῷ στρατηγίῳ] Codex Helmst. perquam bonus habet στρατηγείῳ. Ctes. 45. legitur στρατηγεῖον· στρατηγείου. Dubitari potest, utra scribendi ratio praestet. Significat hic et aliis locis curiam imperatorum, locum, quo conveniunt deliberaturi de rebus ipsorum muneri subiectis. In his, si analogiam spectes derivatorum, quae ab hominum nominibus derivantur, assumunt εῖον. In hoc vocabulo tamen usus alteram scribendi rationem pene sanxisse videtur. Et antiqui scriptores, ut Demosthenes, et recentiores, atque etiam grammatici στρατήγιον scribunt.

τῶν στρατηγῶν] Οἱ στρατηγοί, quorum deni quotannis pro numero tribuum populi suffragiis creabantur, erant pacis tempore inter summos magistratus, multaque administrabant urbana negotia. Vide Schömann de Com. Ath. p. 313. s.

ὡς ἔφης ἀρτίως] Phrynichus p. 236. ἔφης ἔστι μὲν παρὰ τοῖς ἀρχαίοις, ἀλλ' ὀλίγον· τὸ δὲ πλεῖστον ἔφησθα. Laudo equidem hanc Phrynichi verecundiam. Etsi enim haud admodum multa sunt τοῦ ἔφης apud Atticos exempla, non ausim tamen contra libros ea mutare: praesertim quum etiam apud poëtas Atticos ejusmodi formae, Grammaticis improbatae, ut οἶδας pro οἶσθα, legantur. Nec damnaverim, quod legitur Ctes. 51. περιῄεις, ab omnibus Mss. vindicatum.

τέρες ἡμῶν ἐν ταῖς φονικαῖς δίκαις ἐπὶ Παλλαδίῳ κατέδειξαν, τέμνοντας τὰ τόμια, τοὺς νικῶντας τῇ ψήφῳ ἐξορκίζεσθαι· καὶ τοῦτο ὑμῖν πάτριόν ἐστιν ἔτι καὶ νῦν·

ἐπὶ Παλλαδίῳ] Harpocration: Δικαστήριόν ἐστιν οὕτω καλούμενον, ὡς καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ, ἐν ᾧ δικάζουσιν ἀκουσίου φόνου καὶ βουλεύσεως οἱ Ἐφέται· (nomen hoc est proprium judicum ἀκουσίου φόνου) ἔσχε δὲ τὸ δικαστήριον τὴν τοῦ Παλλαδίου ἐπωνυμίαν, καὶ οἱ δικασταὶ τὴν τῶν Ἐφετῶν ἐντεῦθεν. Ἀγαμέμνονος μετὰ τῶν Ἀργείων σὺν τῷ Παλλαδίῳ προσενεχθέντος Ἀθήναις ἐξ Ἰλίου, Δημοφῶν ἁρπάζει τὸ Παλλάδιον καὶ πολλοὺς τῶν διωκόντων ἀναιρεῖ. Ἀγαμέμνων δὲ δυσχεράνας, δίκην τὸν ἁρπάσαντα ἀπαιτεῖ, καὶ συνίσταται τὸ κριτήριον ἐπὶ πεντήκοντα μὲν Ἀθηναίων, πεντήκοντα δὲ Ἀργείων, οὓς Ἐφέτας ἐκάλεσαν, παρὰ τὸ παρ' ἀμφοτέρων ἐφεθῆναι αὐτοῖς τὰ τῆς κρίσεως. Pausanias Att. I. c. 28. narrat, Διομήδη φασίν, ἁλούσης Ἰλίου ταῖς ναυσὶν ὀπίσω κομίζεσθαι, καὶ ἤδη νύκτα ἐπέχειν, ὡς κατὰ Φάληρον πλέοντες γίγνονται, καὶ τοὺς Ἀργείους ὡς ἐς πολεμίαν ἀποβῆναι τὴν γῆν, ἄλλην που δόξαντας ἐν τῇ νυκτὶ καὶ οὐ τὴν Ἀττικὴν εἶναι· ἐνταῦθα Δημοφῶντα λέγουσιν ἐκβοηθήσαντα (οὐκ ἐπιστάμενον οὐδὲ τοῦτον τοὺς ἀπὸ τῶν νεῶν, ὡς εἰσὶν Ἀργεῖοι) καὶ ἄνδρας αὐτῶν ἀποκτεῖναι, καὶ τὸ Παλλάδιον ἁρπάσαντα οἴχεσθαι· Ἀθηναῖόν τε ἄνδρα οὐ προϊδόμενον ὑπὸ τοῦ ἵππου τοῦ Δημοφῶντος ἀνατραπῆναι, καὶ συμπατηθέντα ἀποθανεῖν· ἐπὶ τούτῳ Δημοφῶντα ὑποσχεῖν δίκας, οἱ μὲν τοῦ συμπατηθέντος τοῖς προσήκουσιν, οἱ δὲ Ἀργείων φασὶ τῷ κοινῷ. Uberius haec exponit A. Matthiae Dissert. de judiciis Atheniensium Misc. Philoll. T. I. p. 149. sqq.

τέμνοντας τὰ τόμια] Sic dedi ex Reiskii conjectura. Vulgo τέμνοντες. Sed quum verbi finiti subjectum sit οἱ πατέρες ἡμῶν, participium ad id referri non potest. Verum ad litigantes id referendum. Nempe quum de caede judicium esset, aper, caper et taurus mactabantur, quorum proseota manibus tenentes, accusator, quum accusationem jurejurando firmaret, reus, quum negaret, sibi, domuique ac familiae, si pejerassent, perniciem imprecabantur. Ceterum subita est numeri mutatio, quum orator ex plurali τοὺς νικῶντας τῇ ψήφῳ transit in singularem αὐτῷ Soph. Antig. v. 1150 ss. Erf. min. τὰς γὰρ ἡδονὰς

ὅταν προδῶσιν ἄνδρες, οὐ τίθημ' ἐγὼ
ζῆν τοῦτον, ἀλλ' ἔμψυχον ἡγοῦμαι νεκρόν.

ubi vide Brunckium.

τέληθῆ καὶ τὰ δίκαια ψηφίζεσθαι τῶν δικαστῶν, ὅσοι τὴν ψῆφον ἤνεγκαν αὐτῷ, καὶ ψεῦδος μηδὲν εἰρηκέναι, εἰ δὲ μή, ἐξώλη τε αὐτὸν εἶναι ἐπαρᾶσθαι καὶ τὴν οἰκίαν τὴν αὐτοῦ, τοῖς δὲ δικασταῖς εὔχεσθαι πολλὰ καὶ ἀγαθὰ εἶναι; καὶ μάλα ὀρθῶς καὶ πολιτικῶς, ὦ Ἀθηναῖοι. εἰ γὰρ μηδεὶς ἂν ὑμῶν ἑαυτὸν ἀναπλῆσαι φόνου δικαίου βούλοιτο, ἤπου ἀδίκου γε φυλάξαιτ' ἄν, τὴν ψυχήν, ἢ τὴν οὐσίαν, ἢ τὴν ἐπιτιμίαν τινὸς ἀφελόμενος· ἐξ ὧν αὐτοὺς ἀνῃρήκασί τινες, οἱ δὲ καὶ δημοσίᾳ ἐτελεύτησαν. 25. ἆρ' οὖν, ὦ Ἀθηναῖοι, δοίητ' ἄν μοι συγγνώμην, εἰ κίναιδον αὐτὸν προςειπὼν καὶ μὴ καθαρεύοντα τῷ σώματι, μήδ' ὅθεν τὴν φωνὴν ἀφίησιν, ἔπειτα τὸ λοιπὸν μέρος τοῦ κατηγορήματος τοῦ περὶ Κερσοβλέπτην ἐπ' αὐτοφώρῳ δείξαιμι ψεῦδος ὄν; κάλλιστον γάρ, οἶμαι, πρᾶγμα, καὶ χρησιμώτατον τοῖς διαβαλλομένοις παρ' ὑμῖν γίνεται. καὶ γὰρ τοὺς χρόνους, καὶ τὰ ψηφίσματα, καὶ τοὺς ἐπιψηφίσαντας ἐν τοῖς δημοσίοις γράμμασι τὸν ἅπαντα χρόνον

ψηφίζεσθαι] Ex serie orationis aoristus *ψηφίσασθαι* videri possit aptior. Praesens tamen videtur non sine vi rem ut absolute veram et praesentem significare.

μηδεὶς ἂν] Vide ad Tim. c. 59.

ἐξ ὧν αὐτοὺς ἀνῃρήκασί τινες, οἱ δὲ καὶ δημοσίᾳ ἐτελεύτησαν] Locus sic intelligendus: Propter haec crimina nonnulli poenam legum metuentes ipsi se interfecerunt, ut Timarchus dicitur, quem prima oratione Aeschines accusavit: alii publice, judicum sententia, morte damnati sunt. *Δημοσίᾳ τελευτᾷν* de iis dici, qui ad publicum supplicium ducantur, animadvertit F. A. Wolfius ad Leptin. p. 362.

25. *ἐπ' αὐτοφώρῳ*] Proprie de *κλέπτῃ ἐπ' αὐτῷ τῷ κλέμματι εὑρεθέντι, ἔτι κατέχοντι αὐτό*, tropice de *φανερῶς ἐλεγχθέντι*. Cf. Astium ad Platonis Politiam II, 3. p. 392.

καὶ γὰρ τοὺς χρόνους καὶ τὰ ψηφίσματα, καὶ τοὺς ἐπιψηφίσαντας] Reiskius verba sic collocata mavult: *καὶ γὰρ τὰ ψηφίσματα καὶ τοὺς χρόνους καὶ τοὺς ἐπιψηφίσαντας*, eique assentitur Schömann l. l. p. 136. not. 24. Recte, opinor. A toto enim incipiendum, tum

φυλάττετε. εἴρηκε δὲ οὑτοσὶ πρὸς ὑμᾶς, παρὰ τοῦτο διαφθαρῆναι τὰ Κερσοβλέπτου πράγματα, ὅτι τῆς πρεσβείας ὢν ἡγεμὼν ἐγώ, καὶ κατευημερηκὼς παρ᾽ ὑμῖν, αὐτοῦ κελεύοντος εἰς Θράκην ἡμᾶς ἰέναι, Κερσοβλέπτου πολιορκουμένου, καὶ διαμαρτύρασθαι Φιλίππῳ ταῦτα μὴ ποιεῖν, οὐκ ἠθέλησα, ἀλλ᾽ ἐκαθήμην ἐν Ὠρεῷ, καὶ οἱ συμπρέσβεις, προξενίας κατασκευαζόμενοι. ἀκούσατε δὴ

---

progrediendum ad partes praecipuas, quae in illo continentur ad opem ferendam iis, qui per calumniam accusantur. In psephismatis, ne tempus eorum latorum ambiguum sit, inscribebatur nomen Archontis eponymi, a cujus nomine annus in fastis notabatur, mensis ejusque dies, nomen ejus qui psephisma tulit, nomen epistatae, qui populum in suffragia mittebat. Haec videntur legitima fuisse, quae in psephismate designabantur. Scriptores vero ea laudantes interdum complura, ut eorum consilio minus necessaria, omiserunt.

παρὰ τοῦτο διαφθαρῆναι] Mihi quidem videtur negari non posse, παρὰ cum accusativo apud Atticos interdum significare propter. Quum de eo dubitatum fuerit, exemplis hanc significationem vindicabo. Ctes. 41. καίτοι γε πρώην ἀπετόλμησε λέγειν, ὅτι παρὰ τοῦτο Φίλιππος οὐκ ἦλθεν ἡμῶν ἐπὶ τὴν χώραν, ὅτι οὐκ ἦν αὐτῷ καλὰ τὰ ἱερά. Demosth. παραπρ. p. 351. εἰ μὲν γὰρ ἐνταῦθ᾽ ἦν ἤδη τὰ πράγματα, ὥστε μηδ᾽ αἰσθομένοις τοῖς Θηβαίοις πλέον εἶναι μηδέν, τί οὐ γέγονεν; εἰ δὲ παρὰ τὸ προαισθέσθαι κεκώλυται, τίς ὁ ἐκλαλήσας; p. 425. οἱ παρ᾽ οὐδὲν οὕτως, ὡς τὸ τοιαῦτα ποιεῖν, ἀπολώλασιν, οἱ δείλαιοι. Mid. p. 545. καὶ ταῦτα πέπονθεν ὑπὸ Μειδίου, καὶ τοῦ Μειδίου πλούτου καὶ τῆς ὑπερηφανίας παρὰ τὴν πενίαν καὶ τὴν ἐρημίαν, καὶ τὸ τῶν πολλῶν εἷς εἶναι. Timocr. 766. ἀργυρίῳ μὲν πολλαὶ τῶν πόλεων καὶ φανερῶς πρὸς χαλκὸν καὶ μόλιβδον κεκραμένῳ χρώμεναι σώζονται, καὶ οὐδ᾽ ὁτιοῦν παρὰ τοῦτο πάσχουσι.

καὶ διαμαρτύρασθαι Φιλίππῳ ταῦτα μὴ ποιεῖν, οὐκ ἠθέλησα] Recte Reiskius ταῦτα μὴ ποιεῖν junxit cum διαμαρτύρασθαι, non cum οὐκ ἠθέλησα: jubente eo, cum contestatione Philippo interdicere, ne ista faceret, h. e. ne Kersoblepten armis vexaret, nolui, sc. ἰέναι καὶ διαμαρτύρασθαι.

προξενίας κατασκευαζόμενοι] Schol. Aristoph. ad Av. 1022. προξένους ἐκάλουν τοὺς τεταγμένους εἰς τὸ ὑποδέχεσθαι τοὺς ξένους τοὺς ἐξ ἄλλων πόλεων ἥκοντας. Qui multorum erant πρόξενοι, et peregrinorum res Athenis strenue et scite administrabant, magna erant auctoritate et domi et foris.

τῆς Χάρητος ἐπιστολῆς, ἣν ἐπέστειλε τότε τῷ δήμῳ, ὅτι Κερσοβλέπτης ἀπολώλεκε τὴν ἀρχὴν, καὶ Ἱερὸν ὄρος κατείληφε Φίλιππος, Ἐλαφηβολιῶνος μηνὸς ἕκτῃ φθίνοντος. Δημοσθένης δ᾽ ἐν τῷ δήμῳ προήδρευε τούτου τοῦ μηνὸς, εἷς ὢν τῶν πρέσβεων, ἑβδόμῃ φθίνοντος. „Επιστολη." Οὐ μόνον τοίνυν διετρίψαμεν τὰς λοιπὰς ἡμέρας τοῦ μηνὸς, ἀλλὰ καὶ Μουνυχιῶνος ἐξωρμήσαμεν. καὶ τούτου τὴν βουλὴν μάρτυρα ὑμῖν παρέξομαι. ἔστι γὰρ αὐτῆς ψήφισμα, ὃ κελεύει ἀπιέναι τοὺς πρέσβεις ἐπὶ τοὺς ὅρκους. καί μοι λέγε τὸ τῆς βουλῆς ψήφισμα. „Ψηφισμα." προςανάγνωθι δὴ καὶ τὸν χρόνον, ὅςτις ἦν. „Χρονος." Ἀκούετε, ὅτι Μουνυχιῶνος ἐψηφίσθη τρίτῃ ἱσταμένου. ὁ δὲ Κερσοβλέπτης πόσαις πρότερον ἡμέραις ἀπώλεσε τὴν ἀρχὴν, πρὶν ἐμὲ ἀπιέναι; ὥς φησι Χάρης ὁ στρατηγὸς, καὶ ἐπιστολὴ, τοῦ προτέρου μηνὸς, εἴπερ Ἐλαφηβολιὼν ἐστι Μουνυχιῶνος πρότερος. ἐδυνάμην οὖν ἐγὼ σῶσαι Κερσοβλέπτην, ὃς, πρὶν ἐμὲ ἐξορμᾶν οἴκοθεν, ἀπολώλει;
26. ἔπειτα οἴεσθέ τι τοῦτον ἀληθὲς εἰρηκέναι, ἢ περὶ τῶν ἐν Μακεδονίᾳ πραχθέντων, ἢ περὶ τῶν ἐν Θετταλίᾳ, ὃς τοῦ βουλευτηρίου, καὶ τῶν δημοσίων γραμμάτων, καὶ τοῦ χρόνου, καὶ τῶν ἐκκλησιῶν καταψεύδεται; καὶ τὸν Κερσοβλέπτην Ἀθήνησι μὲν ἔκσπονδον ἐποίεις, πρόεδρος ὢν

Ἱερὸν ὄρος] Mons sacer in Thracia, qui ex Thracia in Chersonnesum ducebat.

Ἐλαφηβολιῶνος — Μουνυχιῶνος] Ἐλαφηβολιὼν partem Martii et Aprilis complet: Μουνυχιὼν eum sequitur complectens reliquam partem Aprilis, et quod deest Maji. De ceteris vide supra c. 17.

ὁ στρατηγὸς καὶ ἐπιστολὴ] Minime addendum ἡ. Nam quod explicativum est, vel alterum nomen ejus figurae, quae hendiadys dicitur, ad id saepe articulus reticetur. Non celandum tamen, in cod. Helmst. articulum additum esse.

πρὶν ἐμὲ ἐξορμᾶν] Cod. Helmst. ἐξορμῆσαι. Sed praesens praeferendum videtur. Ante enim, quam Aeschines ex urbe decederet, iter susciperet, Kersobleptes erat devictus.

ἐν Ὠρεῷ δ' ἠλέεις· καὶ νῦν μὲν δωροδοκίας κατηγορεῖς· πρότερον δ' ὑπέμεινας τὴν ἐπιβολὴν τῆς βουλῆς τῆς ἐξ Ἀρείου πάγου, οὐκ ἐπεξιὼν τῇ τραύματος γραφῇ, ἣν ἐγράψω Δημομέλην τὸν Παιανιέα, ἀνεψιὸν ὄντα, ἐπιτεμὼν τὴν σαυτοῦ κεφαλήν. καὶ σεμνολογεῖς ἡμῖν, ὡς οὐκ εἰδόσι τοῦτο, ὅτι Δημοσθένους υἱὸς εἶ νόθος τοῦ μαχαιροποιοῦ. Ἐπεχείρησας δ' εἰπεῖν, ὡς καὶ τὴν ἐπὶ τοὺς Ἀμφικτύονας πρεσβείαν ἐξομοσάμενος παρεπρέσβευσα, καὶ ψήφισμα, τὸ μὲν ἀνέγνως, τὸ δὲ ὑπερέβης. ἐγὼ δ' αἱρεθεὶς πρεσβευτὴς ἐπὶ τοὺς Ἀμφικτύονας, ἀῤῥώστως

---

26. ἐπιβολὴν] Sic scholiastes, Bern. Steph. Vienn. Ceteri ἐπιβουλήν. Bekkeri Anecd. p. 251. ἐπιβολὴ καὶ ἐπιβάλλειν: ζημίας ὄνομα, τὸ τὸν ἄρχοντα ἢ τὴν βουλὴν χρήματα ὁρίζειν τινὶ ζημίαν δοκοῦντι ἀδικεῖν τὰ δημόσια ἢ ὀρφανούς, ἢ κατέχειν τὰ ἀλλότρια καὶ μὴ εἰς ἐμφανὲς ἄγειν. Nempe si, qui contumeliam passus erat, desisteret ab actione, puniebatur ipse. Habemus legem in Demosth. Mid. p. 529 l. 23. ὅσοι δ' ἂν (ὑβρισμένοι αὐτοὶ) γράφωνται γραφὰς ἰδίας κατὰ τὸν νόμον, ἐάν τις μὴ ἐπεξέλθῃ, ἢ ἐπεξιὼν μὴ μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων, ἀποτισάτω χιλίας δραχμὰς τῷ δημοσίῳ. Has vero cognitiones Areopagi fuisse, patet ex lege apud Demosthenem in Aristocr. p. 627. δικάζειν δὲ τὴν βουλὴν τὴν ἐν Ἀρείῳ πάγῳ φόνου καὶ τραύματος ἐκ προνοίας καὶ πυρκαϊᾶς καὶ φαρμάκων, ἐάν τις ἀποκτείνῃ δούς.

τὸν Παιανιέα] Harpocration: Δίδυμος γραπτέον εἶναί φησι Παιανιέα χωρὶς τοῦ ι. Εἰσὶ δὲ διττοὶ δῆμοι Παιανιέων τῆς Πανδιονίδος φυλῆς, οὓς Διόδωρος καλεῖσθαί φησι Παιανιέαν καθύπερθεν καὶ Παιανιέαν ὑπένερθεν (scribe utrobique cum Meursio Παιανίαν), ὁμοίως δ' ἑκατέρου τῶν δήμων τὸν δημότην καλεῖσθαι Παιανιέα.

σεμνολογεῖς] Σεμνὸς interdum significatione mala dicitur de glorioso, ὑπερηφάνῳ. Hinc σεμνοὶ λόγοι verba ostentabunda, et σεμνολογεῖν se jactare.

ὡς οὐκ εἰδόσι τοῦτο] Sic dedi ex Reg. 3. et Helmst. pro vulgato τούτοις. Atque etiam scholiastes hanc lectionem invenit.

ἐξομοσάμενος] Pollux L. VIII, 55. ἐξωμοσία, ὅταν (addendum ἂν; nam ex ὅταν pendet verbum ἐξομνύηται) τις ἢ πρεσβευτὴς αἱρεθῇ ἢ ἐπ' ἄλλην τινὰ δημοσίαν ὑπηρεσίαν, ἀῤῥωστεῖν ἢ ἀδυνατεῖν φάσκων, ἐξομνύηται αὐτός, ἢ δι' ἑτέρου. Jurejurando confirmare, se muneri

δ' ἔχων, καὶ μετὰ πολλῆς προθυμίας ἀπαγγέλλων, ἀφ' ἧς ἥκον πρεσβείας, πρὸς ὑμᾶς, τὴν μὲν πρεσβείαν οὐκ ἐξωμοσάμην, ἀλλ' ὑπεσχόμην πρεσβεύσειν, ἐὰν ὦ δυνατός· πρὸς δὲ τὴν βουλὴν, ἀπιόντων τῶν συμπρέσβεων, τὸν ἀδελφὸν τὸν ἐμαυτοῦ, καὶ τὸν ἀδελφιδοῦν, καὶ τὸν ἰατρὸν ἔπεμψα, οὐκ ἐξομουμένους ἐμέ· οὐδὲ γὰρ ὁ νόμος ἐᾷ τὰς ἐκ τοῦ δήμου χειροτονίας ἐν τῇ βουλῇ ἐξόμνυσθαι· ἀλλὰ τὴν ἀῤῥωστίαν μου δηλώσοντας. ἐπεὶ δὲ οἱ συμπρέσβεις πυθόμενοι τὰ περὶ τοὺς Φωκέας συμβάντα, ἀνέστρεψαν, γενομένης ἐκκλησίας, ἤδη παρὼν καὶ δυνάμενος τῷ σώματι, προσαναγκάζοντος τοῦ δήμου μηδὲν ἧττον πρεσβεύειν ἡμᾶς τοὺς ἐξ ἀρχῆς αἱρεθέντας ἅπαντας, ἀψευδεῖν πρὸς Ἀθηναίους ᾤμην δεῖν. καὶ ταύτης τῆς πρεσβείας οὐ κατηγορεῖς μου διδόντος τὰς εὐθύνας, ἀλλ' ἐπὶ ταύτην τὴν πρεσβείαν ἥκεις, τὴν ἐπὶ τοὺς ὅρκους· ὑπὲρ ἧς ἐγὼ σαφῶς καὶ δικαίως ἀπολογήσομαι. σοὶ μὲν γὰρ ἁρμόττει καὶ πᾶσι τοῖς ψευδομένοις, μεταφέρειν τοὺς χρόνους· ἐμοὶ δ' ἐφεξῆς λέγειν, ἀναλαβόντι τὴν ἀρχὴν τοῦ λόγου ἀπὸ τῆς πορείας τῆς ἐπὶ τοὺς ὅρκους, καὶ τῆς πρεσβείας. 27. πρῶτον μὲν γὰρ δέκα πρέσβεων ὄντων, ἐνδεκάτου δὲ τοῦ συμπεμφθέντος ὑμῖν ἀπὸ τῶν συμμάχων,

---

parem non esse. Haec significatio hic obtinet. Aliam addit Pollux: ἐξώμνυντο δὲ καὶ οἱ κληθέντες μάρτυρες, εἰ φάσκοιεν μηδὲν ἐπίστασθαι τούτων, εἰς ἃ προκαλοῦνται.

μετὰ πολλῆς προθυμίας] Sine caussa Reiskius offendit in vocabulo προθυμίας, quod, qui aegrotent, torpeant ad verba facienda inprimis in magna concione. Sed eo ipso amorem patriae testatur, quod, quamvis infirmus, tamen multo cum studio de legatione sua ad Graecas, ut videtur, civitates retulerit.

τὰ περὶ τοὺς Φωκέας συμβάντα] Nempe quod Phocenses a Philippo devicti erant.

27. συμπεμφθέντος ἡμῖν ἀπὸ τῶν συμμάχων] Ἀπὸ dedi pro ὑπὸ ex Harl. Coisl. Regg. 1. 2. Mead. Helmst. Vienn. Est a parte sociorum, nomine sociorum. Is legatus scilicet a synedris, qui Athenis degebant, additus erat.

οὐδεὶς αὐτῷ συσσιτεῖν, δτ' ἐξῄειμεν ἐπὶ τὴν ὑστέραν πρεσβείαν, ἤθελεν, οὔτε ἐν ταῖς ὁδοῖς, ὅπου δυνατὸν ἦν, εἰς ταὐτὸ πανδοκεῖον καταλύειν, ὁρῶντες αὐτὸν ἐν τῇ προτέρᾳ πρεσβείᾳ πᾶσιν αὐτοῖς ἐπιβεβουλευκότα. περὶ μὲν οὖν τῆς ἐπὶ Θρᾴκης ὁδοῦ, οὐκ ἐγένετο μνεία· οὐδὲ γὰρ τὸ ψήφισμα τοῦθ' ἡμῖν προςέταττεν, ἀλλὰ ἀπολαβεῖν μόνον τοὺς ὅρκους, καὶ ἄλλ' ἄττα· οὔτε ἐλθόντας πράττειν οὐδὲν ἐνεδέχετο, τῶν περὶ Κερσοβλέπτην ἤδη γεγενημένων, ὡς ἀρτίως ἠκούσατε, οὔθ' οὗτος οὐδὲν ἀληθὲς εἶπεν, ἀλλὰ ψεύδεται, καὶ κατηγορεῖν οὐδὲν ἀληθὲς ἔχων, τερατεύεται. συνηκολούθουν δ' αὐτῷ ἄνθρωποι δύο στρωματόδεσμα φέροντες, ἐν δὲ τῷ ἑτέρῳ τούτων, ὡς αὐτὸς ἔφη, τάλαντον ἐνῆν ἀργυρίου. ὥςτε τοὺς συμπρέσβεις ἀναμιμνήσκεσθαι τὰς ἀρχαίας ἐπωνυμίας αὐτοῦ. ἐν παισὶ μὲν γὰρ ὤν, ἐκλήθη δι' αἰσχρουργίαν τινὰ καὶ κιναιδίαν

πανδοκεῖον] Hoc et cognata nomina antiqui scribunt per κ, recentiores per χ, ut testatur Thomas M. p. 676. Idem docet Phrynichus p. 307., ubi vide Lobeck.

τῆς ἐπὶ Θρᾴκης ὁδοῦ] Nescio cur Wolfius ἐπὶ Θρᾴκην conjiciat. Ad substantivum ὁδὸς, ut ad verbum στέλλεσθαι, quod ille concedit, ἐπὶ cum genitivo motum significans construi posse, certum est. Vide Matthiae Gr. Gr. §. 584.

τῶν περὶ Κερσοβλέπτην ἤδη γεγενημένων, ὡς ἀρτίως ἠκούσατε] Hanc omnium Mss. lectionem revocavi, quum sua auctoritate viri docti τῶν deleverint, et ὡς in ὤν mutarint. Quae si niterentur omnibus codd., probarem. Sed non video, cur vulgata lectio mutanda sit. Participium est absolutum, in quo subjectum τῶν περὶ Κερσοβλέπτην sc. πραγμάτων, quum, quae Kersoblepten attingebant, jam perpetrata erant, quum Kersobleptae sors jam cecidisset, ut modo dixi.

στρωματόδεσμα] Scholiastes στρωματόδεσμον ἢ στωματόδεσμος (idem testantur Bekkeri Anecdd. p. 113.) στρωμνὴ δεδεμένη, πήρα στρατιωτικὴ καὶ ὁδοιπορικὴ, ἢ καὶ πρὸς τὸ ἀναπαύεσθαι χρήσιμός ἐστι.

δι' αἰσχρουργίαν τινὰ καὶ κιναιδίαν] Sic dedi ex Harl. Helmst. et Vienn. pro ἢ κιναιδίαν. Καὶ est explicativum et per αἰσχρουργίαν

Βάταλος, ἐκ παίδων δὲ ἀπαλλαττόμενος, καὶ δεκαταλάντους δίκας ἑκάστῳ τῶν ἐπιτρόπων λαγχάνων, Ἀργᾶς ἐκλήθη, ἀνὴρ δὲ γενόμενος, προςείληφε τὴν τῶν πονηρῶν κοινὴν ἐπωνυμίαν, συκοφάντης. ἐπορεύετο δὲ λυσόμενος τοὺς αἰχμαλώτους, ὥς ἔφη, καὶ πρὸς ὑμᾶς ἀρτίως εἴρηκεν, εἰδὼς μὲν Φίλιππον ἐν τῷ πολέμῳ οὐδένα πώποτε Ἀθηναίων λύτρα πραξάμενον, ἀκούων δὲ τῶν ἐκείνου

Aeschines intelligi vult κιναιδίαν. Tim. 53. Βάταλος προςαγορεύεται ἐξ ἀνανδρίας τινὸς καὶ κιναιδείας ἐνεγκάμενος τοὔνομα. Καὶ et ἢ saepissime confundi, jam notavi ad Tim. 18. Καὶ explicativum frequens est Graecis, ut Latinis et. — Ceterum notanda scripturae diversitas. In Tim. nomen est κιναιδεία, hic κιναιδία. Κιναιδία tamen videtur praeferendum.

ἑκάστῳ τῶν ἐπιτρόπων] Tres tutores habebat Demosthenes a patre ipsi constitutos, Aphobum, Demophonta et Therippiden. Οὗτοι ὀφείλοντες τριάκοντα τάλαντα ἐκτῖσαι ἐπικαρπίας, καὶ ἀποδοῦναι, μικρὰ παντελῶς παρέδωκαν εἰς ἄνδρας ἐγγραφέντι τῷ Δημοσθένει. Διὸ πρὸς τὸν Ἄφοβον εἰςελήλυθεν ἐπιτροπῆς δέκα ταλάντων τὴν δίκην λαχών, ἐπειδὴ τρίτος ὢν ἐπίτροπος, τὸ τρίτον ὀφείλει τῶν χρημάτων.

Ἀργᾶς] Harpocration s. v. πιθανώτερόν ἐστι λέγειν, ὅτι Δωριεῖς, μάλιστα δ᾽ Ἀργεῖοι τὸν ὄφιν ἀργᾶν ἐκάλουν. ὡς Ἀχαιὸς ἐν Ἀδράστῳ. (Achaei duo erant poëtae tragici et satyrici. Hic videtur junior Syracusanus, qui drama scripsit Ἄδραστον.) Τίμαρχος δὲ ὁ Ῥόδιος οὐ κατὰ γλῶτταν καλεῖσθαι τὸν ὄφιν Ἀργᾶν φησίν, ἀλλὰ γένος τι εἶναι τῶν ὄφεων τοὺς Ἀργᾶς. Λέγεσθαι οὖν εἰκὸς τὸν Δημοσθένην, ἐπιτροπῆς τοῖς ἐπιτρόποις δίκας λαγχάνοντα, ὄφιν διὰ τὸ θηριῶδες. καὶ αὐτὸς τοὺς τοιούτους ὄφεσιν εἰκάζει ἐν τῷ κατὰ Ἀριστογείτονος (p. 786.) ἔνιοι δὲ τοῦ δράκοντος εἶναί φασι τὸ ἀργᾶν ἐπίθετον.

συκοφάντης] Aristophanis Schol. Plut. 31. Ἀπείρητο Ἀθήνησι μὴ ἐξάγειν ἐντεῦθεν ἄλλοσέ που σῦκα. βουλομένων οὖν τινῶν ἐξενεγκεῖν, ἱστάμενοι ἐν ταῖς τῶν πυλῶν ἐξόδοις ἄνδρες πανοῦργοι, τὸ τούτων ἐξήλεγχον τέχνασμα, ὃ περὶ τὴν ἐξαγωγὴν ἐποίουν. ἐκαλοῦντο οὖν συκοφάνται, ὡς τὰ σῦκα φαίνοντες. Ἐπεκράτησεν οὖν ἐξ ἐκείνου τοὔνομα πρὸς πάντας τοὺς πανούργους.

ἀκούων δὲ τῶν ἐκείνου φίλων ἁπάντων] Expunxi καὶ, quod Reiskius ex uno Mead. ante τῶν inseruit. Ut non est in libris, ita nec a sententia flagitatur.

φίλων ἁπάντων, ὅτι καὶ τοὺς λοιποὺς, ἐὰν εἰρήνη γένηται, ἀφήσει, πολλῶν δ' ἠτυχηκότων, τάλαντον φέρων, ἑνὸς ἀνδρὸς, οὐδὲ τούτου λίαν εὐπόρου, ἱκανὰ λύτρα. 28. ὡς δ' ἦμεν ἐν Μακεδονίᾳ, καὶ συνήλθομεν εἰς ταὐτὸν, καὶ Φίλιππον ἐκ Θρᾴκης παρόντα κατειλήφαμεν, ἀνεγνώσθη μὲν τὸ ψήφισμα, καθ' ὃ ἐπρεσβεύσαμεν, καὶ τὰ προςτεταγμένα ἡμῖν πρὸς τῷ τοὺς ὅρκους ἀπολαβεῖν συνηριθμούμεθα. ὡς δὲ οὐδεὶς ὑπὲρ τῶν μεγίστων ἐμέμνητο, ἀλλὰ περὶ πραγμάτων ἐλαττόνων τὴν διατριβὴν ἐποιοῦντο, εἶπον ἐγὼ λόγους, οὓς ἀναγκαῖόν ἐστι πρὸς ὑμᾶς ῥηθῆναι. καὶ πρὸς τῶν θεῶν, ὦ Ἀθηναῖοι, ὥςπερ καὶ τῆς κατηγορίας ἠκούσατε, ὡς αὐτὸς ὁ κατήγορος ἠβούλετο εἰπεῖν, οὕτω καὶ τῆς ἀπολογίας εὐτάκτως ἀκούσατε, καὶ τὸν αὐτόν μοι τρόπον διαμείνατε, ὅνπερ ἐξ ἀρχῆς ἐν τοῖς προειρημένοις ἤδη λόγοις ἠκροᾶσθε. ὅπερ γὰρ καὶ ἀρτίως ὑπεθέμην, ὦ Ἀθηναῖοι, εἶπον συνειλεγμένων τῶν πρέσβεων, ὅτι μοι δοκοίησαν τὸ μέγιστον πρόςταγμα τοῦ δήμου δεινῶς ἀγνοεῖν. τὸ μὲν γὰρ τοὺς ὅρκους ἀπολαβεῖν, καὶ περὶ τῶν

ἑνὸς ἀνδρὸς, οὐδὲ τούτου λίαν εὐπόρου] Etiam haec rhetorica est exaggeratio. „In den Philippischen Zeiten, als viele Atheuer in Macedonien gefangen waren, betrug das gewöhnliche Lösegeld drey Minen. Da aber häufig die Würde eines Mannes, der Reichthum und die Wichtigkeit desselben in Betracht gezogen wurden, so bestimmte man willkührlich ein höheres Lösegeld. Nikostratos in einer Demosthenischen Rede p. 1248. muſste sich für sechs und zwanzig Minen loskaufen. -- König Philipp behauptet in seinem Sendschreiben an die Athener (Demosth. p. 159.), der Attische Feldherr Diopeithes habe den Amphilochos, einen bedeutenden Mann, der zu Gesandtschaften gebraucht wurde, nicht anders als für fünfzehn Talente losgegeben.“ Böckh Staatshaushaltung, Th. I. S. 78.

28. δοκοίησαν] Hoc dedi, ut saltem soloecismus tollatur, qui est in editione Reiskiana et aliis, δοκείησαν. Quamquam ne illud quidem, quod dedi, praestem. Attici enim scriptores pluralem οἴημεν, οἴητε usurpare non solent, omnium minime οἴησαν. Igitur vel contra libros restituendum opinor δοκοῖεν.

ἄλλων διαλεχθῆναι, καὶ περὶ τῶν αἰχμαλώτων εἰπεῖν, κἂν εἰ τοὺς ὑπηρέτας ἔπεμψεν ἡ πόλις, πεισθεῖσα πίστιν αὐτοῖς, ἅπαντ' ἂν πραχθῆναι νομίζω· τὸ δὲ ὑπὲρ τῶν ὅλων ὀρθῶς βουλεύσασθαι, ὅσα καθ' ἡμᾶς ἐστὶν ἢ Φίλιππον, τοῦτο ἤδη ἔργον ἐστὶν πρέσβεων φρονίμων. λέγω δὲ, ἔφην ἐγὼ, περὶ τῆς εἰς Πύλας στρατείας, ἣν ὁρᾶτε οὖσαν ἐν παρασκευῇ. ὅτι δὲ οὐ κακῶς στοχάζομαι περὶ τοῦ πράγματος, μεγάλα τούτων ὑμῖν σημεῖα δείξω. πάρεισι μὲν γὰρ Θηβαίων, ἥκουσι δὲ Λακεδαιμονίων πρέσβεις, ἀφίγμεθα δ' ἡμεῖς ἔχοντες τοῦ δήμου ψήφισμα, ἐν ᾧ γέγραπται· „πράττειν δὲ τοὺς πρέσβεις, καὶ ἄλλ' ὅ, τι ἂν δύνωνται ἀγαθόν.“ ἅπαντες δὲ οἱ Ἕλληνες πρὸς τὸ μέλλον ἔσεσθαι βλέπουσιν. εἰ μὲν οὖν ἡγεῖτο ὁ δῆμος αὐτῷ καλῶς ἔχειν, ἐξενεγκεῖν μετὰ παῤῥησίας ἐν τῷ ψηφίσματι πρὸς Φίλιππον, Θηβαίων μὲν περιελεῖν τὴν ὕβριν, Βοιωτῶν δ' ἀναστῆσαι τὰ τείχη, ταῦτ' ἂν ἠξίωσαν ἐν τῷ

καὶ περὶ τῶν αἰχμαλώτων εἰπεῖν] Hanc omnium librorum lectionem revocavi, quum Reiskius e conjectura dederit εἶπον, ut interjectum ἔφην. Sed in infinitivo inest derisus Demosthenis. Is talentum argenti secum portabat, ut gloriabundus captivos redimeret. Hinc captivos ubique in ore gerebat, et ut gravissimam rem hanc inculcabat. „Aeschines d i c e r e de captivis ait servos quoque publicos pro legatis missos potuisse, quasi Demosthenes verba tantum fecerit pro iis, nec complures vel sua pecunia redemerit.“ Weiske de hyperbole II. p. 34.

ἐν τῷ ψηφίσματι πρὸς Φίλιππον] Verum est, vocabula ἐν τῷ ψηφίσματι superflua esse. Quum tamen nullum, ne leve quidem, vestigium in ullo libro appareat, ea supposita esse, non ausim ea damnare. Aliquam etiam vim in repetitione hujus notionis agnosco. Nam prudentiae legatorum rem committere maluerunt Athenienses, quam disertis verbis in psephismate enuntiare. Ἐκφέρειν, ἐξενεγκεῖν de publica professione saepe dicitur.

ταῦτ' ἂν ἠξίωσαν] Etsi protasis subjectum habet ὁ δῆμος, minime tamen cum Wolfio hic, et qui sequuntur plurales, in singulares

ψηφίσματι· νῦν δὲ αὐτοῖς μὲν κατέλιπον τὴν εἰς τὸ ἀφανὲς ἀναφορὰν, ἂν μὴ πείθωσιν, ἐν ἡμῖν δὲ ἀποκινδυνεύειν ᾠήθησαν δεῖν. 29. δεῖ δὴ τοὺς πρὸς τὰ κοινὰ φιλοτιμουμένους μὴ κατέχειν μὲν ἑτέρων χώραν πρέσβεων, οὓς ἐξῆν πέμπειν ἀνθ' ἡμῶν Ἀθηναίους, αὐτοὺς δὲ τὰς πρὸς Θηβαίους ἀπεχθείας φεύγειν. ὧν εἷς ὢν Ἐπαμινώνδας στρατηγὸς, οὐχ ὑποπτήξας τὸ τῶν Ἀθηναίων ἀξίωμα, εἶπε διαῤῥήδην ἐν τῷ πλήθει τῶν Θηβαίων, ὡς δεῖ τὰ τῆς Ἀθηναίων ἀκροπόλεως προπύλαια μετενεγκεῖν εἰς τὴν προστασίαν τῆς Καδμείας. ταῦτα δέ μου μεταξὺ λέγοντος, ἀναβοᾷ παμμέγεθες Δημοσθένης, ὡς ἴσασι πάντες οἱ συμπρέσβεις ἡμῶν· καὶ γὰρ πρὸς τοῖς ἄλλοις κακοῖς

---

mutandi sunt. Nihil enim frequentius, quam ad subjecta, quae sunt nomina collectiva singularis numeri, verbum poni in plurali. Vide Matthiae Gr. Gr. §. 301.

ἂν μὴ πείθωσιν] Tum demum publica auctoritate ait rem pronuntiaturos esse Athenienses, si significatione et per interpretes nil effecerint.

29. τὰ τῆς Ἀθηναίων ἀκροπόλεως προπύλαια μετενεγκεῖν εἰς τὴν προστασίαν τῆς Καδμείας] Vidimus ad c. 21. τὰ τῆς ἀκροπόλεως προπύλαια opus fuisse magnificum, quod aditum habebat in arcem. Tropice igitur significat splendorem et potentiam Athenarum. Teste autem Harpocratione Δίδυμος τὴν προστασίαν φησὶ κεῖσθαι ἀντὶ τοῦ προστάσεως, τουτέστι τῆς ὑπ' ἐνίων προστάδος καλουμένης. Porticum igitur significat, qui in Cadmeam ducebat. Totius vero loci sensus hic est: Epaminondas in publica concione affirmabat, splendorem et potentiam Athenarum transferenda esse Thebas.

ἀναβοᾷ παμμέγεθες] Parallelismus fortis ad ingentem hominis clamorem exprimendum. Ἀναβοᾷν jam est alta voce clamare. Id autem vehementer intenditur adjecto παμμέγεθες, ut hyperbolen nemo non debeat agnoscere. Fortius etiam est, quam quod Demosthenes habet παραπρ. p. 405. τίνα δὲ φθέγγεσθαι μέγιστον ἁπάντων, καὶ σαφέστατ' ἂν εἰπεῖν, ὅ τι βούλοιτο, λαμπρᾷ τῇ φωνῇ; Αἰσχίνην οἶδ', ὅτι τουτονί.

βοιωτιάζει. ἦν δ' οὖν παρ' αὐτοῦ τοιαυταὶ τὰ λεγόμενα. ἄνθρωπος οὗτος ταραχῆς καὶ τόλμης ἐστὶ μεστός. ἐγὼ δ' ὁμολογῶ μαλακὸς εἶναι, καὶ τὰ δεινὰ πόῤῥωθεν δεδιέναι. ἀπαγορεύω μέντοι, μὴ συνταράττειν ἡμᾶς πρὸς ἀλλήλας τὰς πόλεις, τὸ μὴ πολυπραγμονεῖν ἡμᾶς τοὺς πρέσβεις μηδὲν, τοῦτ' ἀγαθὸν ὑπολαμβάνων εἶναι. πορεύεται Φίλιππος εἰς Πύλας; ἐγὼ δὲ ἐγκαλύπτομαι. οὐδείς με τῶν ὅπλων ἕνεκα τῶν Φιλίππου κρινεῖ, ἀλλ' ὧν ἂν εἴπω τι μὴ δέον, ἢ πράξω τι τῶν μὴ προςτεταγμένων. Πέρας δὲ τοῦ πράγματος, ἐψηφίσαντο οἱ συμπρέσβεις, κατ' ἄνδρα ἐπερωτώμενος ἕκαστος ἡμῶν, ὅ, τι νομίζει συμφέρειν, τοῦτο λέγειν. ὅτι δ' ἀληθῆ λέγω, κάλει μοι τοὺς συμπρέσβεις, καὶ τὴν μαρτυρίαν αὐτῶν λέγε. „Μαρτυρια."

βοιωτιάζει] Quum Boeoti male audirent ob rusticitatem, βοιωτιάζειν significat agrestem esse, ab omni urbanitate alienum. Fortasse etiam significatur, Demosthenem stare a partibus Boeotorum.

τοιαυταὶ] Nescio an scribendum sit τοιαυταγί. Gregorius Corinthius de dial. Att. §. LXVI. καὶ τὸ λέγειν ταυτηγὶ ἀντὶ τοῦ ταῦτα: quod ipsum saepe corruptum in ταυταὶ, ut ibi docuerunt interpretes.

ἀπαγορεύω μέντοι] Μέντοι hic vim habet affirmandi. Nemini placebit Reiskii conjectura ἀπαγορεύωμεν τοίνυν age itaque interdicamus nobis ipsi. Si quid mutandum foret, scribendum esset: ἀπαγορεύω μὲν τοίνυν: quocum μέντοι saepe confunditur.

μὴ πολυπραγμονεῖν - μηδὲν] Codex Vienn. omittit μή. Sed quum negatio notio primaria sit, negativa particula verbo praeponitur, et in fine enuntiationis negativum pronomen additur ad augendam vim negativam. Πολυπραγμονεῖν autem, aliena agere, agere quae non muneris sunt.

ἐγκαλύπτομαι] Ἐγκαλύπτεσθαι faciem obtegere: quod variis de caussis fiebat. Qui in moerore et luctu erant, obtegebant faciem. Hinc tropica significatio moerore affici, dolere: quae hoc loco obtinet. Idem faciebant, quos alicujus facti pudebat. Hinc tropica significatio pudore affici: quae obtinet c. 30. τά γε δὴ καταγέλαστα παντελῶς, ἐφ' οἷς οἱ συμπρέσβεις ἐνεκαλύψαντο, ubi Scholiastes explicat: τὰ πρόςωπα ἐκάλυψαν ὑπ' αἰσχύνης τῶν ὑπὸ Δημοσθένους εἰρημένων.

30. Ἐπειδὴ τοίνυν, ὦ Ἀθηναῖοι, συνελέγησαν μὲν εἰς Πέλλαν αἱ πρεσβεῖαι, παρῆν δὲ ὁ Φίλιππος, καὶ τοὺς Ἀθηναίων πρέσβεις ὁ κῆρυξ ἐκάλει, πρῶτον μὲν παρῄειμεν, οὐ καθ' ἡλικίαν, ὥςπερ ἐν τῇ προτέρᾳ πρεσβείᾳ, ὃ παρά τισιν εὐδοκίμει, καὶ κόσμος εἶναι τῆς πόλεως ἐφαίνετο, ἀλλὰ κατὰ τὴν Δημοσθένους ἀναισχυντίαν. φάσκων γὰρ νεώτατος εἶναι πάντων, τὴν τάξιν τοῦ πρώτος λέγειν οὐκ ἂν ἔφη παραλιπεῖν, οὐδ' ἐπιτρέψειν τινὶ, αἰνιττόμενος εἰς ἐμὲ, προκαταλαβόντα τὰ Φιλίππου ὦτα, τοῖς ἄλλοις λόγον μὴ καταλιπεῖν. ἀρξάμενος δὲ τοῦ λέγειν, πρῶτον διαβολήν τινα κατὰ τῶν συμπρέσβεων ὑπειπὼν, ὡς οὐχ ἅπαντες ὑπὲρ τῶν αὐτῶν, οὐδ' ὅμοιοι ταῖς δόξαις ἥκομεν, διεξῄει τὰς ὑπηρεσίας τὰς ὑπηργμέ-

---

30. εἰς Πέλλαν] Pella, oppidum Macedoniae, ubi Philippus natus erat, qui inde Πελλαῖος dicebatur. τὴν Πέλλαν ὥςπερ μητρόπολιν γεγονέναι τῶν Μακεδόνων, τὴν Φιλίππου καὶ Ἀλεξάνδρου πατρίδα.

εὐδοκίμει] Sic in imperfecto recte scripsit Reiskius pro vulgato εὐδοκιμεῖ e cod. Mead., quocum consentit Vienn. Et verbis quidem ab εὐ incipientibus augmentum dare non solet Aeschines. Tim. 12. εὐλαβοῦντο. Παραπρ. 47. εὐσέβουν. 50. εὐδόξησε. Ctes. 47. εὐνομεῖτο. Duobus locis augmentum additum est. Tim. 41. fin. ηὐπόρησεν. Παραπρ. 32. ηὐχόμεθα. Hodie in diversa abeunt diversarum nationum Critici. Germani augmentum fere ejiciunt, etiam contra codd. Illud vero item contra codd. inserunt Angli. Equidem iis Grammaticorum accedo, qui utrumque Atticis usitatum esse affirmant, et optimos in eo, ut in aliis plurimis, Mss. sequendos esse arbitror.

προκαταλαβόντα] Possit etiam προκαταλαβόντι scribi, relatum ad antecedens τινί. Sed Aeschines participium junxit cum sequente infinitivo μὴ καταλιπεῖν. Quod saepe fit. Xenophon Memorr. II, 6, 26. εἰ ἐξῆν τοῖς κρατίστοις συνθεμένους ἐπὶ τοὺς χείρους ἰέναι: ubi vide intpp., inprimis Ernestium.

ἀρξάμενος δὲ τοῦ λέγειν] Δὲ, quod jam est in Wolfiana editione, auctoritate cod. Helmst. dedi pro γάρ.

ἥκομεν] Revocavi hanc omnium librorum lectionem praeter Harl., ex quo Reiskius recepit ἥκοιμεν. Sed indicativus acerbior est in Demosthenem, quippe quo significatur, eum audacter hanc calum-

νας εἰς Φίλιππον αὐτῷ, πρώτην μὲν τὴν ἐν τῷ ψηφίσματι τοῦ Φιλοκράτους συνηγορίαν, ὅτε ἔφευγε παρανόμων, ἐξεῖναι γράψας Φιλίππῳ, πρέσβεις πρὸς Ἀθηναίους ὑπὲρ εἰρήνης πέμπειν· δεύτερον δὲ, ὑπανέγνω τὸ ψήφισμα, ὃ γεγραφὼς αὐτὸς ἦν, σπείσασθαι τῷ κήρυκι, καὶ τῇ παρὰ Φιλίππου πρεσβείᾳ. τρίτον δὲ, τὸ περὶ τοῦ βουλεύσασθαι τὸν δῆμον ὑπὲρ εἰρήνης ἐν τακταῖς ἡμέραις. καὶ προςέθηκέ τι τοιοῦτον ἐνθύμημα τῷ λόγῳ, ὅτι πρῶτος ἐπιστομίσαι τοὺς τὴν εἰρήνην ἐκκλείοντας, οὐ τοῖς λόγοις, ἀλλὰ τοῖς χρόνοις. ἔπειθ᾽ ἕτερον ἐπήγετο ψήφισμα, τὸ καὶ περὶ συμμαχίας βουλεύσασθαι τὸν δῆμον. καὶ μετὰ ταῦτ᾽ ἤδη, τὸ περὶ τῆς προεδρίας τῆς εἰς τὰ Διονύσια τοῖς πρέσβεσι τοῖς Φιλίππου ψήφισμα. καὶ προςέθηκε τὴν ἐπιμέλειαν τὴν αὑτοῦ, καὶ προςκεφαλαίων θέσιν, καὶ φυλακάς τινας, καὶ ἀγρυπνίας διὰ τοὺς φθονοῦντας, καὶ βουλομένους εἰς τὴν αὑτοῦ φιλοτιμίαν ὑβρίσαι. καὶ τά γε δὴ καταγέλαστα παντελῶς, ἐφ᾽ οἷς οἱ συμπρέσβεις ἐνεκαλύψαντο, ὡς ἐξένισε τοὺς πρέσβεις τοὺς Φιλίππου, ὡς ἐμισθώσατ᾽ αὐτοῖς, ὅτ᾽ ἀπῄεσαν, ὀρικὰ ζεύγη, καὶ συμ-

---

niam ut rem certam in συμπρέσβεις conjecisse. Hinc etiam praeferenda videtur lectio codd. Helmst. et Vienn. ἐπειπὼν pro ὑπειπὼν, quod lenitatem quandam verborum contra oratoris mentem indicat. Pro ὑπανέγνω in seqq. ἐπανέγνω item habet Vienn.

ἐνθύμημα] Dictum argutum, ἔχον ἐν αὑτῷ τὴν δύναμιν καὶ σύστασιν. Illustrat hoc Hermogenes de Inventione L. III. 8. et exempla habet Gellius Noctt. Atticc. VI, 13.

ἐπήγετο] Ita ut Scaliger conjecerat, habent codd. Helmst. et Vienn. pro ἐπῆγε. Ἐπάγεσθαι in medio est laudare, adducere. Xenophon Symp. VIII, 34. καὶ μαρτύρια δὲ ἐπήγετο, ὅτι ταῦτα ἐγνωκότες εἶεν καὶ Θηβαῖοι καὶ Ἠλεῖοι.

προεδρίας] Προεδρία sedes primaria in theatro.

ὀρικὰ ζεύγη] Harpocration τὰ τῶν ὀρέων, τουτέστι τὰ τῶν ἡμιόνων. Αἰσχίνης ἐν τῷ περὶ παραπρεσβείας. ὅτι γὰρ ὀρέας ἐκάλουν τὰς ἡμιόνους, καὶ Ὅμηρος (Il. I, 50 et saepe) καὶ Ἀριστοφάνης ἐν Βατρά-

30. Ἐπειδὴ τοίνυν, ὦ Ἀθηναῖοι, συνελέγησαν μὲν εἰς Πέλλαν αἱ πρεσβεῖαι, παρῆν δὲ ὁ Φίλιππος, καὶ τοὺς Ἀθηναίων πρέσβεις ὁ κῆρυξ ἐκάλει, πρῶτον μὲν παρῄειμεν, οὐ καθ' ἡλικίαν, ὥςπερ ἐν τῇ προτέρᾳ πρεσβείᾳ, ὃ παρά τισιν εὐδοκίμει, καὶ κόσμος εἶναι τῆς πόλεως ἐφαίνετο, ἀλλὰ κατὰ τὴν Δημοσθένους ἀναισχυντίαν. φάσκων γὰρ νεώτατος εἶναι πάντων, τὴν τάξιν τοῦ πρῶτος λέγειν οὐκ ἂν ἔφη παραλιπεῖν, οὐδ' ἐπιτρέψειν τινὶ, αἰνιττόμενος εἰς ἐμὲ, προκαταλαβόντα τὰ Φιλίππου ὦτα, τοῖς ἄλλοις λόγον μὴ καταλιπεῖν. ἀρξάμενος δὲ τοῦ λέγειν, πρῶτον διαβολήν τινα κατὰ τῶν συμπρέσβεων ὑπειπὼν, ὡς οὐχ ἅπαντες ὑπὲρ τῶν αὐτῶν, οὐδ' ὅμοιοι ταῖς δόξαις ἥκομεν, διεξῄει τὰς ὑπηρεσίας τὰς ὑπηργμέ-

---

30. εἰς Πέλλαν] Pella, oppidum Macedoniae, ubi Philippus natus erat, qui inde Πελλαῖος dicebatur. τὴν Πέλλαν ὥςπερ μητρόπολιν γεγονέναι τῶν Μακεδόνων, τὴν Φιλίππου καὶ Ἀλεξάνδρου πατρίδα.

εὐδοκίμει] Sic in imperfecto recte scripsit Reiskius pro vulgato εὐδοκιμεῖ e cod. Mead., quocum consentit Vienn. Et verbis quidem ab εὐ incipientibus augmentum dare non solet Aeschines. Tim. 12. εὐλαβοῦντο. Παραπρ. 47. εὐσέβουν. 50. εὐδόξησε. Ctes. 47. εὐνομεῖτο. Duobus locis augmentum additum est. Tim. 41. fin. ηὐπόρησεν. Παραπρ. 32. ηὐχόμεθα. Hodie in diversa abeunt diversarum nationum Critici. Germani augmentum fere ejiciunt, etiam contra codd. Illud vero item contra codd. inserunt Angli. Equidem iis Grammaticorum accedo, qui utrumque Atticis usitatum esse affirmant, et optimos in eo, ut in aliis plurimis, Mss. sequendos esse arbitror.

προκαταλαβόντα] Possit etiam προκαταλαβόντι scribi, relatum ad antecedens τινί. Sed Aeschines participium junxit cum sequente infinitivo μὴ καταλιπεῖν. Quod saepe fit. Xenophon Memorr. II, 6, 26. εἰ ἐξῆν τοῖς κρατίστοις συνθεμένους ἐπὶ τοὺς χείρους ἰέναι: ubi vide intpp., inprimis Ernestium.

ἀρξάμενος δὲ τοῦ λέγειν] Δὲ, quod jam est in Wolfiana editione, auctoritate cod. Helmst. dedi pro γάρ.

ἥκομεν] Revocavi hanc omnium librorum lectionem praeter Harl., ex quo Reiskius recepit ἥκοιμεν. Sed indicativus acerbior est in Demosthenem, quippe quo significatur, eum audacter hanc calum-

νας εἰς Φίλιππον αὐτῷ, πρώτην μὲν τὴν ἐν τῷ ψηφίσματι τοῦ Φιλοκράτους συνηγορίαν, ὅτε ἔφευγε παρανόμων, ἐξεῖναι γράψας Φιλίππῳ, πρέσβεις πρὸς Ἀθηναίους ὑπὲρ εἰρήνης πέμπειν· δεύτερον δὲ, ὑπανέγνω τὸ ψήφισμα; ὃ γεγραφὼς αὐτὸς ἦν, σπείσασθαι τῷ κήρυκι, καὶ τῇ παρὰ Φιλίππου πρεσβείᾳ. τρίτον δὲ, τὸ περὶ τοῦ βουλεύσασθαι τὸν δῆμον ὑπὲρ εἰρήνης ἐν τακταῖς ἡμέραις. καὶ προςέθηκέ τι τοιοῦτον ἐνθύμημα τῷ λόγῳ, ὅτι πρῶτος ἐπιστομίσαι τοὺς τὴν εἰρήνην ἐκκλείοντας, οὐ τοῖς λόγοις, ἀλλὰ τοῖς χρόνοις. ἔπειθ' ἕτερον ἐπήγετο ψήφισμα, τὸ καὶ περὶ συμμαχίας βουλεύσασθαι τὸν δῆμον. καὶ μετὰ ταῦτ' ἤδη, τὸ περὶ τῆς προεδρίας τῆς εἰς τὰ Διονύσια τοῖς πρέσβεσι τοῖς Φιλίππου ψήφισμα. καὶ προςέθηκε τὴν ἐπιμέλειαν τὴν αὐτοῦ, καὶ προςκεφαλαίων θέσιν, καὶ φυλακάς τινας, καὶ ἀγρυπνίας διὰ τοὺς φθονοῦντας, καὶ βουλομένους εἰς τὴν αὐτοῦ φιλοτιμίαν ὑβρίσαι. καὶ τά γε δὴ καταγέλαστα παντελῶς, ἐφ' οἷς οἱ συμπρέσβεις ἐνεκαλύψαντο, ὡς ἐξένισε τοὺς πρέσβεις τοὺς Φιλίππου, ὡς ἐμισθώσατ' αὐτοῖς, ὅτ' ἀπῄεσαν, ὀρικὰ ζεύγη, καὶ συμ-

---

niam ut rem certam in συμπρέσβεις conjecisse. Hinc etiam praeferenda videtur lectio codd. Helmst. et Vienn. ἐπειπὼν pro ὑπειπὼν, quod lenitatem quandam verborum contra oratoris mentem indicat. Pro ὑπανέγνω in seqq. ἐπανέγνω item habet Vienn.

ἐνθύμημα] Dictum argutum, ἔχον ἐν αὐτῷ τὴν δύναμιν καὶ σύστασιν. Illustrat hoc Hermogenes de Inventione L. III. 8. et exempla habet Gellius Noctt. Atticc. VI, 13.

ἐπήγετο] Ita ut Scaliger conjecerat, habent codd. Helmst. et Vienn. pro ἐπῆγε. Ἐπάγεσθαι in medio est laudare, adducere. Xenophon Symp. VIII, 34. καὶ μαρτύρια δὲ ἐπήγετο, ὅτι ταῦτα ἐγνωκότες εἶεν καὶ Θηβαῖοι καὶ Ἠλεῖοι.

προεδρίας] Προεδρία sedes primaria in theatro.

ὀρικὰ ζεύγη] Harpocration τὰ τῶν ὀρέων, τουτέστι τὰ τῶν ἡμιόνων. Αἰσχίνης ἐν τῷ περὶ παραπρεσβείας. ὅτι γὰρ ὀρέας ἐκάλουν τὰς ἡμιόνους, καὶ Ὅμηρος (Il. I, 50 et saepe) καὶ Ἀριστοφάνης ἐν Βατρά-

30. Ἐπειδὴ τοίνυν,
Πέλλαν αἱ πρεσβεῖαι
Ἀθηναίων πρέσβεις ὁ
μεν, οὐ καθ' ἡλικίαν
ὃ παρά τισιν εὐδοκίμει
ἐφαίνετο, ἀλλὰ κατὰ
φάσκων γὰρ νεώτατος
τος λέγειν οὐκ ἂν ἔφη
αἰνιττόμενος εἰς ἐμὲ,
τοῖς ἄλλοις λόγον μὴ
λέγειν, πρῶτον διαβολ
ὑπειπὼν, ὡς οὐχ ἅπαντ
ταῖς δόξαις ἥκομεν, δι

---

30. εἰς Πέλλαν] Pella,
natus erat, qui inde Πελλαῖο
πολιν γεγονέναι τῶν Μακεδόνων

εὐδοκίμει] Sic in imperf
εὐδοκιμεῖ e cod. Mead., quoc
ab εὐ incipientibus augmentu
εὐλαβοῦντο. Παραπρ. 47. εὐδ
Duobus locis augmentum ad
Παραπρ. 32. ηὐχόμεθα. Hoc
num Critici. Germani augme
Illud vero item contra codd.
maticorum accedo, qui utrum
optimos in eo, ut in aliis p

προκαταλαβόντα] Possit
ad antecedens τινί. Sed Aesc
infinitivo μὴ καταλιπεῖν. Qu
6, 26. εἰ ἐξῆν τοῖς κρατίστοις
vide intpp., inprimis Ernesti

ἀρξάμενος δὲ τοῦ λέγειν]
auctoritate cod. Helmst. dedi

ἥκομεν] Revocavi hanc
Harl., ex quo Reiskius corrup
in Demosthenem, quippe quo

...τταλοὺς, Βοιωτοὺς, οὐ Θηβαίους μόνους, ...ας, Περραιβοὺς, Μάγνητας, Λοκροὺς, Οἰ-

...ncolebant inde ab regione fluminis Penei ad radi-...s campos frugiferos ad utramque fluminis ripam ...mare effunditur. Boeoti versus Occidentem ...t et Cithaeronem. Iis natura in primis favit, ...tibus mare adjacent, versus Orientem sinum ...Occidentem sinum Crissaeum vel Corinthiacum. ...tentrionalem partem Parnassi, parva quidem ...ltae coloniae deductae sunt, inprimis in Pelo-...t fabulas mittamus, habitabant in meridionali ...i Γραϊκῶν humanitatem et artes secuti sunt; ...uxerunt in Asiae minoris littora: quae tellus ...cepit. Perrhaebi regionem tenebant in-...mine Peneo, et posteriore tempore Thes-...gnetes, Aeolicae stirpis, habebant an-...b ostio Penei inter montem Ossam et ...liam. Etiam hi accesserunt postea Thes-...t familiae, Ozolae, Epicnemidii, Opun-...nus Crissaei, et versus Orientem Pho-... Cnemide nomen habent, Opuntii ab ...sus Septentrionem tendunt, Meridiem ...pore confines erant. Oetaei mon-...i est pars Pindi. Hoc nomine eos ...qui a ceteris Aenianes dicuntur. ...habitabant. Versus Septentrionem ...etiam, quos ceteri Achaeos vocant, ...oribus hi obtinebant Phthiotidos ...ptentrionalem Peloponnesi partem. ...ηλιεῖς, a quibus nomen habet sinus ...unt versus Meridiem sinu Crissaeo, ... Locrorum familiis, versus Septen-

...ους] „Van Dale Diss. IX. ant. ...6. folgert aus diesen Worten, daſs ...e Stimme, abgesondert von der des ge-...stammes, gehabt habe; allein abgesehn ...unwahrscheinlich ist, weil sich sonst keine ...sonderung der Thebaner von den übrigen

ψηφίσματι· νῦν δὲ αὐτοῖς μὲν κατέλιπον τὴν εἰς τὸ ἀφανὲς ἀναφορὰν, ἂν μὴ πείθωσιν, ἐν ἡμῖν δὲ ἀποκινδυνεύειν ᾠήθησαν δεῖν. 29. δεῖ δὴ τοὺς πρὸς τὰ κοινὰ φιλοτιμουμένους μὴ κατέχειν μὲν ἑτέρων χώραν πρέσβεων, οὓς ἐξῆν πέμπειν ἀνθ' ἡμῶν Ἀθηναίους, αὐτοὺς δὲ τὰς πρὸς Θηβαίους ἀπεχθείας φεύγειν. ὧν εἷς ὢν Ἐπαμινώνδας στρατηγὸς, οὐχ ὑποπτήξας τὸ τῶν Ἀθηναίων ἀξίωμα, εἶπε διαῤῥήδην ἐν τῷ πλήθει τῶν Θηβαίων, ὡς δεῖ τὰ τῆς Ἀθηναίων ἀκροπόλεως προπύλαια μετενεγκεῖν εἰς τὴν προστασίαν τῆς Καδμείας. ταῦτα δέ μου μεταξὺ λέγοντος, ἀναβοᾷ παμμέγεθες Δημοσθένης, ὡς ἴσασι πάντες οἱ συμπρέσβεις ἡμῶν· καὶ γὰρ πρὸς τοῖς ἄλλοις κακοῖς

---

mutandi sunt. Nihil enim frequentius, quam ad subjecta, quae sunt nomina collectiva singularis numeri, verbum poni in plurali. Vide Matthiae Gr. Gr. §. 301.

ἂν μὴ πείθωσιν] Tum demum publica auctoritate ait rem pronuntiaturos esse Athenienses, si significatione et per interpretes nil effecerint.

29. *τὰ τῆς Ἀθηναίων ἀκροπόλεως προπύλαια μετενεγκεῖν εἰς τὴν προστασίαν τῆς Καδμείας*] Vidimus ad c. 21. *τὰ τῆς ἀκροπόλεως προπύλαια* opus fuisse magnificum, quod aditum habebat in arcem. Tropice igitur significat s p l e n d o r e m e t p o t e n t i a m A t h e n a r u m. Teste autem Harpocratione *Δίδυμος τὴν προστασίαν φησὶ κεῖσθαι ἀντὶ τοῦ προστάσεως, τουτέστι τῆς ὑπ' ἐνίων προστάδος καλουμένης*. P o r t i c u m igitur significat, qui in Cadmeam ducebat. Totius vero loci sensus hic est: Epaminondas in publica concione affirmabat, splendorem et potentiam Athenarum transferenda esse Thebas.

ἀναβοᾷ παμμέγεθες] Parallelismus fortis ad ingentem hominis clamorem exprimendum. *Ἀναβοᾷν* jam est a l t a v o c e c l a m a r e. Id autem vehementer intenditur adjecto *παμμέγεθες*, ut hyperbolen nemo non debeat agnoscere. Fortius etiam est, quam quod Demosthenes habet *παραπρ.* p. 405. *τίνα δὲ φθέγγεσθαι μέγιστον ἁπάντων, καὶ σαφέστατ' ἂν εἰπεῖν, ὅ τι βούλοιτο, λαμπρᾷ τῇ φωνῇ; Αἰσχίνην οἶδ', ὅτι τουτονί.*

βοιωτιάζει. ἦν δ' οὖν παρ' αὐτοῦ τοιαυταΐ τὰ λεγόμενα. ἄνθρωπος οὗτος ταραχῆς καὶ τόλμης ἐστὶ μεστός. ἐγὼ δ' ὁμολογῶ μαλακὸς εἶναι, καὶ τὰ δεινὰ πόῤῥωθεν δεδιέναι. ἀπαγορεύω μέντοι, μὴ συνταράττειν ἡμᾶς πρὸς ἀλλήλας τὰς πόλεις, τὸ μὴ πολυπραγμονεῖν ἡμᾶς τοὺς πρέσβεις μηδὲν, τοῦτ' ἀγαθὸν ὑπολαμβάνων εἶναι. πορεύεται Φίλιππος εἰς Πύλας; ἐγὼ δὲ ἐγκαλύπτομαι. οὐδείς με τῶν ὅπλων ἕνεκα τῶν Φιλίππου κρινεῖ, ἀλλ' ὧν ἂν εἴπω τι μὴ δέον, ἢ πράξω τι τῶν μὴ προστεταγμένων. Πέρας δὲ τοῦ πράγματος, ἐψηφίσαντο οἱ συμπρέσβεις, κατ' ἄνδρα ἐπερωτώμενος ἕκαστος ἡμῶν, ὅ, τι νομίζει συμφέρειν, τοῦτο λέγειν. ὅτι δ' ἀληθῆ λέγω, κάλει μοι τοὺς συμπρέσβεις, καὶ τὴν μαρτυρίαν αὐτῶν λέγε. „Μαρτυρια."

βοιωτιάζει] Quum Boeoti male andirent ob rusticitatem, βοιωτιάζειν significat agrestem esse, ab omni urbanitate alienum. Fortasse etiam significatur, Demosthenem stare a partibus Boeotorum.

τοιαυταΐ] Nescio an scribendum sit τοιαυταγί. Gregorius Corinthius de dial. Att. §. LXVI. καὶ τὸ λέγειν ταυταγὶ ἀντὶ τοῦ ταῦτα: quod ipsum saepe corruptum in ταυταΐ, ut ibi docuerunt interpretes.

ἀπαγορεύω μέντοι] Μέντοι hic vim habet affirmandi. Nemini placebit Reiskii conjectura ἀπαγορεύωμεν τοίνυν age itaque interdicamus nobis ipsi. Si quid mutandum foret, scribendum esset: ἀπαγορεύω μὲν τοίνυν: quocum μέντοι saepe confunditur.

μὴ πολυπραγμονεῖν - μηδὲν] Codex Vienn. omittit μή. Sed quum negatio notio primaria sit, negativa particula verbo praeponitur, et in fine enuntiationis negativum pronomen additur ad augendam vim negativam. Πολυπραγμονεῖν autem, aliena agere, agere quae non muneris sunt.

ἐγκαλύπτομαι] Ἐγκαλύπτεσθαι faciem obtegere: quod variis de caussis fiebat. Qui in moerore et luctu erant, obtegebant faciem. Hinc tropica significatio moerore affici, dolere: quae hoc loco obtinet. Idem faciebant, quos alicujus facti pudebat. Hinc tropica significatio pudore affici: quae obtinet c. 30. τά γε δὴ καταγέλαστα παντελῶς, ἐφ' οἷς οἱ συμπρέσβεις ἐνεκαλύψαντο, ubi Scholiastes explicat: τὰ πρόσωπα ἐκάλυψαν ὑπ' αἰσχύνης τῶν ὑπὸ Δημοσθένους εἰρημένων.

30. Ἐπειδὴ τοίνυν, ὦ Ἀθηναῖοι, συνελέγησαν μὲν εἰς Πέλλαν αἱ πρεσβεῖαι, παρῆν δὲ ὁ Φίλιππος, καὶ τοὺς Ἀθηναίων πρέσβεις ὁ κῆρυξ ἐκάλει, πρῶτον μὲν παρῄειμεν, οὐ καθ' ἡλικίαν, ὥςπερ ἐν τῇ προτέρᾳ πρεσβείᾳ, ὃ παρά τισιν εὐδοκίμει, καὶ κόσμος εἶναι τῆς πόλεως ἐφαίνετο, ἀλλὰ κατὰ τὴν Δημοσθένους ἀναισχυντίαν. φάσκων γὰρ νεώτατος εἶναι πάντων, τὴν τάξιν τοῦ πρῶτος λέγειν οὐκ ἂν ἔφη παραλιπεῖν, οὐδ' ἐπιτρέψειν τινὶ, αἰνιττόμενος εἰς ἐμὲ, προκαταλαβόντα τὰ Φιλίππου ὦτα, τοῖς ἄλλοις λόγον μὴ καταλιπεῖν. ἀρξάμενος δὲ τοῦ λέγειν, πρῶτον διαβολήν τινα κατὰ τῶν συμπρέσβεων ὑπειπὼν, ὡς οὐχ ἅπαντες ὑπὲρ τῶν αὐτῶν, οὐδ' ὅμοιοι ταῖς δόξαις ἥκομεν, διεξῄει τὰς ὑπηρεσίας τὰς ὑπηργμέ-

---

30. εἰς Πέλλαν] Pella, oppidum Macedoniae, ubi Philippus natus erat, qui inde Πελλαῖος dicebatur. τὴν Πέλλαν ὥςπερ μητρόπολιν γεγονέναι τῶν Μακεδόνων, τὴν Φιλίππου καὶ Ἀλεξάνδρου πατρίδα.

ὑπακούειν] Marklandus conjecit ἐπακούειν idque, nil monito lectore, Bekkerus in priore editione admiserat, in altera vulgatum revocavit. Si varietas esset in Mss., equidem ἐπακούειν praeferrem. Nam ex usu linguae ἐπακούειν est audire, audire diligenter et cum attentione; ὑπακούειν auscultare, de eo inprimis, qui clam et furtim aliquid comperire cupit, aut dicto audientem esse. —

ὅτι ἁπάντων τῶν τεττάρων καιρῶν κατηγορῶ σου, οὓς σὺ διαιρῇ. κἂν οἵ τε θεοὶ θέλωσι καὶ οἱ δικασταὶ ἐξ ἴσου ἡμῶν ἀκούσωσι κἀγὼ δύνωμαι ἀπομνημονεῦσαι, ἅ σοι σύνοιδα, πάνυ προςδοκῶ ἐπιδείξειν τοῖς δικασταῖς, τῆς μὲν σωτηρίας τῇ πόλει τοὺς θεοὺς αἰτίους γεγενημένους, καὶ τοὺς φιλανθρώπως καὶ μετρίως τοῖς τῆς πόλεως πράγμασι χρησαμένους, τῶν δὲ ἀτυχημάτων ἁπάντων Δημοσθένην αἴτιον γεγενημένον. καὶ χρήσομαι τῇ τοῦ λόγου τάξει ταύτῃ, ἣν τοῦτον πυνθάνομαι μέλλειν ποιεῖσθαι. λέξω δὲ πρῶτον περὶ τοῦ πρώτου καιροῦ, καὶ δεύτερον περὶ τοῦ δευτέρου, καὶ τρίτον περὶ τοῦ ἐφεξῆς, καὶ τέταρτον περὶ τῶν νῦν καθεστηκότων πραγμάτων. καὶ δὴ ἐπανάγω ἐμαυτὸν ἐπὶ τὴν εἰρήνην, ἣν σὺ καὶ Φιλοκράτης ἐγράψατε. 16. ὑμῖν γὰρ ἐξεγένετο ἄν, ὦ Ἀθηναῖοι, τὴν προτέραν ἐκείνην εἰρήνην ποιήσασθαι μετὰ κοινοῦ συνεδρίου τῶν

κἀγὼ δύνωμαι ἀπομνημονεύειν] Δύνασθαι hic emphatice dictum: si mihi contigerit, si vires meae suffecerint. Etiam ἀπομνημονεύειν forte est, accurate commemorare.

μετρίως τοῖς τῆς πόλεως πράγμασι χρησαμένους] Nescio cur Wolfius offenderit in vocabulo πράγμασι, et πταίσμασι conjecerit, opinans, hic sermonem esse de clade Chaeronensi. Mihi locus in universum videtur accipiendus, ut τὰ τῆς πόλεως πράγματα et χρῆσθαι de omni rerum gerendarum ratione ubique dicitur: qualis intelligenda sit, vel contextus docet, vel, ut hic, adjectum adverbium, φιλανθρώπως καὶ μετρίως. Intelligit sobriam et humanam rerum civilium rationem, alienam a superbia et arrogantia.

αἴτιον γεγενημένον] Vindicavi haec verba contra Taylorum ad Tim. 22.

16. μετὰ κοινοῦ συνεδρίου] Amphictyones intelligendos esse per κοινὸν συνέδριον opinatur Tittmannus über den Bund der Amphictyonen p. 172. Penes enim Amphictyones fuisse, nomine populorum, qui senatum illum constituebant, et bellum indicere et pacem facere. Quod jus quamquam concesserim Amphictyonum collegio fuisse, tamen συνέδριον hic ea significatione accipio, quam exposui παραπρ. 17. Intelligit nempe per κοινὸν συνέδριον

Ἑλλήνων, εἴ τινες ὑμᾶς εἴασαν, περιμεῖναι τὰς πρεσβείας, ἃς ἦτε ἐκπεπομφότες κατ᾽ ἐκεῖνον τὸν καιρὸν εἰς τὴν Ἑλλάδα, παρακαλοῦντες ἐπὶ Φίλιππον, μετασχεῖν Ἑλληνικοῦ συνεδρίου, καὶ προϊόντος τοῦ χρόνου παῤ ἑκόντων τῶν Ἑλλήνων ἀπολαβεῖν τὴν ἡγεμονίαν· καὶ τούτων ἀπεστερήθητε διὰ Δημοσθένην, καὶ Φιλοκράτην, καὶ τὰς τουτων δωροδοκίας, ἃς ἐδωροδόκησαν, συστάντες ἐπὶ τὸ δημόσιον τὸ ὑμέτερον. εἰ δέ τισιν ὑμῶν ἐξαίφνης ἀκούσασιν ἀπιστότερος προςπέπτωκεν ὁ τοιοῦτος λόγος, ἐκείνως τὴν ὑπολοιπον ποιήσασθε ἀκρόασιν, ὥςπερ ὅταν περὶ χρημάτων ἀνηλωμένων διὰ πολλοῦ χρόνου καθεζώμεθα ἐπὶ τοὺς λογισμούς. ἐρχόμεθα δήπου ψευδεῖς οἴκοθεν ἐνίοτε δόξας ἔχοντες κατὰ τῶν λογισμῶν· ἀλλ᾽ ὅμως ἐπειδὰν ὁ λογισμὸς συγκεφαλαιωθῇ, οὐδεὶς ἡμῶν ἐστὶν οὕτω δύςκολος τὴν φύσιν, ὅςτις οὐκ ἀπέρχεται τοῦθ᾽ ὁμολογήσας καὶ ἐπινεύσας ἀληθὲς εἶναι, ὅ, τι ἂν αὐτὸς ὁ λογισμὸς

---

conventum legatorum sociarum Graeciae civitatum, qui, si tempus suffecisset, Athenis congregati, communi omnium civitatum nomine pacem fecissent. Cfr. §. 61. p. 482. Bekk. ἵνα μὴ μετὰ τῶν ἄλλων Ἑλλήνων — ποιήσησθε τὴν εἰρήνην.

περιμεῖναι τὰς] Reiskius ex conjectura dedit περιμείναντας idque in priore editione retinuit Bekkerus, in altera Mss. lectionem revocavit: quae vera videtur. Nempe μετασχεῖν κοινοῦ συνεδρίου appositio est ad παρακαλοῦντες ἐπὶ Φίλιππον sc. ὥςτε μετ. κ. σ. Aeschines dicit, Athenienses per legatos Graecas civitates contra Philippum sollicitasse, ut scilicet singulae participes essent consilii socialis, quod Athenis congregatum res Philippum spectantes communi omnium nomine administraret.

ἐπειδὰν ὁ λογισμὸς συγκεφαλαιωθῇ] Συγκεφαλαιοῦν rem capitulatim et summatim complecti, ut in reddenda ratione nonnisi capita recenseri solent.

ὅ, τι ἂν αὐτὸς ὁ λογισμὸς αἱρῇ] Αἱρεῖν ostendere, verum esse, quod Latini dicunt evincere. Horatius Sat. II, 3, 250.

puerilius his ratio esse evincet amare.

αἱρῇ. 17. οὕτω καὶ νῦν τὴν ἀκρόασιν ποιήσασθε. εἴ τινες ὑμῶν ἐκ τῶν ἔμπροσθεν χρόνων ἥκουσιν οἴκοθεν τοιαύτην ἔχοντες τὴν δόξαν, ὡς ἄρα ὁ Δημοσθένης οὐδὲν πώποτε εἴρηκεν ὑπὲρ Φιλίππου, συστὰς μετὰ Φιλοκράτους, ὅςτις οὕτω διάκειται, μήτε ἀπογνώτω μηδὲν μήτε καταγνώτω, πρὶν ἀκούσῃ· οὐ γὰρ δίκαιον· ἀλλ' ἐὰν ἐμοῦ διὰ βραχέων ἀκούσητε ὑπομιμνήσκοντος τοὺς καιροὺς, καὶ τὸ ψήφισμα παρεχομένου, ὃ μετὰ Φιλοκράτους ἔγραψε Δημοσθένης, ἐὰν αὐτὸς ὁ τῆς ἀληθείας λογισμὸς ἐγκαταλαμβάνῃ τὸν Δημοσθένην πλείω μὲν γεγραφότα ψηφίσματα Φιλοκράτους περὶ τῆς ἐξ ἀρχῆς εἰρήνης καὶ συμμαχίας, καθ' ὑπερβολὴν δὲ αἰσχύνης κεκολακευκοτα Φίλιππον, καὶ τοὺς παρ' ἐκείνου πρέσβεις οὐκ ἀναμείναντα,

---

17. μήτε ἀπογνώτω μηδὲν] Reiskius mavult μηδενός. Μηδὲν adverbialiter positum est, nonnisi ad augendam vim negativam enuntiationis. Vide quae laudavi ad c. 12. Judicandi verba quae cum ἀπὸ composita sunt, significationem habent absolvendi, quae cum κατὰ, condemnandi. Cf. Pollux VIII, 9. παρασκ. 3.

πρὶν ἀκούσῃ] Porsonus ad Med. 222. „saepe, inquit, πρὶν cum subjunctivo jungunt tragici, omisso ἂν, quod in sermone familiari semper requiritur.“ Elmsley et Hermannus ad eundem locum rem subtilius tractaverunt, non tetigerunt tamen eam quaestionem, num apud prosae scriptores ἂν omitti possit. Si usum spectaveris, vix certa loca invenies, in quibus aut ἂν ab omnibus codd. absit, aut subjunctivus ab omnibus libris teneatur. Πρὶν cum praesente conjunctivi sine ἂν legimus apud Antiph. κατ. φαρμ. p. 619. οἱ δ' ἐπιβουλευόμενοι οὐδὲν ἴσασι πρὶν ἐν αὐτῷ ὦσι τῷ κακῷ γ' ἤδη καὶ γινώσκωσι τὸν ὄλεθρον, ἐν ᾧ εἰσί.

καὶ τοὺς παρ' ἐκείνου πρέσβεις οὐκ ἀναμείναντα] Taylor affirmat, „saepe dici, pacem suasisse Demosthenem, antequam redierint legati Atheniensium (non ante quam Philippi advenerint) quos civitas ad sollicitandam Graeciam misisset, id procul dubio Aeschinem hoc loco exagitare. Hinc conjicit scribendum esse: καὶ τοὺς παρ' ἐκείνου πρέσβεις, τοὺς δὲ ὑμετέρους πρέσβεις οὐκ ἀναμείναντα, ita ut priora ad κεκολακευκότα

αἴτιον δὲ γεγονότα τῷ δήμῳ τοῦ μὴ μετὰ κοινοῦ συνεδρίου τῶν Ἑλλήνων ποιήσασθαι τὴν εἰρήνην, ἔκδοτον δὲ Φιλίππῳ πεποιηκότα Κερσοβλέπτην τὸν Θρᾴκης βασιλέα, ἄνδρα φίλον, καὶ σύμμαχον τῇ πόλει — ἐὰν ταῦθ' ὑμῖν σαφῶς ἐπιδείξω, δεήσομαι ὑμῶν μετρίαν δέησιν· ἐπινεύσατέ μοι πρὸς θεῶν τὸν πρῶτον τῶν τεττάρων καιρῶν μὴ καλῶς αὐτὸν πεπολιτεῦσθαι. λέξω δὲ, ὅθεν μάλιστα παρακολουθήσετε. ἔγραψε Φιλοκράτης ἐξεῖναι Φιλίππῳ δεῦρο κήρυκα καὶ πρέσβεις πέμπειν περὶ εἰρήνης καὶ συμμαχίας. τοῦτο τὸ ψήφισμα ἐγράφη παρανόμων. ἧκον οἱ τῆς κρίσεως χρόνοι. κατηγόρει μὲν Λυκῖνος ὁ γραψάμενος, ἀπελογεῖτο δὲ Φιλοκράτης, συναπελογεῖτο δὲ καὶ Δημοσθένης. ἀπέφυγε Φιλοκράτης. 18. μετὰ ταῦτα ἐπῄει ὁ χρόνος. Θεμιστοκλῆς ἄρχων. ἐνταῦθα εἰσέρχεται βουλευτὴς εἰς τὸ βουλευτήριον Δημοσθένης, οὔτε λαχὼν οὔτε

---

trahenda sint. Verum est, Aeschinem hoc, quod Taylor affert, Demostheni saepe objicere. Sed, si lectio vulgata ab ipso Aeschine profecta est, id respicit, quod c. 18. uberius exponitur, Demosthenem non exspectasse, quoad venerint legati a Philippo ultro missi, sed mittendos curasse, qui eum invitarent, ut mitteret. Suspicionem tamen movere potest varietas lectionis; παρ' ἐκείνου deest in e k l, et vocabula οὐκ ἀναμείναντα, quae Wolfius omittebat, iidem codd. post καὶ ponunt, Bekkerus uncis inclusit.

18. Θεμιστοκλῆς ἄρχων] Ol. CVIII, 2.

οὔτε λαχὼν οὔτε ἐπιλαχὼν] Harpocration s. v. ἐπιλαχών. Αἰσχίνης κατὰ Κτησιφῶντος. οὔτε λαχὼν οὔτε ἐπιλαχὼν, ἀλλ' ἐκ παρασκευῆς πριάμενος. ἔοικε τὸ γιγνόμενον τοιοῦτον εἶναι. ἐκληροῦντο οἱ βουλεύειν ἢ ἄρχειν ἐφιέμενοι, ἔπειτα ἑκάστῳ τῶν λαχόντων ἕτερος ἐπελάγχανεν, ἵν' ἐὰν ὁ πρῶτος λαχὼν ἀποδοκιμασθῇ ἢ τελευτήσῃ, ἀντ' ἐκείνου γένηται βουλευτὴς ἢ ἄρχων, ὁ ἐπιλαχὼν αὐτῷ. Quod sequitur ἐκ παρασκευῆς πριάμενος, videtur id spectare, quod fraude et pecunia sibi πινάκιον, tabellam comparaverit, quae dabatur ei, cui sors senatoria ceciderat.

ἐπιλαχὼν, ἀλλ' ἐκ παρασκευῆς πριάμενος, ἵν' εἰς ὑποδοχὴν ἅπαντα καὶ λέγοι καὶ πράττοι Φιλοκράτει, ὡς αὐτὸ ἔδειξε τὸ ἔργον. νικᾷ γὰρ ἕτερον ψήφισμα Φιλοκράτης, ἐν ᾧ κελεύει ἑλέσθαι δέκα πρέσβεις, οἵτινες ἀφικόμενοι πρὸς Φίλιππον, ἀξιώσουσιν αὐτὸν δεῦρο πρέσβεις αὐτοκράτορας πέμπειν ὑπὲρ τῆς εἰρήνης. τούτων εἷς ἦν Δημοσθένης. κἀκεῖθεν ἐπανήκων ἐπαινέτης ἦν τῆς εἰρήνης, καὶ ταὐτὰ τοῖς ἄλλοις πρέσβεσιν ἀπήγγειλε, καὶ μόνος τῶν βουλευτῶν ἔγραψε σπείσασθαι τῷ κήρυκι τῷ ἀπὸ τοῦ Φιλίππου καὶ τοῖς πρέσβεσιν, ἀκόλουθα γράφων Φιλοκράτει. ὁ μέν γε τὴν ἐξουσίαν ἔδωκε τοῦ δεῦρο κήρυκα καὶ πρέσβεις πέμπεσθαι· ὁ δὲ τῇ πρεσβείᾳ σπένδεται. τὰ δὲ μετὰ ταῦτα ἤδη σφόδρα μοι τὸν νοῦν προσέ-

---

ἵν' εἰς ὑποδοχὴν ἅπαντα καὶ λέγοι καὶ πράττοι Φιλοκράτει] Reiskius praeferendum censet ἀποδοχήν: quo non opus esse opinor. Ὑποδέχεσθαι enim et inde derivata facile significationem opitulandi habent, quum saepe de hospitio et receptione dicantur eorum, quibus opus sit auxilio. Apud recentiores inprimis scriptores frequens est tropicae hujus significationis usus.

νικᾷ γὰρ ἕτερον ψήφισμα Φιλοκράτης] Νικᾷν, ut vincere apud Latinos, verbum proprium est de eo, qui pertulit rogationem. Cf. Schömann de Comitt. Athen. p. 129. Ernesti Cl. Cic. s. v. vincere.

τῷ ἀπὸ τοῦ Φιλίππου] Quum Ald. haberet ὑπὸ, Wolfius scripsit παρὰ, idemque suspicabatur Valckenäer Annott. Critt. in LL. N. T. p. 352., locutionis complura exempla afferens. Sed quum libri omnes habeant ὑπὸ, melius videbatur eam lectionem sequi, quam Bekkerus dedit. Quamvis enim interdum etiam ὑπὸ et παρὰ confundantur, multo tamen frequentior est confusio praepositionum ὑπὸ et ἀπὸ. Vide Bast. ad Greg. Cor. p. 791. Et ἀπὸ ut παρὰ elliptice adhibetur, originem denotans, unde quid proficiscatur. Cfr. Matthiae Gr. Gr. p. 837.

τὰ δὲ μετὰ ταῦτα ἤδη σφόδρα μοι τὸν νοῦν προσέχετε] Reiskius pro τὰ legendum censet τοῖς, quae quidem usitata esset constructio, aut servato τὰ post ταῦτα interpungendum judicat, ut sit aposiopesis, quasi subaudiatur ὁρᾶτε. Mihi quidem, quum enuntiationem inchoabat, videtur Aeschines ponere voluisse verbum, quod accu-

χετε. ἐπράττετο γὰρ οὐ πρὸς τοὺς ἄλλους πρέσβεις τοὺς πολλὰ συκοφαντηθέντας ὕστερον ἐκ μεταβολῆς ὑπὸ Δημοσθένους, ἀλλὰ πρὸς Φιλοκράτην καὶ Δημοσθένην· (εἰκότως, τοὺς ἅμα μὲν πρεσβεύοντας, ἅμα δὲ τὰ ψηφίσματα γράφοντας)· πρῶτον μὲν, ὅπως μὴ περιμείνητε τοὺς πρέσβεις, οὓς ἦτε ἐκπεπομφότες, παρακαλοῦντες ἐπὶ Φίλιππον, ἵνα μὴ μετὰ τῶν ἄλλων Ἑλλήνων, ἀλλ' ἰδίᾳ ποιήσησθε τὴν εἰρήνην. δεύτερον δ', ὅπως μὴ μόνον τὴν εἰρήνην, ἀλλὰ καὶ συμμαχίαν εἶναι ψηφιεῖσθε πρὸς Φίλιππον, ἵν' εἴ τινες προςέχοιεν τῷ πλήθει τῷ ὑμετέρῳ, εἰς τὴν ἐσχάτην ἐμπέσοιεν ἀθυμίαν, ὁρῶντες ὑμᾶς αὐτοὺς μὲν παρακαλοῦντας ἐπὶ τὸν πόλεμον, οἴκοι δὲ μὴ μόνον εἰρήνην, ἀλλὰ καὶ συμμαχίαν ἐψηφισμένους ποιεῖσθαι. τρίτον δὲ, ὅπως Κερσοβλέπτης ὁ Θρᾴκης βασιλεὺς μὴ ἔσται ἔνορκος, μηδὲ μετέσται τῆς συμμαχίας καὶ τῆς

---

sativum regit; tum vero synonymum posuit προςέχετε τὸν νοῦν, cujus constructio dativum flagitaret. Vulgo ejusmodi accusativos appellant absolutos, interpretandos quod attinet ad.

ὅπως μὴ περιμείνητε] In priore editione cum Bern. et marg. Steph. scripsit Bekkerus περιμενεῖτε; in secunda aoristum revocavit, nulla notata varietate. Equidem non decernam, cur in hoc enuntiationis membro aoristus conjunctivi, in ceteris futurum indicativi positum sit. Opinor, quod adversarii maxime metuebant, ne Athenienses legatorum reditum expectarent: quo metu sublato, satis erant certi, reliqua factum non iri.

παρακαλοῦντες] Markland mavult παρακαλοῦντας, ut referatur ad τοὺς πρέσβεις: quod quamquam non esset damnandum, si in plurimis et optimis codd. legeretur, tamen contra libros non est inferendum. c. 16. οὓς ἦτε ἐκπεπομφότες κατ' ἐκεῖνον τὸν καιρὸν εἰς τὴν Ἑλλάδα, παρακαλοῦντες ἐπὶ Φίλιππον, idemque participium mox adhibetur de Atheniensibus: ὁρῶντες ὑμᾶς αὐτοὺς μὲν παρακαλοῦντας ἐπὶ τὸν πόλεμον.

ποιήσησθε] Bekkerus in priore editione dedit ποιήσαισθε, non monito lectore, nec ulla notata varietate. In altera sine varietate legitur subjunctivus, quo respicitur res ipsa, ne fiat, sine ulla conditione.

εἰρήνης αὐτῷ. παρηγγέλλετο δ' ἤδη ἐπ' αὐτὸν στρατεία. 19. καὶ ταῦθ' ὁ μὲν ἐξωνούμενος οὐκ ἠδίκει (πρὸ γὰρ τῶν ὅρκων καὶ τῶν συνθηκῶν ἀνεμέσητον ἦν αὐτῷ πράττειν τὰ συμφέροντα)· οἱ δὲ ἀποδόμενοι καὶ κατακοινωνήσαντες τὰ τῆς πόλεως ἰσχυρὰ, μεγάλης ὀργῆς ἦσαν ἄξιοι. ὁ γὰρ μισαλέξανδρος νυνὶ φάσκων εἶναι, καὶ τότε μισοφίλιππος Δημοσθένης, ὁ τὴν ξενίαν ἐμοὶ προφέρων τὴν Ἀλεξάνδρου γράφει ψήφισμα, τοὺς καιροὺς τῆς πόλεως ὑφαιρούμενος, ἐκκλησίαν ποιεῖν τοὺς πρυτάνεις τῇ ὀγδόῃ ἱσταμένου τοῦ Ἐλαφηβολιῶνος μηνὸς, ὅτε ἦν τῷ Ἀσκληπιῷ ἡ θυσία, καὶ ὁ προαγὼν, ἐν τῇ ἱερᾷ

---

19. κατακοινωνήσαντες] Reiskius contra codd. dedit κατακοινώσαντες. (ex solo k id notat Bekkerus) Κατακοινοῖν enim esse aliquid alicui impertire, participem eum ejus rei facere; κατακοινωνεῖν autem ne Graecum quidem esse. Quod audacter dictum videtur. Thomas M. οὐ μόνον κοινωνῶ σοι τοῦ δεῖνος ἀντὶ τοῦ συμμετέχω σοι, ἀλλὰ καὶ κοινωνῶ σοι ὧν ἔχω ἀντὶ τοῦ μεταδίδωμι. Πλάτων ἐν δευτέρῳ τῶν πολιτειῶν. τετραπλάσιον χρόνον τε καὶ πόνον ἀναλίσκειν ἐπὶ σίτου παρασκευῇ, καὶ ἄλλοις κοινωνεῖν. καὶ πάλιν ἐν τῷ αὐτῷ· καὶ μὴ ἄλλοις κοινωνοῦντα πράγματα ἔχειν. Locus est L. II. p. 369. e. 370 a. — Hinc patet, contra Mss. nihil mutandum esse, quum praesertim etiam in oratoribus activa significatio interdum locum habeat. Demosthenes κατὰ Ἀριστοκ. p. 789. μετὰ ταῦτα ψηφίζονται ταυτὶ οἱ ἐν τῷ οἰκήματι, μηδένα μηδενὸς τούτῳ κοινωνεῖν μηδὲ λαμβάνειν.

ὅτε ἦν τῷ Ἀσκληπιῷ ἡ θυσία] „Quis non videt, illud reprehendi, quod Demosthenes populum festo die convocari jussit, contra leges patrias ac mores majorum? — Petitus tamen id se non videre simulat.“ „Hoc die, inquit, cogebatur pro more (unde tandem morem istum didicerit, nisi ex Calendario suo?) concio quarta τῶν κυρίων, in qua περὶ ἱερῶν καὶ ὁσίων agebatur; sed Demosthenes voluit referri de legatis ad Philippum mittendis, atque id unum est, quod Aeschini improbatur.“ „Videlicet verba illa; ὅτε ἦν τῷ Ἀσκληπιῷ ἡ θυσία καὶ ὁ προαγὼν, ἐν τῇ ἱερᾷ ἡμέρᾳ prorsus otiosa, aliena, sine vi, temere ac nullo consilio interjecta. Quid plura addam? Certum est, isto die comitia nulla umquam habita esse neque de profanis neque de sacris rebus, neque de legationibus, aliave ulla de re,

ἡμέρᾳ, ὃ πρότερον οὐδεὶς μέμνηται γενόμενον, τίνα πρόφασιν ποιησάμενος; ἵνα, φησίν, ἐὰν ἤδη παρῶσιν οἱ τοῦ Φιλίππου πρέσβεις, βουλεύσηται ὁ δῆμος ὡς τάχιστα περὶ τῶν πρὸς Φίλιππον· τοῖς οὔπω παροῦσι πρέσβεσι προκαταλαμβάνων τὴν ἐκκλησίαν, καὶ τοὺς χρόνους ὑμῶν ὑποτεμνόμενος, καὶ τὸ πρᾶγμα κατασπεύδων, ἵνα μὴ μετὰ τῶν ἄλλων Ἑλλήνων, ἐπανελθόντων τῶν ὑμετέρων πρέσβεων, ἀλλὰ μόνοι ποιήσησθε τὴν εἰρήνην. μετὰ δὲ ταῦτα, ὦ Ἀθηναῖοι, ἧκον οἱ Φιλίππου πρέσβεις· οἱ δὲ ὑμέτεροι ἀπεδήμουν, παρακαλοῦντες τοὺς Ἕλληνας ἐπὶ Φίλιππον. ἐνταῦθα ἕτερον ψήφισμα νικᾷ Δημοσθένης, ἐν ᾧ γράφει, μὴ μόνον ὑπὲρ τῆς εἰρήνης ἀλλὰ καὶ συμμαχίας ὑμᾶς βουλεύσασθαι, μὴ περιμείναν-

---

ideoque, quod dies erat non comitialis, Demosthenem tulisse ut convocaretur populus extra ordinem; qua convocatione nil opus fuit, si stato illo die comitia habenda erant." Schömann de Com. p. 53. s. Ceterum ex hoc uno loco novimus, Athenis festum in honorem Aesculapii octavo Elaphebolionis die actum esse, idque primus inter Atheniensium festa retulit Corsini Fast. Att. Dissert. XIII, 19. Si ex Asclepiacis celeberrimis, quae in Epidauro agebantur, conjicere licet, res primaria erant ἀγῶνες μουσικῆς, et ad hos referendus, qui hic memoratur προαγών.

ἐπανελθόντων τῶν ὑμετέρων πρέσβεων] Abfuisse legati ad Graecos contra Philippum invitandos missi dicuntur, et ita quidem, quasi etiam tum omnes abfuerint. Demosthenes autem de cor. p. 233. *οὔτε γὰρ*, inquit, *ἦν πρεσβεία πρὸς οὐδένας ἀπεσταλμένη τότε τῶν Ἑλλήνων, ἀλλὰ πάλαι πάντες ἦσαν ἐξεληλεγμένοι. οὐδ' οὗτος ὑγιὲς περὶ τούτων εἴρηκεν οὐδέν*: quae utraque gravius quam verius dicta esse arguit repugnantia, facile concilianda, si memineris, paullo ante (Ol. CVIII, 1.) invitatos ab Atheniensibus esse Arcades aliosque Graecos Olynthi excidio exacerbatos (Diod. Sic. XVI, 54. Demosth. p. 438, 19. cf. 439, 1.) quorum alii jam accesserant ad illud sociorum Atheniensium collegium (supra c. 16.) alii autem, quorum vel refrixerant studia, vel numquam illis faverant, etiam tunc ab eorum legatis adibantur. Cf. Weiske de Hyperb. II. p. 40 et 49.

τας τοὺς πρέσβεις τοὺς ὑμετέρους, ἀλλ' εὐθὺς μετὰ τὰ Διονύσια τὰ ἐν ἄστει τῇ ὀγδόῃ καὶ ἐνάτῃ ἐπὶ δέκα. ὅτι δὲ ἀληθῆ λέγω, ἀκούσατε τῶν ψηφισμάτων. „Ψηφίσματα.“

20. Ἐπειδὴ τοίνυν, ὦ Ἀθηναῖοι, παρεληλύθει τὰ Διονύσια, ἐγίνοντο δὲ αἱ ἐκκλησίαι, ἐν δὲ τῇ προτέρᾳ τῶν ἐκκλησιῶν ἀνεγνώσθη δόγμα κοινὸν τῶν συμμάχων, οὗ τὰ κεφάλαια διὰ βραχέων ἐγὼ προερῶ. πρῶτον μὲν γὰρ ἔγραψαν ὑπὲρ εἰρήνης ὑμᾶς μόνον βουλεύσασθαι, τὸ δὲ τῆς συμμαχίας ὄνομα ὑπερέβησαν, οὐκ ἐπιλελησμένοι, ἀλλὰ καὶ τὴν εἰρήνην ἀναγκαιοτέραν ἢ καλλίω ὑπολαμ-

---

μετὰ Διονύσια τὰ ἐν ἄστει] Ex nostro loco patet, haec magná Dionysia mensis Elaphebolionis post diem octavum et ante decimum octavum celebrata esse; quo die et quamdiu, incertum. Dodwellus Diss. VI, 18. ad duodecimum hujus mensis diem ea revocanda esse judicat. Quem librum de Dionysiis Meursium scripsisse dixi ad Tim. 19, eum quidem Meursius promisit in Graecia Feriata, sed morte praereptus promissa praestare non potuit. Egit de hoc festo Corsini Fast. Att. Diss. XIII, 37. P. I. p. 325. ss., nuper Boeckh in commentatione de Lenaeis (in Abhandl. der Acad. der Wissensch. in Berlin J. 1817.) et Buttmannus in Exc. I. ad Demosth. Mid.

20. ἐγίνοντο δὲ - ἐν δὲ cet.] Bekkerus in priore editione dedit ἐγίνοντό τε - ἔν τε; in secunda vulgatam revocavit: qua fit oratio ἀνταπόδοτος. Cf. ad παραπρ. 7. Nempe sententia, quae apodosin formare debebat, expressa est cap. seq. ut enuntiatio absoluta. — Post δόγμα vulgo adduntur τῇ ὀγδόῃ ἐπὶ δέκα: quae jam Taylor in margine ad explicationem τῇ προτέρᾳ adscripta fuisse recte judicavit. Hoc inde fit probabile, quod in e k l, eadem vocabula addita sunt ante δόγμα. Hinc Bekkerum secutus sum, qui ea in prima editione ejecit, quamquam in altera uncis tantum incluserit. — Quod autem Taylor etiam τῶν ἐκκλησιῶν ejiciendum censet, id quidem non probo, quum nec in verbis sit, quod damnetur, nec Mss. quicquam varient. Quid sit δόγμα κοινὸν τῶν συμμάχων, vide ad παραπρ. 19.

ἀλλὰ καὶ τὴν εἰρήνην ἀναγκαιοτέραν ἢ καλλίω ὑπολαμβάνοντες εἶναι]. Reiskius καὶ vel deleri vult, vel mutari in γὰρ, quod additum eleganter abundare opinatur. Perperam, καὶ vim suam habet, ipsam etiam pacem, nedum συμμαχίαν. Intelligebant pacem etiam ipsam

βάνοντες εἶναι. ἔπειτα ἀπήντησαν ὀρθῶς ἰασόμενοι τὸ Δημοσθένους δωροδόκημα, καὶ προςέγραψαν ἐν τῷ δόγματι, ἐξεῖναι τῷ βουλομένῳ τῶν Ἑλλήνων ἐν τρισὶ μησὶν εἰς τὴν αὐτὴν στήλην ἀναγεγράφθαι μετ' Ἀθηναίων, καὶ μετέχειν τῶν ὅρκων καὶ τῶν συνθηκῶν, δύο μέγιστα προκαταλαμβάνοντες· πρῶτον μὲν τὸν χρόνον τὸν τῆς τριμήνου ταῖς τῶν Ἑλλήνων πρεσβείαις ἱκανὸν γενέσθαι παρασκευάζοντες, ἔπειτα τὴν τῶν Ἑλλήνων εὔνοιαν τῇ πόλει μετὰ κοινοῦ συνεδρίου κτώμενοι, ἵν', εἰ παραβαίνοιντο αἱ συνθῆκαι, μὴ μόνοι μηδ' ἀπαράσκευοι πολεμήσαιμεν· ἃ νῦν ὑμῖν παθεῖν συνέβη διὰ Δημοσθένην. ὅτι δὲ ἀληθῆ λέγω, ἐξ αὐτοῦ τοῦ δόγματος ἀκούσαντες μαθήσεσθε. „Δόγμα συμμάχων.“ Τούτῳ τῷ δόγματι συνειπεῖν ὁμολογῶ, καὶ πάντες οἱ ἐν τῇ προτέρᾳ τῶν ἐκκλησιῶν δημηγοροῦντες. καὶ ὁ δῆμος ἀπῆλθε τοιαύτην τινὰ δόξαν εἰληφώς, ὡς ἔσται μὲν ἡ εἰρήνη, περὶ δὲ συμμαχίας οὐκ ἄμεινον εἴη διὰ τὴν τῶν Ἑλλήνων παράκλησιν βουλεύσασθαι· ἔσται δὲ κοινῇ μετὰ τῶν Ἑλλήνων ἀπάν-

---

necessariam potius esse quam pulcram, συμμαχίαν vero si simul facerent, in suum se damnum et dedecus eam facturos esse. De duplice comparativo vide Matthiae Gr. Gr. §. 456.

στήλην] Suidas στήλη ἡ λίθος ἢ χαλκὸς ἐπιμήκης, τετραγώνῳ σχήματι ἱδρυμένος. Quicquid publicae memoriae mandari volebant, ejusmodi columnis inscribebatur. Cujus rei varia exempla habet Suidas.

δύο μέγιστα] Quod habent e h k l, δύο τὰ μέγιστα, et numerosius est et significantius: duo illa gravissima.

μετὰ κοινοῦ συνεδρίου] Per communem sociorum senatum, qui ex legatis, quos denuo, novis mandatis instructos convenire oportebat, constabat.

καὶ πάντες οἱ cet.] Notanda constructio, quae talis est, ut ex antecedente infinitivo εἰπεῖν assumendus sit indicativus εἶπον.

οὐκ ἄμεινον εἴη – βουλεύσασθαι] Negatio, quae infinitivi notionem spectat, addita est enuntiationi, unde infinitivus pendet. Alii fortasse dicent, comparativum positum esse pro positivo. Cf. Hermannum ad Viger. p. 749., ubi tamen inprimis Reizii verba attendenda sunt.

των. 21. Νὺξ ἐν μέσῳ, καὶ παρῆμεν τῇ ὑστεραίᾳ εἰς τὴν ἐκκλησίαν. ἐνταῦθα δὴ προκαταλαμβάνων Δημοσθένης τὸ βῆμα, οὐδενὶ τῶν ἄλλων παραλιπὼν λόγον, οὐδὲν ὄφελος ἔφη τῶν χθὲς εἰρημένων εἶναι λόγων, εἰ ταῦθ' οἱ Φιλίππου μὴ συμπεισθήσονται πρέσβεις, οὐδὲ γινώσκειν ἔφη τὴν εἰρήνην, ἀπούσης συμμαχίας. οὐ γὰρ ἔφη δεῖν (καὶ γὰρ τὸ ῥῆμα μέμνημαι ὡς εἶπε, διὰ τὴν ἀηδίαν τοῦ λέγοντος ἅμα καὶ τοῦ ὀνόματος) ἀπορρῆξαι τῆς εἰρήνης τὴν συμμαχίαν, οὐδὲ τὰ τῶν Ἑλλήνων ἀναμένειν μελλήματα, ἀλλ' ἢ πολεμεῖν αὐτοὺς, ἢ τὴν εἰρήνην ἰδίᾳ ποιεῖσθαι. καὶ τελευτῶν ἐπὶ τὸ βῆμα παρακαλέσας Ἀντίπατρον, ἐρώτημά τι ἠρώτα, προειπὼν μὲν, ἃ ἐρήσεται, προδιδάξας δὲ, ἃ χρὴ κατὰ τῆς πόλεως ἀποκρίνασθαι· καὶ τέλος ταῦτα ἐνίκα, τῷ μὲν λόγῳ προβιασαμένου Δη-

---

21. παρῆμεν εἰς τὴν ἐκκλησίαν] Vide ad Tim. 26.

εἰ ταῦθ'] Quum editio Ald. haberet ἐνταῦθ', quod est in m n, Wolfius inde fecit ἐὰν ταῦθ', quod probari non potest propter indicativum συμπεισθήσονται. Hinc recte Stephanus εἰ ταῦθ', quod dedit etiam Bekkerus, nulla notata varietate, nisi ex m n.

ἀποῤῥῆξαι] Tropus quidem non lenissimus, nec tamen, mea quidem sententia, tam durus, quam vituperat eum Aeschines. Vario modo tropice hoc verbum Graeci usurparunt. Euripides Orest. 862. dixit πνεῦμ' ἀποῤῥῆξαι. Iphig. T. 974. βίον ἀποῤῥήξειν. Constructio quidem rara est, ut duo casus jungantur, accusativus et genitivus, ea tamen minime vituperanda.

παρακαλέσας] Hoc habent plurimi et optimi codd.: quod quum Reiskius ex Mead., quocum faciunt c d f h, in simplex καλέσας mutasset, recte Bekkerus alterum restituit. Παρακαλεῖν ἐπὶ τὸ βῆμα legitur item c. 24. παρεκάλουν ἐπὶ τὸ βῆμα. Idem est παραπρ. fin. παρακαλῶ δὲ Εὔβουλον – συνήγορον. Παρακαλεῖν in genere saepe ponitur cum accusativo ejus, quem advocamus, ut defensor et patronus sit nostrae caussae. Confusa haec verba sunt etiam c. 14.

καὶ τέλος ταῦτα ἐνίκα] Ταῦτα est nominativus, αὕτη ἡ γνώμη, et ut ad c. 16. monuimus, eum dici νικᾷν, qui pertulerit rogationem, sic etiam res ipsa dicitur νικᾷν. Demosthenes Philipp. I. fin. νικῴη δ' ὅ τι πᾶσιν ὑμῖν μέλλει συνοίσειν.

τῷ λόγῳ προβιασαμένου] In priore editione Bekkerus προσβια-

εἰπόντος, τὸ δὲ ψήφισμα γράψαντος Φιλοκράτους. ὃ δὲ ἦν ὑπόλοιπον αὐτοῖς, Κερσοβλέπτην καὶ τὸν ἐπὶ Θρᾴκης τόπον ἔκδοτον ποιῆσαι, καὶ τοῦτ᾽ ἔπραξαν ἕκτῃ φθίνοντος τοῦ Ἐλαφηβολιῶνος μηνὸς, πρὶν ἐπὶ τὴν ὑστέραν ἀπαίρειν πρεσβείαν, τὴν ἐπὶ τοὺς ὅρκους, Δημοσθένην. ὁ γὰρ μισαλέξανδρος καὶ μισοφίλιππος ὑμῖν οὑτοσὶ ῥήτωρ δὶς ἐπρέσβευσεν εἰς Μακεδονίαν, ἐξὸν μηδὲ ἅπαξ, ὁ νυνὶ κελεύων τῶν Μακεδόνων καταπτύειν. εἰς δὲ τὴν ἐκκλησίαν, τὴν τῇ ἕκτῃ λέγω, καθεζόμενος, βουλευτὴς ὢν ἐκ παρασκευῆς, ἔκδοτον Κερσοβλέπτην μετὰ Φιλοκράτους ἐποίησε. λανθάνει γὰρ ὁ μὲν Φιλοκράτης ἐν ψηφίσματι μετὰ τῶν ἄλλων γραμμάτων παρεγγράψας, ὁ δ᾽ ἐπιψηφίσας, Δημοσθένης, ἐν ᾧ γέγραπται, ἀποδοῦναι δὲ τοὺς ὅρκους τοῖς πρέσβεσι τοῖς παρὰ Φιλίππου ἐν τῇδε

σαμένου recepit ex conjectura Reiskii, in altera Mss. lectionem revocavit. *Προσβιάζεσθαι* est ad aliquid quasi vi cogere, de eo, qui minacibus verbis terret et quasi vim infert, non blandis demulcet et persuadet. *Προβιάζεσθαι* vero etsi me nusquam legere memini, tamen in se non damnandum, hic significat, antequam Philocratis psephisma scribebatur, rem ita instruere et ornare, ut populus ad id accipiendum quasi cogeretur. — Articulum *τοῦ*, qui vulgo ante *Δημοσθένους* legitur, Bekkerus delevit auctoritate codd. a b c g k l m n. Abest etiam ab Helmst.

ἕκτῃ φθίνοντος] Non est s e x t u s et v i c e s i m u s, ut Wolfius vertit, sed q u i n t u s et vicesimus, ut patet ex iis, quae dixi c. 7.

μετὰ τῶν ἄλλων γραμμάτων παρεγγράψας] Marklandus conjecit *μετὰ τῶν ἄλλων σύγγραμμά τι παρ.*, idque in priore editione recepit Bekkerus, in altera vulgatum revocavit, in quo *γράμματα* significabit ipsius psephismatis momenta. *Παρεγγράφειν* autem est verbum proprium de eo, qui subdole contra jus fasque aliquid documentis publicis inserit. Facile ex *μετὰ τῶν ἄλλων γραμμάτων* suppletur *γράμμα τι*, ad quod refertur, *ἐν ᾧ γέγραπται.* Weiskius de hyperb. II, p. 23. locum inter eos habet, in quibus *τὸ κατὰ ῥητὸν* et *τὸ κατὰ διάνοιαν* confundatur, et conjicit scriptum fuisse *διὰ δ᾽ ἄλλων ῥημάτων*, eodem sensu, quo c. 39. legitur *εὐπρεπῶς γε τῷ ὀνόματι, ἀλλὰ τῷ ἔργῳ αἰσχρῶς* et c. 44. *τοῖς ὀνόμασι κλέπτων τὰ πράγματα.* Equidem in lectione vulgatà acquiesco.

τῇ ἡμέρᾳ τοὺς συνέδρους τῶν συμμάχων. παντὰ δὲ τοῦ Κερσοβλέπτου σύνεδρος οὐκ ἐκάθητο. γράψας δὲ τοὺς συνεδρεύοντας ὀμνύναι, τὸν Κερσοβλέπτην οὐ συνεδρεύοντα ἐξέκλεισε τῶν ὅρκων. ὅτι δὲ ἀληθῆ λέγω, ἀνάγνωθί μοι, τίς ἦν ὁ ταῦτα γράψας, καὶ τίς ὁ ταῦτα ἐπιψηφίσας πρόεδρος. „ Ψήφισμα. Πρόεδρος. 22. Καλόν, ὦ Ἀθηναῖοι, καλόν, ἡ τῶν δημοσίων γραμμάτων φυλακή. ἀκίνητον γάρ ἐστι, καὶ οὐ συμμεταπίπτει τοῖς αὐτομολοῦσιν ἐν τῇ πολιτείᾳ, ἀλλ' ἐπέδωκε τῷ δήμῳ, ὁπόταν βούληται, συνιδεῖν τοὺς πάλαι μὲν πονηρούς, ἐκ μεταβολῆς δ' ἀξιοῦντας εἶναι χρηστούς. ὑπόλοιπον δέ ἐστί μοι τὴν κολακείαν αὐτοῦ διεξελθεῖν. Δημοσθένης γὰρ ἐνιαυτὸν βουλεύσας, οὐδεμίαν πώποτε φανήσεται πρεσβείαν εἰς προεδρίαν καλέσας, ἀλλὰ τότε πρῶτον, καὶ

πρόεδρος] H. l. i. q. ἐπιστάτης, ut jam monuimus ad Tim. 42. Hujus enim erat ἐπιψηφίζειν. Vide παραπρ. 18.

22. τῶν – γραμμάτων] Sic dedit Reiskius eumque secutus est Bekkerus, et ita habent b h k l. Ceteri habent πραγμάτων: quod legitur etiam in editione Aristidis, qui hunc locum laudat T. II. p. 442. Jebb. Bastius tamen ad Gregor. Cor. p. 185. laudat cod. Paris., qui habet γραμμάτων, ostenditque haec vocabula πράγματα et γράμματα saepissime confusa esse.

αὐτομολοῦσιν] e k l addunt glossam hujus rariore hic significatione positi verbi, ἀντιμεταβαλλομένοις. Ut de tropo nemo dubitare possit, addidit Aeschines ἐν τῇ πολιτείᾳ, et in sequentibus ejus vim propriis verbis explicuit. Quum αὐτομολεῖν proprie dicantur milites, qui ad hostes transfugiunt, in re civili facile transferri poterat ad eos, qui alio tempore alias partes sequuntur, modo in perniciem patriae aperte agunt, modo in ejus salutem agere se simulant.

ἀλλὰ τότε πρῶτον καὶ μόνον] Sic dedit Bekkerus ex e k l. Vulgo ἀλλὰ τότε μόνον καὶ πρῶτον: quae verba Taylor pro suppositis habet, et sane, si quid est solum, quid valet additamentum πρῶτον? Id secus est in nostra verborum collocatione. Ex eo, quod quis primum aliquid fecit, minime sequitur eum non plus semel hoc fecisse. Sed in eo ipso major inest mirandi caussa, si quis rem, quam si

μόνον, πρέσβεις εἰς προεδρίαν ἐκάλεσε, καὶ προσκεφάλαια ἔθηκε, καὶ φοινικίδας περιεπέτασε, καὶ ἅμα τῇ ἡμέρᾳ ἡγεῖτο τοῖς πρέσβεσιν εἰς τὸ θέατρον, ὥστε καὶ συρίττεσθαι διὰ τὴν ἀσχημοσύνην καὶ κολακείαν. καὶ ὅτε ἀπῄεσαν εἰς Θήβας, ἐμισθώσατο αὐτοῖς τρία ζεύγη ὀρικὰ, καὶ τοὺς πρέσβεις προὔπεμψεν εἰς Θήβας, καταγέλαστον τὴν πόλιν ποιῶν. ἵνα δ' ἐπὶ τῆς ὑποθέσεως μείνω, λάβε μοι τὸ ψήφισμα τὸ περὶ τῆς προεδρίας. „Ψήφισμα."

---

facere voluerit, eum opineris citius facturum fuisse, non solum diu intermiserit, sed sero et semel fecerit. Alia res est, quum capite 23. de filia Demosthenis legamus μόνην καὶ πρώτην. Ex eo enim, quod eo tempore sola erat, non sequitur, eam unicam fuisse. Natu enim majores jam poterant diem obiisse. Sed μόνην καὶ πρώτην eam unicam fuisse testatur: quo Aeschines Demosthenis impietatem augere studet.

εἰς προεδρίαν] Scholiastes Aristoph. Eqq. 572. προεδρία τιμῆς τρόπος. ἐξῆν δὲ τῆς τιμῆς ταύτης τυχοῦσι καὶ ἐν βουλευτηρίῳ καὶ ἐν ἐκκλησίᾳ καὶ ἐν θεάτροις καὶ ἐν ἄλλῳ παντὶ συλλόγῳ τοὺς προλαμβάνοντας, οἵτινες ἦσαν, ἐξεγείραντας εἰς τὸν ἐκείνων τόπον καθίσαι. Sedes primas etiam πρῶτον ξύλον. Pollux VIII, 133. ἐκάλουν δὲ τὴν προεδρίαν καὶ πρῶτον ξύλον. Qua προεδρίᾳ ut cives bene de republica meriti honorabantur, sic videmus eadem etiam legatos externorum populorum ornatos esse. Vide Hemsterhus. ad Poll. I. I. et Casaub. ad Theophr. Char. V. Sermonem hic esse de προεδρίᾳ in theatro festis Dionysiis patet ex παραπρ. 30. De hac προεδρίᾳ erudite nuper egit G. E. Groddeckius in disputatione praelectionibus in Univ. litt. Vilnensi a. 1821. habendis praemissa; quae inserta legitur Misc. Crit. a Friedemann. et Seebod. editis. Vol. I. Part. II. — Quod ex Lock. me restituturum esse professus fum φανήσεται pro vulgato φανεῖται ad Tim. 2., id jam Bekkerus restituerat in prima editione ex e f (e k l) vulgatum in altera revocavit. Supplendum autem est ἐὰν σκοπῆτε: quod ad hoc verbum interdum supplendum relinquunt scriptores. Demosth. in Lept. 66. Καὶ μὴν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ζῶν πάνθ' ὑπὲρ ὑμῶν φανήσεται πράξας Χαβρίας, ubi vide F. A. Wolfium.

φοινικίδα περιεπέτασε] Quemadmodum προσκεφάλαια ad tergorum et capitum mollitiem, sic φοινικὶς pedibus substernebatur, ne offenderent.

ἅμα τῇ ἡμέρᾳ] Ut scilicet splendidissimas sedes praeoccuparent.

ζεύγη ὀρικὰ] Cf. παραπρ. 30.

23. Οὗτος τοίνυν, ὦ Ἀθηναῖοι, ὁ τηλικοῦτος τὸ μέγεθος κόλαξ, πρῶτος διὰ τῶν κατασκόπων, τῶν παρὰ Χαριδήμου, πυθόμενος τὴν Φιλίππου τελευτὴν, τῶν μὲν θεῶν, συμπλάσας ἑαυτῷ ἐνύπνιον, κατεψεύσατο, ὡς οὐ παρα Χαριδήμου τὸ πρᾶγμα πεπυσμένος, ἀλλὰ παρὰ τοῦ Διὸς, καὶ τῆς Ἀθηνᾶς, οὓς μεθ' ἡμέραν ἐπιορκῶν, νύκτωρ φησὶν ἑαυτῷ διαλέγεσθαι, καὶ τὰ μέλλοντα ἔσεσθαι προλέγειν. ἑβδόμην δ' ἡμέραν τῆς θυγατρὸς αὐτῷ τετελευτηκυίας,

---

23. Χαριδήμου] Num hic notus ille Charidemus Orita sit, non decernam. Quisquis fuerit, supponitur nostro loco speculatores in aula Philippi habuisse, per quos Demosthenem illico de gravioribus, quae accidebant, rebus certiorem faciebat. Narrat rem in genere Plutarchus Demosth. p. 855. d. ἔγνω μὲν οὖν κρύφα τὴν τοῦ Φιλίππου τελευτὴν ὁ Δημοσθένης. Προκαταλαμβάνων δὲ τὸ θαῤῥεῖν ἐπὶ τὰ μέλλοντα προῆλθε φαιδρὸς εἰς τὴν βουλὴν, ὡς ὄναρ ἑωρακὼς, ἀφ' οὗ τι μέγα προςδοκᾶν Ἀθηναίοις ἀγαθόν· καὶ μετ' οὐ πολὺ παρῆσαν οἱ τὸν Φιλίππου θάνατον ἀπαγγέλλοντες.

ἑβδόμην δ' ἡμέραν] Scholiastes: οὕτως οἱ Ἀττικοὶ λέγουσι δέον εἰπεῖν πρὸ ἑπτὰ ἡμερῶν. Nempe numerus ordinalis, junctus vocabulo ἡμέρας cet., genitivum post se habet ejus rei, a qua fit computatio, ut hic: septimo die post, quam filia mortua erat, post filiae mortem. Vocabulum autem, quod designat tempus, inprimis si sit ἡμέρα, ponunt in accusativo. Thucyd. VIII, 23. τρίτην ἡμέραν αὐτοῦ ἥκοντος. Interdum etiam accusativus temporis absolute ponitur, non sequente genitivo. Xenophon Anab. VI, 5, 24. τὴν θυγατέρα - ἐνάτην ἡμέραν γεγαμημένην. c d f, habent ἑβδόμῃ δ' ἡμέρα: qui casus an hac significatione usurpatus fuerit, dubito. Apud Xenophontem quidem Hell. II, 4, 13. absolute legitur, οὓς ὑμεῖς ἡμέρᾳ πέμπτῃ τρεψάμενοι ἐδιώξατε, sed non sine varietate. Nam margo Leoncl. habet ἡμέραν πέμπτην. — Rem sic narrat Plutarchus l. l. εὐθὺς οὖν ἔθυον εὐαγγέλια καὶ στεφανοῦν ἐψηφίσαντο Παυσανίαν· καὶ προῆλθεν ὁ Δημοσθένης, ἔχων λαμπρὸν ἱμάτιον, ἐστεφανωμένος, ἑβδόμην ἡμέραν τῆς θυγατρὸς αὐτοῦ τεθνηκυίας, ὡς Αἰσχίνης φησὶ, λοιδορῶν ἐπὶ τούτῳ καὶ κατηγορῶν αὐτοῦ μισοτεκνίαν, αὐτὸς ὢν ἀγεννὴς καὶ μαλακὸς, εἰ τὰ πένθη καὶ τοὺς ὀδυρμοὺς ἡμέρου καὶ φιλοστόργου ψυχῆς ἐποιεῖτο σημεῖα, τὸ δ' ἀλύπως φέρειν καὶ πρᾴως ἀπεδοκίμαζεν. Cf. Cicer. Tusc. III, 26, 63. et Wyttenbachium ad Plutarchi Consolat. in Apollin. T. II. p. 102. ed. Lips. 787. Oxon.

πρὶν πενθῆσαι, καὶ τὰ νομιζόμενα ποιῆσαι, στεφανωσάμενος, καὶ λευκὴν ἐσθῆτα λαβὼν, ἐβουθύτει, καὶ παρηνόμει, τὴν μόνην ὁ δείλαιος καὶ πρώτην αὐτὸν πατέρα προσειποῦσαν ἀπολέσας. καὶ οὐ τὸ δυστύχημα ὀνειδίζω, ἀλλὰ τὸν τρόπον ἐξετάζω. ὁ γὰρ μισότεκνος, καὶ πατὴρ πονηρὸς, οὐκ ἄν ποτε γένοιτο δημαγωγὸς χρηστὸς, οὐδὲ ὁ τὰ φίλτατα καὶ οἰκειότατα σώματα μὴ στέργων, οὐδέποτε ὑμᾶς περὶ πλείονος ποιήσεται τοὺς ἀλλοτρίους, οὐδέ γε ὁ ἰδίᾳ πονηρὸς, οὐκ ἄν ποτε γένοιτο δημοσίᾳ χρηστὸς, οὐδ᾽ ὅςτις ἐστὶν οἴκοι φαῦλος, οὐδέποτ᾽ ἦν ἐν Μακεδονίᾳ κατὰ τὴν πρεσβείαν καλὸς κἀγαθός. οὐ γὰρ τὸν τρόπον, ἀλλὰ τὸν τόπον μόνον μετήλλαξεν.

πρὶν πενθῆσαι] Scholiastes Eur. ad Hec. 209. πένθος ἡ διὰ λύπην μελανειμονία, καὶ ἡ κουρὰ καὶ ἡ οἴκοι ἀπόκλεισις καὶ ὅσα τοιαῦτα.

ἐβουθύτει] Scholiastes: ὡς χάριν ὁμολογῶν τοῖς θεοῖς ὑπὲρ τῆς πόλεως, ὅτι ἐτελεύτησεν ὁ Φίλιππος.

παρηνόμει] Bekkerus dedit παρενόμει ex c f g k m n. Buttmannus ausführliche Griechische Sprachlehre p. 315. nostrum quidem ex abusu ortum judicat, nec tamen rejiciendum. Praeter nostrum locum duos laudat, Thucyd. III, 67. ubi legitur etiam in editione Bekkeri, Demosth. p. 217, 26.; utrobique tamen lectionis est varietas. Apud Lysiam autem πρὸς Σίμ. p. 146. R. legitur παρηνόμουν etiam in novissima Bekkeri editione 194 B., nulla notata varietate. Tolerandum eo magis videtur, quod similes anomaliae etiam in similibus verbis inveniuntur, ut ἀπήλαυον (cf. Buttm. l. l. p. 342.) διηκόνουν (l. l. p. 346. adde Eurip. Cycl. 405).

καὶ οὐ τὸ δυςτύχημα ὀνειδίζω] Eurip. Orest. v. 4. κοὐκ ὀνειδίζω τύχας. Sensus est: Non commemoro hoc infortunium, ut ei insultem. Cf. Valkenäer ad Phoen. 1549.

οὐδέ γε – οὐκ ἄν ποτε γένοιτο] Cf. ad Tim. 27.

οὐ γὰρ τὸν τρόπον ἀλλὰ τὸν τόπον – μετήλλαξε] Sententiam saepe ab antiquis usurpatam Aeschines expressit figura, quam rhetores παρονομασίαν appellant. Consulto enim ob soni similitudinem eum τρόπον et τόπον opposuisse per se patet. Qua figura quamquam Aeschines raro utatur, nec Isocratis instar eam affectet, hic eam

24. *Πόθεν οὖν ἐπὶ τὴν μεταβολὴν ἦλθε τῶν πραγμάτων (οὗτος γάρ ἐστιν ὁ δεύτερος καιρός) καὶ τί ποτ' ἐστὶ τὸ αἴτιον, ὅτι Φιλοκράτης μὲν ἀπὸ τῶν αὐτῶν πολιτευμάτων Δημοσθένει φυγὰς ἀπ' εἰςαγγελίας γιγένηται, Δημοσθένης δὲ ἐπέστη τῶν ἄλλων κατήγορος, καὶ πόθεν ποθ' ἡμᾶς εἰς τὰς ἀτυχίας ὁ μιαρὸς ἄνθρωπος ἐμβέβληκε, ταῦτ' ἤδη διαφερόντως ἄξιόν ἐστιν ἀκοῦσαι. ὡς γὰρ τάχιστα εἴσω Πυλῶν Φίλιππος παρῆλθε, καὶ τὰς μὲν ἐν Φωκεῦσι πόλεις παραδόξως ἀναστάτους ἐποίησε, Θηβαίους δὲ, ὡς τόθ' ὑμῖν ἐδόκει, περαιτέρω τοῦ καιροῦ καὶ*

---

cum judicio et vi positam esse nemo negabit. Huc respicere videtur Ciceronis vox Tusc. III, 26, 63. quae verba contorquet! Br. — Ceterum praeter Isocratem Lysias quoque frequentes habet istiusmodi παρονομασίας, in quibus excellit haec: κατὰ Φίλωνος p. 465. Bekk. Oxon. δικαίως γ' ἄν, ὅςτις φανερῶς ὥςπερ οὗτος προὔδωκε τὴν ἐλευθερίαν, οὐ περὶ τοῦ βουλεύειν ἀλλὰ περὶ τοῦ δουλεύειν ἐκκλησιάζοιτο. Orellius.

24. ἀπ' εἰςαγγελίας] Cf. supra c. 13.

ἐπέστη] Hoc verbum significat, Demosthenem repente et contra opinionem accusatoris partes suscepisse.

εἰς τὰς ἀτυχίας] e k l habent εἰς τὴν ἀτυχίαν. Videntur librarii rariore plurali offensi esse. Sed scriptores hoc numero saepe utuntur ad augendam notionem. Tim. 47. τοὺς ὀνείδη τὸν ἑαυτῶν βίον τῇ πόλει παρασκευάζοντας: ubi vide notam. Infra c. 34. τοὺς λιμένας ἔχωσαν ubi iidem codices habent τὸν λιμένα. Αἱ ἀτυχίαι est maximum infortunium. Aliis locis offerunt pro singulari numerum pluralem, qui forsitan praeferendus est. Sic infra c. 31. versus finem habent τὰς ἀλαζονείας, ubi ceteri τὴν ἀλαζονείαν.

περαιτέρω τοῦ καιροῦ] Bekkerum secutus sum, qui sic edidit ex Helmst. a c e g k l m n. Vulgo deest τοῦ. Sed solet nomen, quod pendet ex περαιτέρω, adjectum habere articulum. παραπρ. 43. ψευδὲς ὄνειδος οὐ περαιτέρω τῆς ἀκοῆς ἀφικνεῖται. Demosthenes κατὰ Ὀλυμπιοδ. p. 1182. περαιτέρω τοῦ καλῶς ἔχοντος καὶ χρυσία πολλὰ ἔχειν καὶ ἱμάτια καλά. Xenophon Memm. III, 13, 5. περαιτέρω τοῦ μετρίου μηκύνειν τὰς ὁδοὺς, χαλεπόν.

τοῦ ὑμετέρου συμφέροντος ἰσχυροὺς κατεσκεύασεν, ὑμεῖς δὲ ἐκ τῶν ἀγρῶν φοβηθέντες ἐσκευαγωγήσατε, ἐν ταῖς μεγίσταις δ' ἦσαν αἰτίαις οἱ πρέσβεις, οἱ τὴν εἰρήνην πρεσβεύσαντες, πολὺ δὲ τῶν ἄλλων διαφερόντως Φιλοκράτης καὶ Δημοσθένης, διὰ τὸ μὴ μόνον πρεσβεῦσαι, ἀλλὰ καὶ τὰ ψηφίσματα γεγραφέναι· συνέβη δ' ἐν τοῖς αὐτοῖς χρόνοις διαφέρεσθαί τι Δημοσθένην, καὶ Φιλοκράτην, σχεδὸν ὑπὲρ τούτων, ὑπὲρ ὧν καὶ ὑμεῖς αὐτοὺς ὑπωπτεύσατε διενεχθῆναι· τοιαύτης δὲ ἐμπιπτούσης ταραχῆς, μετὰ τῶν συμφύτων νοσημάτων αὐτῷ ἤδη τὰ μετὰ ταῦτα ἐβουλεύετο,

---

τοῦ ὑμετέρου συμφέροντος] Notandum, quod participio aut adjectivo substantive usurpato pronomen possessivum, vel Genitivus substantivi addatur. Supra c. 2. *κολάζετε τοὺς ὑπεναντίους — — τῷ συμφέροντι τῷ ὑμετέρῳ πολιτευομένους*. *παραπρ.* 53. versus fin. *πολλοὺς βοηθοὺς λήψεται τὸ τῆς πόλεως συμφέρον*. Supra c. 4. *τῷ τοῦ νόμου δικαίῳ χρὴ διδόναι τὴν ψῆφον*, 63. *μετενήνεκται γὰρ ὑμῖν τὰ τῆς πόλεως δίκαια*. Demosthenes *περὶ στεφ.* p. 234. *τὰ μικρὰ συμφέροντα τῆς πόλεως ἔδει με φυλάττειν*. Cf. Schaefer. ad Gregor. Cor. p. 131. s.

ἐσκευαγωγήσατε] Bekkerum secutus sum, qui sic edidit ex Helmst. b e k l pro vulgato *ἐσκευαγωγήκατε*. Et quae antecedunt et quae sequuntur, flagitant aoristum; nec aptum praesens actionis perfectae. De verbo *σκευαγωγεῖν* vide *παραπρ.* 39.

τοιαύτης δὲ ἐμπιπτούσης ταραχῆς] *Δὲ* apud Graecos interdum ponitur in enuntiatione, quae in unum complectitur plura, ut Latinorum a u t e m. Cf. Hermann. ad Vig. p. 847.

μετὰ τῶν συμφύτων νοσημάτων] Recte Taylor Wolfium reprehendit vertentem p r a e t e r i n n a t o s e i m o r b o s. Est: u t p a r e r a t i n n a t i s e i m o r b i s. *μετὰ δειλίας* cet. est appositio. Fit enim non sine vi, ut in appositione praepositio repetatur, quae adest nomini, cui additur appositio, ut eam Latine per e t q u i d e m reddere possis: quo usu interdum offenduntur viri docti. Lucianus T. I. p. 396. s. Dial. mort. XIV, 4. *προσκυνεῖσθαι ὑπὸ Μακεδόνων, ὑπ' ἐλευθέρων ἀνδρῶν, ἠξίους*, ubi praepositio *ὑπ'* adeo displicet M. du Soul, ut eam delendam censeat.

μετὰ δειλίας, καὶ τῆς πρὸς Φιλοκράτην ὑπὲρ τῆς δωροδοκίας ζηλοτυπίας, καὶ ἡγήσατο, εἰ τῶν συμπρεσβευόντων καὶ τοῦ Φιλίππου κατήγορος ἀναφανείη, τὸν μὲν Φιλοκράτην προδήλως ἀπολεῖσθαι, τοὺς δὲ ἄλλους συμπρέσβεις κινδυνεύσειν, αὐτὸς δ' εὐδοκιμήσειν, καὶ προδότης ὢν τῶν φίλων καὶ πονηρὸς πιστὸς τῷ δήμῳ φανήσεσθαι. κατιδόντες δ' αὐτὸν οἱ τῇ τῆς πόλεως προςπολεμοῦντες ἡσυχίᾳ, ἄσμενοι παρεκάλουν ἐπὶ τὸ βῆμα, τὸν μόνον ἀδωροδόκητον ὀνομάζοντες τῇ πόλει. 25. ὁ δὲ παριὼν, ἀρχὰς αὐτοῖς ἐνεδίδου πολέμου καὶ ταραχῆς. οὗτός ἐστιν, ὦ Ἀθηναῖοι, ὁ πρῶτον ἐξευρὼν Σέῤῥιον τεῖχος, καὶ Δορίσκον, καὶ Ἐρ-

---

ὑπὲρ τῆς δωροδοκίας ζηλοτυπίας] Scholiastes: οἱονεὶ ὑπὲρ τοῦ λαβεῖν αὐτοὺς χρήματα παρὰ Φιλίππου καὶ φιλονεικεῖν ἑκατέρους περὶ τοῦ πλείονος πρὸς ἀλλήλους.

συμπρεσβευόντων] Marklandus conjicit vel συμπρεσβευσάντων vel συμπρεσβευτῶν. Posterius Atticis non usitatum. In singulari enim dicunt συμπρεσβευτής, in plurali vero συμπρέσβεις, non συμπρεσβευταί. Primo non opus. Praesens enim participii saepe adhibetur pro substantivo, rem ipsam in genere indicans, nulla temporis ratione habita. Ergo τῶν συμπρεσβευόντων idem est, quod τῶν συμπρέσβεων.

ἄσμενοι παρεκάλουν] Bern. e k l ἀσμένως. Librarii quidem saepe hoc adjectivum, quod ab Atticis ibi ponitur, ubi nos adverbium adhibemus, corruperunt in adverbium.

ἀδωροδόκητον] Pollux IV, 34. VI, 191. in laudibus oratoris ponit ἄδωρος, ἀδωροδόκητος, utrumque eadem significatione. Et Etymologicon quidem M. ἄδωρος explicat ὁ δώροις μὴ ἐφθαρμένος. Quamquam negari non potest, quod vere observavit Hemsterhusius, duplici hoc vocabulum significatione adhiberi, de eo, qui ipse nihil in populum largiatur, et de eo, qui nullis se donis muneribusque tentari patitur et corrumpi: quae posterior significatio unice locum habet in ἀδωροδόκητος, quod est δῶρα μὴ λαμβάνων, a δέχεσθαι. — Ceterum quam hic Demosthenis asseclae uni Demostheni laudem tribuisse dicuntur, eam, referente Diogene Läert. IV, 9., Philippus ipse uni tribuebat Xenocrati, ὡς μόνος εἴη τῶν πρὸς αὐτὸν ἀφιγμένων ἀδωροδόκητος.

25. Σέῤῥιον τεῖχος cet.] Loca sunt Thraciae non omnia tam

γίσκην, καὶ Μουργίσκην, καὶ Γάνος, καὶ Γανίδα, χωρία, ὧν οὐδὲ τὰ ὀνόματα ᾔδειμεν πρότερον, καὶ ἐς τοῦτο φέρων περιέστησε τὰ πράγματα, ὥστ', εἰ μὲν μὴ πέμποι Φίλιππος πρέσβεις, καταφρονεῖν αὐτὸν ἔφη τῆς πόλεως, εἰ δὲ πέμποι, κατασκόπους πέμπειν, ἀλλ' οὐ πρέσβεις, εἰ δὲ ἐπιτρέπειν ἐθέλοι πόλει τινὶ ἴσῃ καὶ ὁμοίᾳ περὶ τῶν ἐγκλημάτων, οὐκ εἶναι κριτὴν ἴσον ἡμῖν ἔφη καὶ Φιλίππῳ. Ἀλόνησον ἐδίδου· ὁ δ' ἀπηγόρευε μὴ λαμβάνειν, εἰ διδωσιν, ἀλλὰ μὴ ἀποδίδωσι, περὶ συλλαβῶν διαφερόμενος. καὶ τὸ τελευταῖον στεφανώσας τοὺς μετὰ Ἀριστοδήμου εἰς Θετταλίαν καὶ Μαγνησίαν παρὰ τὰς περὶ τῆς εἰρήνης συνθήκας ἐπι-

---

ignobilia, quam ea hic fingit orator ad minuendam rem. Herod. VII, 59. ὁ δὲ Δορίσκος ἐστι τῆς Θρηΐκης αἰγιαλός τε καὶ πεδίον μέγα· ἐν τῷ τεῖχός τε ἐδέδμητο βασιλήϊον τοῦτο, τὸ δὴ Δορίσκος κέκληται. — — — τελευταία δέ αὐτοῦ Σέῤῥειον, ἄκρη ὀνομαστή. Harpocration: Ἐργίσκη τῆς Θρᾴκης ὠνόμασται ἀπὸ Ἐργίσκου τοῦ Ποσειδῶνος καὶ Ἄβας νύμφης. Καὶ Μουργίσκην deest in a e g l m n. Nec usquam hunc locum memoratum inveni, et, quod notandum, nulla ejus mentio in Harpocratione, qui cetera loca, quae hic nominantur, omnia memoravit, ut hoc vocabulum in suo Aeschinis exemplo non videatur invenisse. Demosthenes περὶ στεφ. p. 231. cum Serrio et Ergisce habet Μύρτιον, Harpocration id Μύρτανον appellat. Suidas autem Μυρτώνιον habet; καὶ Γάνος καὶ Γανίδα Helmst. habet Γάνον, quod fortasse verum. Harpocration: Γάνος θηλυκῶς; addit Suidas, vere opinor: τὸ πρὸς τῇ Θρᾴκῃ ὄρος ἡ Γάνος. Pro Γανίδα habet Harpocration et Suidas Γανιάδα: quae item vera videtur scriptura. Nomen videtur regionis fuisse, quae circumjacebat montem Ganum. Scylax Periplus p. 28. Hutch. nominat Γάνος, Γανίαι.

φέρων περιέστησε] Cf. ad Tim. 72.

πόλει τινὶ ἴσῃ καὶ ὁμοίᾳ] Jam hic habemus civitatem neutrarum partium studiosam, sed ex justo et aequo rem judicantem. Quod nos neutral dicimus, Graeci ἴσον appellabant.

Ἀλόνησον ἐδίδου] Ista res uberius tractatur in oratione, quae inter Demosthenis opera legitur T. I. p. 75-83. Hunc vocabulorum lusum saepe et multifariam adhibuerunt Comici.

στρατεύσαντας, τὴν μὲν εἰρήνην διέλυσε, τὴν δὲ συμφορὰν καὶ τὸν πόλεμον παρεσκεύασεν. Ναί· ἀλλὰ χαλκοῖς, καὶ ἀδαμαντίνοις τείχεσιν, ὡς αὐτός φησι, τὴν χώραν ἡμῶν ἐτείχισε, τῇ τῶν Εὐβοέων καὶ Θηβαίων συμμαχίᾳ. ἀλλ', ὦ Ἀθηναῖοι, περὶ ταῦτα τρία μέγιστα ἠδίκησθε, καὶ μάλιστα ἠγνοήκατε. σπεύδων δ' εἰπεῖν περὶ τῆς θαυμαστῆς συμμαχίας τῆς τῶν Θηβαίων, ἵνα ἐφεξῆς εἴπω, περὶ

χαλκοῖς καὶ ἀδαμαντίνοις τείχεσι] Hunc locum respiciens Demosthenes *περὶ στεφ.* p. 325. *τὸν δὲ τειχισμὸν*, inquit, *τοῦτον, ὅν σύ μου διέσυρες, καὶ τὴν ταφρείαν, ἄξια μὲν χάριτος καὶ ἐπαίνου κρίνω· πῶς γὰρ οὔ; πόρρω μέντοι που τῶν ἐμαυτῷ πεπολιτευμένων τίθεμαι. οὐ γὰρ λίθοις ἐτείχισα τὴν πόλιν οὐδὲ πλίνθοις ἐγὼ, οὐδ' ἐπὶ τούτοις μέγιστον τῶν ἐμαυτοῦ φρονῶ, ἀλλ' ἐὰν τὸν ἐμὸν τειχισμὸν βούλῃ δικαίως σκοπεῖν, εὑρήσεις ὅπλα καὶ πόλεις καὶ τόπους, καὶ λιμένας καὶ ναῦς καὶ ἵππους καὶ τοὺς ὑπὲρ τούτων ἀμυνομένους. ταῦτα προὐβαλόμην ἐγὼ πρὸ τῆς Ἀττικῆς — — καὶ τούτοις ἐτείχισα τὴν χώραν οὐχὶ τὸν κύκλον μόνον τοῦ Πειραιῶς οὐδὲ τοῦ ἄστεος*: qui locus est *ἐπιβολῆς ἐξ ὀνόματος, ὅταν, ὄνομα ὑποθεὶς ἐξ αὐτοῦ εἰσάγῃ τὸν τόπον, ὃ καὶ κάλλιστον.* Tiberius rhetor *περὶ σχημάτων* p. 87. Boiss. — *Ἀδάμας* autem complura gemmarum genera complectitur, admodum durarum. Hinc, quicquid durum, firmum et maxime munitum est, adamantinum dicebatur Graecis et Latinis. Cf. Perizonium ad Aeliani Varr. Historr. VI, 12. Saepe idem est quod *σιδηροῦν*, ferreum. Vide Blomfield Glossarium in Aeschyli Prom. V. v. 6. — Scil. *ἀδάμας* apud antiquos nomen est poëticum ferri, chalybis, aeris; apud posteriores nomen proprium (*κύριον*) adamantis gemmae. O.

Εὐβοέων] Bekkerus in priore editione ad praeceptum quorumdam Grammaticorum, qui ajunt, Atticos genitivum nominum in *εύς* quorum terminationem vocalis praecedat, contraxisse, ubique, etiam contra libros, Genitivos contraxit. Quum rarissime codd. contractionem exhibeant, equidem vulgarem rationem secutus sum, ut in altera editione Bekkerus ipse, praesertim quum Grammatici videantur, quod in quibusdam locis observarunt (Aristophanes inprimi solet esse, quem sequuntur) tanquam generalem regulam Atticorum posuisse: quam, si fidem Mss. non omnem denegamus, oratores in paucis sunt secuti.

Ἵνα ἐφεξῆς εἴπω] Ut ordinem chronologicum servem.

τῶν Εὐβοέων πρῶτον μνησθήσομαι. 26. ὑμεῖς γὰρ, ὦ Ἀθηναῖοι, πολλὰ καὶ μεγάλα ἠδικημένοι ὑπὸ Μνησάρχου τοῦ Χαλκιδέως, τοῦ Καλλίου καὶ Ταυροσθένους πατρὸς, οὓς οὗτος νυνὶ, μισθὸν λαβὼν, Ἀθηναίους εἶναι τολμᾷ γράφειν, καὶ πάλιν ὑπὸ Θεμίσωνος τοῦ Ἐρετριέως, ὃς ἡμῶν, εἰρήνης οὔσης, Ὠρωπὸν ἀφείλετο, τούτων ἑκόντες ἐπιλανθανόμενοι, ἐπειδὴ διέβησαν εἰς Εὔβοιαν Θηβαῖοι, καταδουλώσασθαι τὰς πόλεις πειρώμενοι, ἐν πέντε ἡμέραις ἐβοηθήσατε αὐτοῖς, καὶ ναυσὶ, καὶ πεζῇ δυνάμει, καὶ πρὶν τριάκοντα ἡμέρας διελθεῖν, ὑποσπόνδους Θηβαίους ἀφήκατε, κύριοι τῆς Εὐβοίας γενόμενοι, καὶ τάς τε πόλεις αὐτὰς καὶ τὰς πολιτείας ἀπέδοτε ὀρθῶς καὶ δικαίως τοῖς παρακαταθεμένοις, οὐχ ἡγούμενοι δίκαιον εἶναι τὴν ὀργὴν

---

26. ἠδικημένοι ὑπὸ Μνησάρχου] Quas injurias passi sint a Mnesarcho et quo anno, nusquam potui invenire.

Ἀθηναίους εἶναι] Qua de caussa Athenienses eos civitate donaverint, ex sequentibus patet.

ὑπὸ Θεμίσωνος] Rem jam exposui παραπρ. c. 48. Occupatio Oropi incidebit in Ol. CIII, 3. archonte Cephisodoro. Xenophon Hell. VII, 4. urbem tradit ab exsulibus occupatam esse. Themison mox eam amisit, ut patet ex Ulpiani loco, quem laudavi l. c., quocum consentit Diodorus Sic. XV, 76., unde sua hausit Ulpianus.

ἐν πέντε ἡμέραις ἐβοηθήσατε αὐτοῖς] Haec expeditio incidit in annum 3. Ol. CV, archonte Cephisodoto. Suscepta ea est auctore Timotheo, cujus adhortationem nobis tradit auctor orationis de rebus Chers. in Demosth. operibus p. 108. Per Dioclem cum Thebanis pactum factum esse, monet idem in Mid. p. 570. (§. 47. Buttm.) Expeditionem hanc promte et studiose paratam esse, in eo consentiunt oratores. Quid? quod Demosthenes in Androt. p. 597. affirmat, intra tres dies eam factam esse. Idem addit: Εὐβοεῖς σωθέντες καὶ ἐλευθερωθέντες ἐστεφάνωσαν τὸν δῆμον.

τοῖς παρακαταθεμένοις] Bekkerum secutus sum, qui sic dedit cum Bern., marg. Steph. e k l. Vulgo αὐτοῖς παρακαταθέμενοι. Quam fingit Reiskius formae mediae significationem, παρακατατίθεσθαι eum dici, qui pignus servandum et aliquando reddendum accipiat et apud se deponi patiatur, ea nusquam obtinet; sed est, rem tanquam depositam tradere, ut fideliter et sancte custodiatur.

ἀπομνημονεύειν ἐν τῷ πιστευθῆναι. καὶ τηλικαῦθ' ὑφ' ὑμῶν εὖ πεπονθότες οἱ Χαλκιδεῖς, οὐ τὰς ὁμοίας ὑμῖν ἀπέδοσαν χάριτας. ἀλλ' ἐπειδὴ τάχιστα διέβητε εἰς Εὔβοιαν Πλουτάρχῳ βοηθήσοντες, τοὺς μὲν πρώτους χρόνους ἀλλ' οὖν προςεποιοῦνθ' ὑμῖν εἶναι φίλοι, ἐπειδὴ δὲ τάχιστα εἰς Ταμύνας παρήλθομεν, καὶ τὸ Κοτύλαιον ὀνομαζόμενον ὄρος ὑπερεβάλλομεν, ἐνταῦθα Καλλίας ὁ Χαλκιδεύς, ὃν Δημοσθένης μισθαρνῶν ἐνεκωμίαζεν, ὁρῶν τὸ στρατόπεδον

Χαλκιδεῖς] Quam Grammatici formam esse Atticam perhibent nominum in εύς, ut nominativus pluralis terminetur in ῆς vel potius ῇς, eam in priore editione Bekkerus reddidit, in altera vulgarem recte revocavit. Cf. Buttmann ausführliche Sprachlehre Vol. I. §. 22. p. 195.

Πλουτάρχῳ βοηθήσοντες] Haec est secunda, quam novimus, expeditio Euboica, qua Athenienses Plutarcho, Eretriae tyranno, suppetias ferebant, qui in discrimen venerat amittendae civitatis, conspirantibus in eum civibus duce Clitarcho. Atheniensium imperator erat Phocion. Expeditio videtur locum habuisse Ol. CVI, 4. Temporum rationes discutit Boeckhius in chronolog. orat. Midian. p. 81. sqq.

εἰς Ταμύνας] Cf. animadversionem ad παραπρ. 49.

Κοτύλαιον-ὄρος] Harpocration: ἔοικε τὸ ὄρος τῆς Εὐβοίας εἶναι. Ἀρχέμαχος γοῦν ἐν τρίτῃ Εὐβοϊκῶν φησί· Κότυλος μὲν οὖν φαίνεται κατασχεῖν τὸ ὄρος τὸ νῦν ἀπ' ἐκείνου καλούμενον Κοτύλαιον, Steph. Byz. Κοτύλαιον· ὄρος Εὐβοίας ἀνακείμενον Ἀρτέμιδι, ὥς φησιν Ἀντίμαχος ἐν Ἀρτέμιδος B.

μισθαρνῶν ἐνεκωμίαζεν] Μισθαρνῶν dedit Bekkerus cum Helmst. e k l. Vulgo μισθὸν λαβὼν ex glossa. Glossographi enim saepe vocabulum compositum explicarunt per periphrasin compositioni synonymam. Caute tamen hac in re agendum. Nam Attica dialectus saepe per phrasin exprimit, quod recentior Graecorum aetas per compositum vocabulum. Sed hoc μισθαρνεῖν optimis est usitatum. Bekker. Anecd p. 416. Ἄρνυσθαι, ἀντικαταλλάσσεσθαι. ὅθεν καὶ τὸ μισθαρνεῖν τὸ μισθὸν ἀπό τινος λαμβάνειν λέγεται. Inter alia inprimis de demagogo, qui, opificis instar, ratione sua et oratione mercedem sectatur. Infra 75. τὸ μὲν διὰ χρόνου λέγειν σημεῖόν ἐστιν ἐπὶ τῶν καιρῶν καὶ τοῦ συμφέροντος ἀνδρὸς πολιτευομένου, τὸ δὲ μηδεμίαν παρα-

τὸ τῆς πόλεως εἰς τινὰς δυςχωρίας κατακεκλεισμένον, ὅθεν μὴ νικήσασι μάχην, οὐκ ἦν ἀναχώρησις, οὔτε βοηθείας ἐλπὶς, οὔτ' ἐκ γῆς, οὔτε ἐκ θαλάττης, συναγείρας ἐξ ἁπάσης τῆς Εὐβοίας στρατόπεδον, καὶ παρὰ Φιλίππου δύναμιν προςμεταπεμψάμενος, ὅ, τ' ἀδελφὸς αὐτοῦ Ταυροσθένης,

---

Προναίαν quam Πρόνοιαν dictam putes: ut mirari satis non possim, unius Meursii tantam fuisse auctoritatem, ut ad illius sententiam, ubicunque Minervae Προνοίας Delphicae mentionem factam invenirent, in ejus locum substituerent Προναίαν. Sed vide locum Demosthenis in Aristog. p. 780. Προνοίας Ἀθηνᾶς, — — ἀλλ' οὐκ Ἀπονοίας: quo loco quum orator Minervae Προνοίας aedem consecratam dicit, non vero ἀπονοίας, quid aliud significat, nisi, propterea religiose colendam Minervam Πρόνοιαν antiquos homines voluisse, quod tum demum bene res succedere arbitrati sint, quum illis admoverentur ii, quorum spectata esset πρόνοια? In Aeschinis loco (nostro nempe) Stanlejus ad Aeschyli Eum. v. 21. Προναίαν voluit, eamque ad Thebas collocavit, Pausaniae adductus testimonio, qui L. IX, 10, 2. ait: πρῶτα μὲν δὴ λίθου κατὰ τὴν ἔσοδόν ἐστιν Ἀθηνᾶ καὶ Ἑρμῆς ὀνομαζόμενοι Πρόναοι· — μετὰ δὲ ὁ ναὸς ᾠκοδόμηται. Sed ibi de simulacris ad ingressum lapidis collocatis Minervae et Mercurii fit sermo, qui cur Πρόναοι sint nominati, declarat Pausanias, dum subjicit: μετὰ δὲ ὁ ναὸς ᾠκοδόμηται. — — — Ad Aeschinis locum quod attinet, notari velim, conjungi τὸν Ἀπόλλωνα τὸν Πύθιον καὶ τὴν Ἄρτεμιν καὶ Λητὼ καὶ Ἀθηνᾶν Πρόνοιαν, eosdem, quibus aram in Zostere Atticae dicatam fuisse discimus ex Pausaniae Att. p. 76. L. I, 31, 1. Pythia scilicet suo oraculo voluit, ut Cirrhaei et Acraullidae in servitutem redacti, eorumque agri ipsis numinibus Delphicis, Minervae Προνοίᾳ et Apollini Pythico ceterisque donarentur."

ἐπὶ πάσῃ ἀεργίᾳ] Ita ut prorsus inculta jaceret ista regio. Nempe quod Deo sacratum erat, id nec aratro findi, nec falce demeti licebat.

34. τῶν Ἀμφικτυόνων] Ex gentibus illis, quae jus habebant, legatos mittendi ad consilium Amphictyonum.

σαντο τοὺς ἀνθρώπους, καὶ τοὺς λιμένας ἔχωσαν, καὶ τὴν πόλιν αὐτῶν κατέσκαψαν, καὶ τὴν χώραν αὐτῶν καθιέρωσαν κατὰ τὴν μαντείαν. καὶ ἐπὶ τούτοις ὅρκον ὤμοσαν ἰσχυρὸν, μήτε αὐτοὶ τὴν ἱερὰν γῆν ἐργάσεσθαι, μήτε ἄλλῳ ἐπιτρέψειν, ἀλλὰ βοηθήσειν τῷ θεῷ, καὶ τῇ γῇ τῇ ἱερᾷ, καὶ χειρὶ καὶ ποδὶ καὶ πάσῃ δυνάμει. καὶ οὐκ ἀπέχρησεν αὐτοῖς τοῦτον μόνον τὸν ὅρκον ὀμόσαι, ἀλλὰ καὶ προςτροπὴν καὶ ἀρὰν ἰσχυρὰν ὑπὲρ τούτων ἐποιήσαντο. γέγραπται γὰρ οὕτως ἐν τῇ ἀρᾷ· εἴ τις τάδε, φησὶ, παραβαίνοι, ἢ πόλις ἢ ἰδιώτης, ἢ ἔθνος, ἐναγὴς, φησὶν, ἔστω τοῦ

τοὺς λιμένας] Quod Marklandus scribendum conjecit τὸν λιμένα, id praebent e k l, idque recepit in altera editione Bekkerus. Sed pluralis, ut solet, ὑπερβολικῶς ponitur. Cf. supra c. 6.

καθιέρωσαν] g ἀφιέρωσαν, quod pravum esse ex iis patet, quae supra dixi c. 6.

ἐργάσεσθαι] a f g h m n, ἐργάσασθαι, e k l, ἐργάζεσθαι: quorum in se neutrum damnandum. Vide animadvv. Demosth. p. 82. s. Sed quum in hac periodo ubique futurum sit positum, et quum ratio ubique sit eadem, non opinor Aeschinem in hoc uno membro aoristum vel praesens posuisse.

βοηθήσειν τῷ θεῷ] Hac formula significatur: Dei voluntati accuratissime obtemperare, ejus honorem vindicare impiosque punire. Soph. Oed. T. 245.

ἐγὼ μὲν οὖν τοιόςδε τῷ τε δαίμονι
τῷ τ' ἀνδρὶ τῷ θανόντι σύμμαχος πέλω.

βοηθεῖν αὐτῷ dicitur is, qui injuriam illatam persequitur et ulciscitur. Demosthenes in Mid. p. 64. §. 30. Buttm. ἐάν τις παρὰ πάντας τοὺς νόμους ὑβρισθεὶς ὑπὸ Μειδίου βοηθεῖν ἑαυτῷ πειρᾶται.

οὐκ ἀπέχρησεν αὐτοῖς τοῦτον μόνον τὸν ὅρκον ὀμόσαι] H. Stephanus de dialecto Attica p. 105. „Observavi, inquit, apud Aeschinem et Lucianum μόνον ad ἀπέχρησεν adjectum esse pleonastice.“ Est genus parallelismi; neque omnino redundat μόνον; verum τοῦτον μόνον τὸν ὅρκον dictum propter sequens ἀλλὰ καὶ προςτροπὴν καὶ ἀράν. De προςτροπὴ vide παραπρ. 45. ad προςτρόπαιον: quod utrumque eadem significatione adhibitum esse ab Aeschine opinatur Photius s. v. προςτροπαῖον.

Ἀπόλλωνος, καὶ τῆς Ἀρτέμιδος, καὶ Λητοῦς, καὶ Ἀθηνᾶς Προνοίας. καὶ ἐπεύχεται αὐτοῖς μήτε γῆν καρποὺς φέρειν, μήτε γυναῖκας τέκνα τίκτειν γονεῦσιν ἐοικότα, ἀλλὰ τέρατα, μήτε βοσκήματα κατὰ φύσιν γονὰς ποιεῖσθαι, ἧτταν δὲ αὐτοῖς εἶναι πολέμου, καὶ δικῶν, καὶ ἀγορῶν, καὶ ἐξώλεις εἶναι καὶ αὐτοὺς καὶ οἰκίας, καὶ γένος τὸ ἐκείνων, καὶ μήποτε, φησὶν, ὁσίως θύσαιεν τῷ Ἀπόλλωνι, μηδὲ τῇ Ἀρτέμιδι, μηδὲ τῇ Λητοῖ, μηδ' Ἀθηνᾷ Προνοίᾳ, μηδὲ δέξαιντο αὐτοῖς τὰ ἱερά. ὅτι δὲ ἀληθῆ λέγω, ἀνάγνωθι τὴν τοῦ θεοῦ μαντείαν. ἀκούσατε τῆς ἀρᾶς, ἀναμνήσθητε τῶν ὅρκων, οὓς ὑμῶν οἱ πρόγονοι μετὰ τῶν Ἀμφικτυόνων συμώμοσαν. „Μαντεία."

„Οὐ πρὶν τῆςδε πόληος ἐρείψετε πύργον ἑλόντες,
Πρίν γε θεοῦ τεμένη κυανώπιδος Ἀμφιτρίτης
Κῦμα ποτικλύζῃ κελαδοῦν ἱεραῖσιν ἐπ' ἀκταῖς."

ἐπεύχεται] Sc. *ἡ ἀρά*: quod subjectum est etiam ad antecedens interjectum *φησί*. Hanc *ἀρὰν* ante oculos habuit Sophocles Oed. Tyr. 270. s.

καὶ ταῦτα τοῖς μὴ δρῶσιν εὔχομαι θεοὺς
μήτ' ἄροτον αὐτοῖς γῆς ἀνιέναι τινὰ
μήτ' οὖν γυναῖκας παῖδας, ἀλλὰ τῷ πότμῳ
τῷ νῦν φθερεῖσθαι κἄτι τοῦδ' ἐχθίονι.

Contraria *εὐχῇ* hunc locum ob oculos habuit Libanius Epist. CCXLII. *καὶ δῆτα εὔχομαι τοῖς θεοῖς πᾶσι καὶ πάσαις, γῆν τε αὐτοῖς καρπὸν ὅτι πλεῖστον διδόναι, καὶ ἀέρα μένειν ἐν τοῖς μέτροις καὶ γυναῖκας τίκτειν ὅμοια γονεῦσι, καὶ λόγων, ὥςπερ νῦν, τὴν πόλιν ἐρᾷν.*, Cf., quos laudat Mitscherlich ad Hor. Od. IV, 5, 25.

τέρατα] Bekkerus Anecdd. p. 308. *τέρας τὸ ζῶον τὸ μὴ κατὰ φύσιν γενόμενον*, ut Plato in Cratylo, *ἐὰν, ὥςπερ τέρας, γένηται ἐξ ἵππου ἄλλο τι ἢ ἵππος.* — Ceterum non ubique verum esse Thomae. M. assertum *τέρα καὶ τερῶν Ἀττικοί, τέρατα δὲ καὶ τεράτων ἁπλῶς Ἕλληνες*, ex nostro loco patet et docuit Alberti Gloss. in N. T. p. 115.

ἀγορῶν] H. l. i. q. *ἐκκλησιῶν*. Homerico loquendi usu. Cf. Schömann de Com. p. 28.

Οὐ πρὶν cet.] Hoc oraculum etiam apud Pausaniam legitur X, 37. cum nonnullis sed parum gravibus mutationibus. Ratione hujus ex

35. „Ὅρκοι. Ἀρά.“ Ταύτης τῆς ἀρᾶς καὶ τῶν ὅρκων καὶ τῆς μαντείας γενομένης, ἀναγεγραμμένων ἔτι καὶ νῦν, οἱ Λοκροὶ οἱ Ἀμφισσεῖς, μᾶλλον δὲ οἱ προεστηκότες αὐτῶν, ἄνδρες παρανομώτατοι, ἐπειργάζοντο τὸ πεδίον, καὶ τὸν λιμένα τὸν ἐξάγιστον καὶ ἐπάρατον πάλιν ἐτείχισαν καὶ συνῴκισαν, καὶ τέλη τοὺς καταπλέοντας ἐξέλεγον, καὶ τῶν ἀφικνουμένων εἰς Δελφοὺς Πυλαγόρων ἐνίους χρήμασι

---

oraculo fragmenti monet F. A. Wolfius ad Leptineam p. 245. „Omnino factum videtur mihi saepius, ut in locis, ubi deessent scita, leges, aliaeve litterae publicae, sicunde nota essent, aut ex ipsa oratione suppleri possent, a doctis lectoribus insererentur. Pro tali habuerim etiam fragmentum oraculi apud Aeschinem in Ctes. p. 415.“ Et in n quidem hi versus sunt omissi.

35. οἱ Λοκροὶ οἱ Ἀμφισσεῖς] Strabo L. IX, IV, 4. τὰ δ' αὐτὰ (sc. ἃ τοῖς Κιῤῥαίοις) καὶ τοῖς Ἀμφισσεῦσι συνέβη. Λοκρῶν δ' εἰσὶν οὗτοι τῶν Ὀζόλων. Ἐπελθόντες γὰρ οὗτοι τήν τε Κρίσσαν ἀνέλαβον, καὶ τὸ πεδίον τὸ ὑπὸ τῶν Ἀμφικτυόνων ἀνιερωθὲν αὖθις κατεγεώργουν, καὶ χείρους ἦσαν περὶ τοὺς ξένους τῶν πάλαι Κρισσαίων (qui ceteris sunt Κιῤῥαῖοι, Straboni sunt Κρισσαῖοι, gens finitima) καὶ τούτους οὖν ἐτιμωρήσαντο Ἀμφικτύονες καὶ τῷ θεῷ τὴν χώραν ἀπέδοσαν. Pausanias X, 38, 2. Δελφῶν δὲ ἀπωτέρω σταδίοις εἴκοσι καὶ ἑκατόν ἐστιν Ἄμφισσα μεγίστη καὶ ὀνομαστοτάτη πόλις τῶν Λοκρῶν. — — τεθῆναι δὲ τῇ πόλει τὸ ὄνομα ἀπὸ Ἀμφίσσης τῆς Μάκαρος τοῦ Αἰόλου φασίν. Steph. Byz. s. v. ἐκλήθη δὲ (οὕτω) διὰ τὸ ἐμπεριέχεσθαι τοῖς ὄρεσι τοῖς παρακειμένοις.

Πυλαγόρων] Fluctuant libri inter terminationem primae declinationis πυλαγόραι et secundae πυλαγόροι. Singularis quidem ubique, ni fallor, primam sequitur declinationem, in plurali tamen scriptores ipsi variasse videntur. In Aeschine plerisque locis optimi et plurimi Mss. praebent terminationem secundae declinationis eosque, ut par erat, secutus sum. Cf. Wesseling. ad Herod. L. VII, 214. Tittmannus in libro über den Bund der Amphiktyonen c. IV. §. 4. de legatis Amphictyonicis agit. Praecipua haec sunt: „Die Gesandten, welche von den Amphiktyonichen Staaten zu den Versammlungen geschickt wurden, hiessen πυλαγόραι und ἱερομνήμονες. Bekker Anecd. p. 292. ἐκλήθη δὲ πυλαγόρας παρὰ τὸ ἐπὶ πυλαίᾳ ἀγορεύειν· πυλαία δ' ἐστὶ τὸ Ἀμφικτυονικὸν συνέδριον. Der Nahme ἱερομνήμονες deutet auf ihre Beschäftigung mit religiösen Dingen, und darum

διέφθειραν, ὧν εἷς ἦν Δημοσθένης. χειροτονηθεὶς γὰρ ὑφ᾽ ὑμῶν Πυλαγόρας, λαμβάνει χιλίας δραχμὰς παρὰ τῶν Ἀμφισσέων, τοῦ μηδεμίαν μνείαν περὶ αὐτῶν ἐν τοῖς Ἀμφικτύοσι ποιήσασθαι. διωμολογήθη δ᾽ αὐτῷ καὶ εἰς τὸν λοιπὸν χρόνον ἀποσταλήσεσθαι Ἀθήναζε τοῦ ἐνιαυτοῦ ἑκάστου μνᾶς εἴκοσι τῶν ἐξαγίστων καὶ ἐπαράτων χρημάτων, ἐφ᾽ ᾧ τε βοηθήσειν τοῖς Ἀμφισσεῦσιν Ἀθήνησι κατὰ πάντα τρόπον. ὅθεν ἔτι μᾶλλον ἢ πρότερον συμβέβηκεν αὐτῷ, ὅτου ἂν προσάψηται ἢ ἀνδρὸς ἰδιώτου, ἢ δυνάστου, ἢ πόλεως δημοκρατουμένης, τούτων ἑκάστους ἀνιάτοις κακοῖς περιβάλλειν. σκέψασθε δὴ τὸν δαίμονα καὶ τὴν τύχην, ὅσῳ περιεγένετο τῆς τῶν Ἀμφισσέων ἀσε-

---

werden sie auch ἱερογραμματεῖς genannt. An einigen Orten scheint es wieder, als ob des Hieromnemons Geschäft vorzüglich gewesen sey, für das besondere Interesse seines Staates zu sorgen. Darauf darf man auch schliessen, wenn bey Aeschines der Hieromnemon, weil er selbst krank ist, dem Pylagoras Aeschines aufträgt, die Verantwortung Athens gegen die Beschwerden der Thebaner und Amphissier zu übernehmen. — — Es scheint, als ob von den Schriftstellern kein bestimmter Unterschied zwischen beyden gemacht werde, und dafs zuweilen mit jedem der beyden Nahmen überhaupt alle amphiktyonische Gesandte bezeichnet werden. Aus einigen Stellen möchte man vermuthen, dafs der Hieromnemon den Rang vor den Pylagoren gehabt habe. So war Kottyphus, der die Stimmen bey den Amphictyonen sammelte und eine allgemeine Versammlung (ἐκκλησίαν) anordnete (infra 38. 40.) nachher aber zum Heerführer der Amphiktyonen gewählt wurde, Hieromnemon. Ferner wissen wir, dafs wenigstens zu Athen das Amt eines Hieromnemon das angesehenste neben dem der Archonten war. Demosth. in Timocr. p. 747.

ἐφ᾽ ᾧ τε] Formula significans h a c l e g e u t. Vel cum indicativo vel infinitivo ea construitur. De hac accuratissime exposuit Fr. Wolfg. Reizius de prosodiae Graecae accentus inclin. p. 27. sqq.

ἢ ἀνδρὸς ἰδιώτου ἢ δυνάστου, ἢ πόλεως δημ.] Vulgo ἀνδρὸς ἢ ἰδιώτου cet. Sed ἢ ἀνδρὸς habent e h k l et ἢ ante ἰδιώτου prorsus deest in a d f g m n. Duo genera producuntur; alterum est ἀνὴρ ἰδιώτης ἢ δυνάστης, alterum πόλις δημοκρ. ἰδιώτης ἢ δυνάστης partes sunt ejusdem generis, et ἢ ante δυνάστης indicium novae partis.

βείας. ἐπὶ γὰρ Θεοφράστου ἄρχοντος, ἱερομνήμονος ὄντος Διογνήτου Ἀναφλυστίου, Πυλαγόρους ὑμεῖς εἵλεσθε Μειδίαν τε ἐκεῖνον τὸν Ἀναγυράσιον, ὃν ἐβουλόμην ἂν πολλῶν ἕνεκα ζῆν, καὶ Θρασυκλέα τὸν ἐξ Οἴου, καὶ τρίτον δὲ

Θεοφράστου ἄρχοντος] Ol. CX, 1.

Διογνήτου Ἀναφλυστίου] Harpocration, hunc locum respiciens, Ἀνάφλυστος δῆμος τῆς φυλῆς Ἀντιοχίδος. ἔνιοι δὲ ὡς πόλεως τῆς Ἀναφλύστου μνημονεύουσιν. Egit de hoc Meursius de populis Atticis s. v.

Μειδίαν τε ἐκεῖνον τὸν Ἀναγυράσιον] Ἀναγυράσιον recte scripsit Bekkerus ex a b c e g m n. Vulgo Ἀναγυῤῥάσιον. Zenobius Proverbb. Cent. II, 55. ἔστιν ὁ Ἀνάγυρος (alii, ut Harpocration, Ἀναγυροῦς) δῆμος τῆς Ἐρεχθηΐδος φυλῆς, ἔνθα δυσῶδες φυτὸν φύεται. εἴρηται οὖν ἡ παροιμία ἐντεῦθεν· Ἀνάγυρον κινεῖν, ἐπὶ τῶν κινούντων τινὰ ἐπὶ κακῷ ἑαυτῶν. τινὲς δὲ λέγουσιν, ὅτι ἄνθρωπος ἥρως γέγονεν ὅστις τοὺς οἴκους τῶν γειτονούντων αὐτῷ ἐκ βάθρων ἀνέστρεψεν, ἐπειδὴ τὸ ἡρῷον αὐτοῦ ὑβρίσαι ἐπεχείρησαν. Harpocration: ἔνθεν ὁ δημότης Ἀναγυράσιος. Midias idem est, de quo supra c. 13. Si hic Aeschines se affirmat multis de caussis optare, ut is adhuc in vivis esset, prima, si non una, haec erat, quod Demosthenes in eo habebat potentem et acrem adversarium.

Θρασυκλέα τὸν ἐξ Οἴου] Sic dedit Bekkerus ex e h k l. Vulgo Θρασυκλέα τὸν Λέσβιον: de qua lectione haec notavit F. A. Wolfius ad Leptin. p. 245. „Postremum nomen pro gentili esse, vix bene probetur, ne ex iis quidem, quae a Platone Jon. extr., Demosth. Philipp. I. p. 51. et aliis narrantur. Nec magis placet emendatio Reiskii τὸν Λεσβίου. Expectatur enim non patris nomen, sed demi, judice etiam Marklando. Scribendum igitur τὸν Λέκκιον. Hesychius: Λέκκον δῆμος Ἀντιοχίδος φυλῆς. Quem demum quum omisisset Meursius, eum Jac. Sponius addidit in Supplementis." Recepta lectione satisfactum justae viri praestantissimi petitioni, nomen demi restituendum esse: quod quum boni Mss. praebebant, iis erat parendum. Harpocration s. v. Οἶον. Δῆμοί εἰσιν ἐν τῇ Ἀττικῇ διττοὶ οὐδετέρως λεγόμενοι. καλοῦνται δὲ Οἶον. κεκλῆσθαί φησιν οὕτω Φιλόχορος ἐν τρισκαιδεκάτῃ, διὰ τὸ μηδαμῶς εὐοίκητον τόπον ἔχειν, ἀλλὰ μεμονῶσθαι. τὸ γὰρ μόνον οἶον ἐκάλουν οἱ παλαιοί. ἔστι δὲ τὸ μὲν Κεραμεικὸν Οἶον τῆς Λεοντίδος φυλῆς· τὸ δὲ Δεκελικὸν τῆς Ἱπποθοωντίδος, ὡς Διόδωρος. οἱ δὲ δημόται ἑκατέρωθεν ἐλέγοντο ἐξ Οἴου. ἄλλοι δ' ἦσαν λεγόμενοι Οἰῆθεν, nempe δημόται δήμου Οἴης, τῆς Πανδιονίδος.

[illegible]

[illegible]

[illegible]

[illegible]

πόλεως, καὶ αὐτὸν οὕτω προῃρημένον. ἀρχομένου δέ μου λέγειν, καὶ προθυμότερόν πως εἰςεληλυθότος εἰς τὸ συνέδριον, τῶν ἄλλων Πυλαγόρων μεθεστηκότων, ἀναβοήσας τις τῶν Ἀμφισσέων, ἄνθρωπος ἀσελγέστατος, καί, ὡς ἐμοὶ ἐφαίνετο, οὐδεμιᾶς παιδείας μετεσχηκώς, ἴσως δὲ καὶ δαιμονίου τινὸς ἐξαμαρτάνειν αὐτὸν προαγομένου· ἀρχὴν δέ γε, ἔφη, ὦ ἄνδρες Ἕλληνες, εἰ ἐσωφρονεῖτε, οὐδ᾽ ἂν ὠνομάζετε τοὔνομα τοῦ δήμου τοῦ Ἀθηναίων ἐν ταῖςδε ταῖς ἡμέραις, ἀλλ᾽ ὡς ἐναγεῖς ἐξείργετ᾽ ἂν ἐκ τοῦ ἱεροῦ. ἅμα δὲ ἐμέμνητο τῆς τῶν Φωκέων συμμαχίας, ἣν ὁ Κρωβύλος ἐκεῖνος ἔγραψε, καὶ ἄλλα πολλὰ καὶ δυςχερῆ κατὰ τῆς πόλεως διεξῄει, λέγων ἃ ἐγὼ οὔτε τότ᾽ ἐκαρτέρουν ἀκούων, οὔτε νῦν ἡδέως μέμνημαι αὐτῶν. ἀκούσας δὲ οὕτω παρωξύνθην, ὡς οὐδεπώποτ᾽ ἐν τῷ ἐμαυτοῦ βίῳ. 37. καὶ τοὺς μὲν ἄλλους λόγους ὑπερβήσομαι, ἐπῄει δ᾽ οὖν μοι

καὶ αὐτὸν οὕτω προῃρημένον] Qui etiam ipse, si non essem incitatus, id facere constitueram. g ex glossa addidit ποιεῖν.

προθυμότερον - εἰςεληλυθότος] Εἰςέρχεσθαι hoc loco dicitur de oratore: quum studiosius in senatu instarem, rem urgerem. Quod sequitur μεθεστηκότων, cujus vim interpretes non ceperunt, sic intelligo, senatores Aeschinis oratione permotos, sententiam commutasse. Ante enim proni erant in Amphissensium arbitrium, Atheniensibus imponendi multam; tunc autem ab opinione destiterunt. Hesychius μεθέστηκεν· ἀφέστηκε, μετῆλθεν.

ἀσελγέστατος] H. l. importunissimus, agrestissimus. Explicatur eo quod sequitur, οὐδεμιᾶς παιδείας μετεσχηκώς.

ἐξείργετ᾽ ἂν] Bekkerus sic dedit cum Bern., Mor., marg. Steph., e h k l. Vulgo ἐξήγετε, quod mitius est pro loquente, nec facile potest ἂν abesse.

Κρώβυλος] Vide ad Tim. 26. De re, si vis, cf. Demosthenem περὶ παραπρ. p. 364. ss.

37. ἐπῄει δ᾽ οὖν μοι] Ἐπῄει dedi cum e h k l et γρ. g m pro vulgata ἐπῆλθε: quae potius videtur glossa, quam vice versa. Ad ἐπιέναι, ἐπέρχεσθαι nonnisi dativum poni ejus, cui quid in mentem

ἐπὶ τὴν γνώμην, μνησθῆναι τῆς τῶν Ἀμφισσέων περὶ τὴν γῆν τὴν ἱερὰν ἀσεβείας, καὶ αὐτόθεν ἑστηκὼς ἐδείκνυον τοῖς Ἀμφικτύοσιν. ὑπόκειται γὰρ τὸ Κιῤῥαῖον πεδίον τῷ ἱερῷ, καὶ ἔστιν εὐσύνοπτον· ὁρᾶτ', ἔφην ἐγώ, ὦ ἄνδρες Ἀμφικτύονες, ἐξειργασμένον τουτὶ τὸ πεδίον ὑπὸ τῶν Ἀμφισσέων, καὶ κεραμεῖα ἐνῳκοδομημένα καὶ αὔλια. ὁρᾶτε τοῖς ὀφθαλμοῖς τὸν ἐξάγιστον καὶ ἐπάρατον λιμένα

---

venit, ad εἰςιέναι, εἰςέρχεσθαι dativum et accusativum, docuit Hemsterhusius ad Luciani Prometh. §. 2. T. I. p. 26.

περὶ τὴν γῆν τὴν ἱερὰν] Bekkerus ita dedit ex e h k l. Vulgo ἐπί. Ἀσεβὴς et quae inde derivantur, περὶ c. acc. adjunctum habent rei vel hominis, in quem quis est ἀσεβής, interdum εἰς vel πρός. Ἐπὶ non legere me memini. Ἐπὶ autem et περὶ saepe sunt confusa. Vide Bast. ad Gregor. Corinth. p. 700. s.

αὐτόθεν ἑστηκὼς ἐδείκνυον] Αὐτόθεν ex eo ipso loco, quo conveneramus. Ἑστηκὼς significanter adjectum est, quod vulgo dicunt pleonastice, forti vultu et animo. Aliis locis alias significationes habet pleonasticum hoc participium.

ὁρᾶτε – ὁρᾶτε τοῖς ὀφθαλμοῖς] Est orationis gradatio animo vel vere commoto vel commotum se simulanti perquam apta. Nempe vim habet additum verbo videndi τοῖς ὀφθαλμοῖς. Sic interdum verbis sensuum additur substantivum, organon sensus exprimens. Infra 85. καὶ μὴ μόνον τοῖς ὠσὶν ἀλλὰ καὶ τοῖς ὄμμασι διαβλέψαντες εἰς ὑμᾶς αὐτοὺς βουλεύεσθε. παραπρ. 22. ὥστε οἰκεῖά μοι καὶ συνήθη τὰ τῆς πόλεως ἀτυχήματα εἶναι τοῖς ὠσὶν ἀκούειν 53. τοῖς ὠσὶ τῶν ὀνειδῶν ἀκοῦσαι.

κεραμεῖα – καὶ αὔλια] Scholiastes: εἰς τὸ μεῖ ὁ τόνος ἐστίν· ἔστι γὰρ κτητικόν, οἷον οἰκίαι τινές, ἔνθα κεραμεῖς εἰργάζοντο κεράμους. Notum, ex substantivis artificum praecipue in εὺς substantiva in εῖον derivari, quae significant loca, ubi operibus suis operam dant. Etymol. M. p. 451. s. v. Θήσειον. τὰ δὲ ἀπὸ τῶν εἰς ευς διὰ τοῦ ειον γινόμενα μονογενῆ προπερισπῶται πλὴν τοῦ Θησεὺς Θήσειον, καὶ τὸ Φύτειον πόλις ἀπὸ Φυτέως κτίσαντος αὐτήν· — Αὔλια, quod in nonnullis libris transiit in ἐπαύλια, legit h. l. etiam Harpocration. Αὔλια, Λυσίας ἐν τῷ κατὰ Διοδότου καὶ Αἰσχίνης κατὰ Κτησιφῶντος· ἤτοι ἀντὶ τοῦ ἐπαύλεις, ἢ ἀντὶ τοῦ τὰς μικρὰς αὐλάς. Idem legitur in Bekker. Anecd. p. 463.

τετειχισμένον. ἴστε τούτους αὐτοὶ, καὶ οὐδὲν ἑτέρων δεῖσθε μαρτύρων, τέλη πεπραχότας καὶ χρήματα λαμβάνοντας ἐκ τοῦ ἱεροῦ λιμένος. ἅμα δὲ ἀναγινώσκειν ἐκέλευον αὐτοῖς τὴν μαντείαν τοῦ θεοῦ, τὸν ὅρκον τῶν προγόνων, τὴν ἀρὰν τὴν γενομένην, καὶ διωριζόμην, ὅτι ἐγὼ μὲν ὑπὲρ τοῦ δήμου τοῦ Ἀθηναίων, καὶ τοῦ σώματος, καὶ τῶν τέκνων, καὶ οἰκίας τῆς ἐμαυτοῦ, βοηθῶ κατὰ τὸν ὅρκον καὶ τῷ θεῷ, καὶ τῇ γῇ τῇ ἱερᾷ, καὶ χειρὶ, καὶ ποδὶ, καὶ φωνῇ, καὶ πᾶσιν οἷς δύναμαι, καὶ τὴν πόλιν τὴν ἡμετέραν τὰ πρὸς τοὺς θεοὺς ἀφοσιῶ· ὑμεῖς δὲ ὑπὲρ ὑμῶν αὐτῶν ἤδη βουλεύεσθε. ἐνῆρκται μὲν τὰ κανᾶ, παρέστηκε δὲ τοῖς βωμοῖς τὰ θύματα, μέλλετε δ' αἰτεῖν τοὺς θεοὺς

οἷς δύναμαι] Forsitan alicui blandius videatur, quod offerunt e h k l, *οἷς ἂν δύνωμαι*. Sed indicativus fortius certum exprimit consilium, a quo nulla vi abstrahi se patiatur.

ἀφοσιῶ] Harpocration: *ἀντὶ τοῦ ἀποκαθαίρω, ἀφαγνίζω. Αἰσχίνης κατὰ Κτησιφῶντος.* Cf. Ast. ad Plat. de Legg. VI, 1.

βουλεύεσθε] Bekkerus dedit ex a b e g h k l m n. Habet etiam Helmst. Vulgo *βουλεύσασθε*. Sed praesens curam et severitatem deliberationis aptius exprimit.

ἐνῆρκται μὲν τὰ κανᾶ] Valesius in Harpocrat. legendum opinatur *ἐνῆρται* vel *ἐπῆρται*, adductus versu Aristophanis Avv. 851.

παῖ, παῖ, τὸ κανοῦν αἴρεσθε καὶ τὴν χέρνιβα.

Sed, ut, si *ἐνῆρται* aut *ἐπῆρται* ab omnibus codd. offerretur, tolerandum foret, sic cave, ne contra Mss. *ἐνῆρκται* invadas. Est enim *ἐνάρχεσθαι* verbum proprium de initiatione sacrorum, et saepius eidem substantivo, cui hic, adjectum est. Eurip. El. 1141.

κανοῦν ἐνῆρκται.

adde Iphig. Aul. 1471. Quid? quod Latini etiam i n c h o a r e sic usurpant. Virgil. Aen. VI, 252.

T u m S t y g i o r e g i n o c t u r n a s i n c h o a t a r a s.

ubi Servius monet, i n c h o a r e verbum sacrorum esse. Tuetur hoc etiam Pollux VIII, 83. De *κανοῖς*, c a n i s t r i s, Dionysius Halic. Antiqq. R. L. VII. p. 1495. R. 476. Sylb. *ἀπαρχὰς λαβόντες ἐξ ἑκάστου σπλάγχνου καὶ παντὸς ἄλλου μέλους, ἀλφίτοις ζέας ἀναδεύσαντες προσέφερον τοῖς θύουσιν ἐπὶ κανῶν, οἱ δ' ἐπὶ βωμοὺς ἐπιτιθέντες ὑφῆπτον καὶ προσέσπενδον οἶνον κατὰ τῶν ἁγιαζομένων.*

τἀγαθὰ καὶ κοινῇ καὶ ἰδίᾳ. σκοπεῖτε δή, ποίᾳ φωνῇ, ποίᾳ ψυχῇ, ποίοις ὄμμασι, τίνα τόλμαν κτησάμενοι, τὰς ἱκεσίας ποιήσεσθε, τούτους παρέντες ἀτιμωρήτους, τοὺς ἐναγεῖς καὶ ταῖς ἀραῖς ἐνόχους. οὐ γὰρ δι᾽ αἰνιγμάτων, ἀλλ᾽ ἐναργῶς γέγραπται ἐν τῇ ἀρᾷ κατά τε τῶν ἀσεβησάντων, ἃ χρὴ παθεῖν αὐτούς, καὶ κατὰ τῶν ἐπιτρεψάντων, καὶ τελευταῖον ἐν τῇ ἀρᾷ γέγραπται· μήθ᾽ ὁσίως θύσαιεν οἱ μὴ τιμωροῦντες, φησί, τῷ Ἀπόλλωνι, μήτε τῇ Ἀρτέμιδι, μήτε τῇ Λητοῖ, μηδὲ Ἀθηνᾷ Προνοίᾳ, μηδὲ

σκοπεῖτε δή] Plurimi libri offerunt σκοπεῖτε δέ, quod fortasse nonnemini praeferendum videatur, ut oppositio deliberationis et gravitas rei eo magis exprimatur. Sed δή rogantis et exhortantis non temere rejiciam. Forsitan optimum fuerit, utraque lectione juncta scribere σκοπεῖτε δὲ δή cet.

ποίᾳ φωνῇ, ποίᾳ ψυχῇ, ποίοις ὄμμασι, ποίαν τόλμαν κτησάμενοι] Coacervatio haec signorum ut ad augendam notionem, ita non temere instituta est. Mens et mentis habitus magnam vim habet in vocem, tum in verba, tum in soni affectum. ποίοις ὄμμασι explicatur per ποίαν τόλμαν κτησάμενοι. Unde quis tantam arripiat audaciam, ut sacrificio adstare possit rectis oculis tamquam homo nullius sibi culpae conscius?

ἱκεσίας] e h k, ἱκετείας et l, qui habet οἰκετείας, aperte idem voluit. Inter tres formas jam antiqui fluctuarunt. Forma ἱκετεία descendit a verbo ἱκετεύω, ut abstracta multa derivantur a verbis in εύω, eaque forma praesertim veteres Atticos locupletes habet auctores. (vide Lobeck ad Phryn. p. 504.) Ἱκεσία paullo post coepit esse in usu, quod Grammatici derivant ad ἱκέτης unde ἱκετία, et τροπῇ τοῦ τ εἰς σ ἱκεσία, quemadmodum ex εὐεργέτης proprie εὐεργετία, ex usu autem εὐεργεσία descendit. Vide Lobeck l. l.

δι᾽ αἰνιγμάτων] e k l, δι᾽ αἰνιγμῶν; nec negari potest, genitivum hunc δι᾽ αἰνιγμῶν apud optimos scriptores inveniri, quamquam singularis αἰνιγμὸς aut alius inde derivatus casus apud antiquiores non legatur. Aristoph. Ran. 61.

ὅμως γε μέντοι σοὶ δι᾽ αἰνιγμῶν ἐρῶ.

ubi Berglerus complura utriusque genitivi formae exempla habet.

δέξαιντο αὐτῶν τὰ ἱερά. 38. τοιαῦτα καὶ πρὸς τούτοις ἕτερα πολλὰ διεξελθόντος ἐμοῦ, ἐπειδή ποτε ἀπηλλάγην καὶ μετέστην ἐκ τοῦ συνεδρίου, κραυγὴ πολλὴ καὶ θόρυβος ἦν τῶν Ἀμφικτυόνων, καὶ ὁ λόγος ἦν οὐκ ἔτι περὶ τῶν ἀσπίδων, ἃς ἡμεῖς ἀνέθεμεν, ἀλλ' ἤδη περὶ τῆς τῶν Ἀμφισσέων τιμωρίας. ἤδη δὲ πόῤῥω τῆς ἡμέρας οὔσης, προσελθὼν ὁ κήρυξ ἀνεῖπε, Δελφῶν ὅσοι ἐπὶ διετὲς ἡβῶσι, καὶ δούλους καὶ ἐλευθέρους, ἥκειν ἅμα τῇ ἡμέρᾳ, ἔχοντας ἄμας καὶ δικέλλας, πρὸς τὸ Θυτεῖον ἐκεῖ καλούμενον. καὶ

---

38. τοιαῦτα] Quod Reiske conjecit ταῦτα, Bekkerus dedit in priore editione, in altera codd. lectionem revocavit. Τοιαῦτα cum emphasi positum est tam gravia: quamquam ταῦτα simplicius est et accomodatum iis, quae sequuntur: καὶ πρὸς τούτοις ἕτερα.

μετέστην ἐκ τοῦ συνεδρίου] Videtur moris fuisse, ut, qui fecerat ipse rogationem, discederet, ut liberum esset reliquorum consilium.

πόῤῥω τῆς ἡμέρας οὔσης] Πόῤῥω quum de tempore dicitur, indicat majorem vel maximam ejus temporis, quod nominatur, partem effluxisse. Πόῤῥω τῆς ἡμέρας οὔσης est, quum vesperasceret. Plato Apol. ὁρᾶτε γὰρ εἰς τὴν ἡλικίαν, ὡς πόῤῥω ἤδη ἐστὶ τοῦ βίου, θανάτου δὲ ἐγγύς.

ὅσοι ἐπὶ διετὲς ἡβῶσι] Harpocration p. 67. s. Δίδυμός φησιν, ἐὰν ἑκκαίδεκα ἐτῶν γένωνται. τὸ γὰρ ἡβῆσαι μέχρι τεσσαρεςκαίδεκά ἐστιν. ἄλλοι ἔφηβοι (lege ἀλλ' οἱ ἔφηβοι. Jam enim incipit Harpocration Didymum refutare) παρ' Ἀθηναίοις ὀκτωκαιδεκαετεῖς γίνονται καὶ μένουσιν ἐν τοῖς ἐφήβοις ἔτη δύο. Harpocrationem recte refutare Didymum, ex re ipsa et ex omnibus scriptorum locis patet. Μέχρι ἥβης, quod legitur apud Thucyd. II, 46., explicat Scholiastes μέχρι ὀκτωκαίδεκα ἐτῶν. Ergo ὁ ἐπὶ διετὲς ἡβῶν est viginti annos natus. Apparet id etiam ex Demosth. κατὰ Στεφ. ψευδομαρτυρ. B. p. 1135. coll. Sluit. lectt. Andocidd. p. 86. ss.

ἄμας] Recte sic in priore editione dedit Bekkerus, quum vulgo scriberetur ἅμας. Bekker. Anecd. p. 206. Ἄμη, τὸ ἐργαλεῖον, ἐν ᾧ ὀρύττουσι τὴν γῆν. Quae inde derivantur, omnia habent spiritum lenem. De δίκελλα ejusque discrimine a μάκελλα egit Blomfield Aeschyl. Ag. Glossar. v. 509.

Θυτεῖον] Taylor huc refert Harpocrationis glossam: Θύστιον Αἰσχίνης κατὰ Κτησιφῶντος· πόλις ἐστὶ τῆς Αἰτωλίας, καθά φησι Δίδυ-

τἀγαθὰ καὶ κοινῇ καὶ ἰδίᾳ. σκοπεῖτε δή, ποίᾳ φωνῇ, ποίᾳ ψυχῇ, ποίοις ὄμμασι, τίνα τόλμαν κτησάμενοι, τὰς ἱκεσίας ποιήσεσθε, τούτους παρέντες ἀτιμωρήτους, τοὺς ἐναγεῖς καὶ ταῖς ἀραῖς ἐνόχους. οὐ γὰρ δι᾽ αἰνιγμάτων, ἀλλ᾽ ἐναργῶς γέγραπται ἐν τῇ ἀρᾷ κατά τε τῶν ἀσεβησάντων, ἃ χρὴ παθεῖν αὐτούς, καὶ κατὰ τῶν ἐπιτρεψάντων, καὶ τελευταῖον ἐν τῇ ἀρᾷ γέγραπται· μήθ᾽ ὁσίως θύσαιεν οἱ μὴ τιμωροῦντες, φησί, τῷ Ἀπόλλωνι, μήτε τῇ Ἀρτέμιδι, μήτε τῇ Λητοῖ, μηδὲ Ἀθηνᾷ Προνοίᾳ, μηδὲ

σκοπεῖτε δή] Plurimi libri offerunt σκοπεῖτε δέ, quod fortasse nonnemini praeferendum videatur, ut oppositio deliberationis et gravitas rei eo magis exprimatur. Sed δή rogantis et exhortantis non temere rejiciam. Forsitan optimum fuerit, utraque lectione juncta scribere σκοπεῖτε δὲ δή cet.

ποίᾳ φωνῇ, ποίᾳ ψυχῇ, ποίοις ὄμμασι, ποίαν τόλμαν κτησάμενοι] Coacervatio haec signorum ut ad augendam notionem, ita non temere instituta est. Mens et mentis habitus magnam vim habet in vocem, tum in verba, tum in soni affectum. ποίοις ὄμμασι explicatur per ποίαν τόλμαν κτησάμενοι. Unde quis tantam arripiat audaciam, ut sacrificio adstare possit rectis oculis tamquam homo nullius sibi culpae conscius?

ἱκεσίας] e h k, ἱκετείας et l, qui habet οἰκετείας, aperte idem voluit. Inter tres formas jam antiqui fluctuarunt. Forma ἱκετεία descendit a verbo ἱκετεύω, ut abstracta multa derivantur a verbis in εύω, eaque forma praesertim veteres Atticos locupletes habet auctores. (vide Lobeck ad Phryn. p. 504.) Ἱκεσία paullo post coepit esse in usu, quod Grammatici derivant ad ἱκέτης unde ἱκετία, et τροπῇ τοῦ τ εἰς σ ἱκεσία, quemadmodum ex εὐεργέτης proprie εὐεργετία, ex usu autem εὐεργεσία descendit. Vide Lobeck l. l.

δι᾽ αἰνιγμάτων] e k l, δι᾽ αἰνιγμῶν; nec negari potest, genitivum hunc δι᾽ αἰνιγμῶν apud optimos scriptores inveniri, quamquam singularis αἰνιγμός aut alius inde derivatus casus apud antiquiores non legatur. Aristoph. Ran. 61.

ὅμως γε μέντοι σοὶ δι᾽ αἰνιγμῶν ἐρῶ.

ubi Berglerus complura utriusque genitivi formae exempla habet.

δέξαιντο αὐτῶν τὰ ἱερά. 38. τοιαῦτα καὶ πρὸς τούτοις ἕτερα πολλὰ διεξελθόντος ἐμοῦ, ἐπειδή ποτε ἀπηλλάγην καὶ μετέστην ἐκ τοῦ συνεδρίου, κραυγὴ πολλὴ καὶ θόρυβος ἦν τῶν Ἀμφικτυόνων, καὶ ὁ λόγος ἦν οὐκ ἔτι περὶ τῶν ἀσπίδων, ἃς ἡμεῖς ἀνέθεμεν, ἀλλ' ἤδη περὶ τῆς τῶν Ἀμφισσέων τιμωρίας. ἤδη δὲ πόῤῥω τῆς ἡμέρας οὔσης, προσελθὼν ὁ κῆρυξ ἀνεῖπε, Δελφῶν ὅσοι ἐπὶ διετὲς ἡβῶσι, καὶ δούλους καὶ ἐλευθέρους, ἥκειν ἅμα τῇ ἡμέρᾳ, ἔχοντας ἄμας καὶ δικέλλας, πρὸς τὸ θυτεῖον ἐκεῖ καλουμένον. καὶ

---

38. τοιαῦτα] Quod Reiske conjecit ταῦτα, Bekkerus dedit in priore editione, in altera codd. lectionem revocavit. Τοιαῦτα cum emphasi positum est tam gravia: quamquam ταῦτα simplicius est et accomodatum iis, quae sequuntur: καὶ πρὸς τούτοις ἕτερα.

μετέστην ἐκ τοῦ συνεδρίου] Videtur moris fuisse, ut, qui fecerat ipse rogationem, discederet, ut liberum esset reliquorum consilium.

πόῤῥω τῆς ἡμέρας οὔσης] Πόῤῥω quum de tempore dicitur, indicat majorem vel maximam ejus temporis, quod nominatur, partem effluxisse. Πόῤῥω τῆς ἡμέρας οὔσης est. quum vesperasceret. Plato Apol. ὁρᾶτε γὰρ εἰς τὴν ἡλικίαν, ὡς πόῤῥω ἤδη ἐστὶ τοῦ βίου, θανάτου δὲ ἐγγύς.

ὅσοι ἐπὶ διετὲς ἡβῶσι] Harpocration p. 67. s. Δίδυμός φησιν, ἐὰν ἑκκαίδεκα ἐτῶν γένωνται. τὸ γὰρ ἡβῆσαι μέχρι τεσσαρεςκαίδεκά ἐστιν. ἄλλοι ἔφηβοι (lege ἀλλ' οἱ ἔφηβοι. Jam enim incipit Harpocration Didymum refutare) παρ' Ἀθηναίοις ὀκτωκαιδεκαετεῖς γίνονται καὶ μένουσιν ἐν τοῖς ἐφήβοις ἔτη δύο. Harpocrationem recte refutare Didymum, ex re ipsa et ex omnibus scriptorum locis patet. Μέχρι ἥβης, quod legitur apud Thucyd. II, 46., explicat Scholiastes μέχρι ὀκτωκαίδεκα ἐτῶν. Ergo ὁ ἐπὶ διετὲς ἡβῶν est viginti annos natus. Apparet id etiam ex Demosth. κατὰ Στεφ. ψευδομαρτυρ. B. p. 1135. coll. Sluit. lectt. Andocidd. p. 86. ss.

ἄμας] Recte sic in priore editione dedit Bekkerus, quum vulgo scriberetur ἅμας. Bekker. Anecd. p. 206. Ἄμη, τὸ ἐργαλεῖον, ἐν ᾧ ὀρύττουσι τὴν γῆν. Quae inde derivantur, omnia habent spiritum lenem. De δίκελλα ejusque discrimine a μάκελλα egit Blomfield Aeschyl. Ag. Glossar. v. 509.

Θυτεῖον] Taylor huc refert Harpocrationis glossam: Θύστιον Αἰσχίνης κατὰ Κτησιφῶντος· πόλις ἐστὶ τῆς Αἰτωλίας, καθά φησι Δίδυ-

πάλιν ὁ αὐτὸς κήρυξ ἀνηγόρευε, τοὺς ἱερομνήμονας καὶ Πυλαγόρους ἥκειν εἰς τὸν αὐτὸν τόπον βοηθήσοντας τῷ θεῷ καὶ τῇ γῇ τῇ ἱερᾷ· ἥτις δ' ἂν μὴ παρῇ πόλις, εἴρξεται τοῦ ἱεροῦ, καὶ ἐναγὴς ἔσται, καὶ τῇ ἀρᾷ ἔνοχος. τῇ δὲ ὑστεραίᾳ ἥκομεν ἕωθεν εἰς τὸν προειρημένον τόπον, καὶ κατέβημεν εἰς τὸ Κιῤῥαῖον πεδίον, καὶ τὸν λιμένα κατασκάψαντες, καὶ τὰς οἰκίας ἐμπρήσαντες ἀνεχωροῦμεν. ταῦτα δὲ ἡμῶν πραττόντων, οἱ Λοκροὶ οἱ Ἀμφισσεῖς ἑξήκοντα στάδια ἄποθεν οἰκοῦντες Δελφῶν, ἦκον ἐφ' ἡμᾶς μεθ' ὅπλων πανδημεί, καὶ εἰ μὴ δρόμῳ μόλις ἐξεφύγομεν εἰς Δελφούς, ἐκινδυνεύσαμεν ἂν ἀπολέσθαι. τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ Κόττυφος, ὁ τὰς γνώμας ἐπιψηφίζων, ἐκκλησίαν ἐποίει τῶν Ἀμφικτυόνων· ἐκκλησίαν γὰρ ὀνομάζουσιν,

---

μος ἐναγόμενος μαρτύριον ἐκ τῆς πρώτης Νικάνδρου τῶν Αἰτωλικῶν. ἡμεῖς μέντοι ἐν τοῖς Ἀττικισμοῖς διὰ τοῦ τ Θύτειον εὕρομεν γεγραμμένον: quae quomodo huic loco sit apta, equidem non intelligo. Θυτεῖον derivatum est a θύω et significat locum ubi fiunt sacra, templum.

ἥτις δ' ἂν μὴ παρῇ πόλις] Cujus civitatis Amphictyoniae Pylagorae et Hieromnemones non adsint. Hoc videtur quasi προβούλευμα fuisse senatus, cujus sanctio a singulis civitatibus petenda erat.

εἴρξεται τοῦ ἱεροῦ] Fortis mutatio orationis obliquae in rectam, quum in hoc membro maximum insit, quod terreat, momentum.

πανδημεὶ] Inter πανδημεὶ et πανδημὶ fluctuant plerisque locis Mss. Vide ad Polluc. VI, 162. Caussam disceptat Lobeck ad Phryn. p. 515.

τῇ ἐπιούσῃ ἡμέρᾳ] Phrynichus p. 464. τῇ ἐπιούσῃ ἐρεῖς, μὴ προςθεὶς ἡμέραν· τῆς δὲ ἐπιούσης ἡμέρας: quod praeceptum praeceps esse, satis docuit Lobeck.

ἐκκλησίαν] Quid hoc loco sit ἐκκλησία, Aeschinis ipsius addita explicatio docet. Ad illam tamen nemo videtur aditum habuisse, nisi cives earum civitatum, quae jus habebant, ad consilium Amphictyonum legatos mittendi. Quin permulti homines tempore, quo consilium congregabatur, eo confluxerint, nemo dubitabit. Sacrificia quovis Amphictyonum conventu peracta fuisse, multa veterum loca testantur, et antiqui mores, si testimonia deficerent, per se id redderent probabile. Eos, qui sacrificiis aderant, quasi civitatum nomine ad deliberandum invitatos fuisse, fidem facile inveniet.

ὅταν τις μὴ μόνον τοὺς Πυλαγόρους καὶ τοὺς ἱερομνήμονας συγκαλέσῃ, ἀλλὰ καὶ τοὺς συνθύοντας καὶ χρωμένους τῷ θεῷ. ἐνταῦθ' ἤδη πολλαὶ μὲν τῶν Ἀμφισσέων ἐγίνοντο κατηγορίαι, πολὺς δ' ἔπαινος ἦν κατὰ τῆς ἡμετέρας πόλεως. τέλος δὲ παντὸς τοῦ λόγου ψηφίζονται ἥκειν τοὺς ἱερομνήμονας πρὸ τῆς ἐπιούσης Πυλαίας ἐν ῥητῷ χρόνῳ εἰς Πύλας, ἔχοντας δόγμα, καθ' ὅτι δίκην δώσουσιν οἱ Ἀμφισσεῖς ὑπὲρ ὧν εἰς τὸν θεὸν, καὶ τὴν γῆν τὴν ἱερὰν, καὶ τους Ἀμφικτύονας ἐξήμαρτον. ὅτι δὲ ἀληθῆ λέγω, ἀναγνώσεται ὑμῖν ὁ γραμματεὺς τὸ ψήφισμα. „Ψήφισμα." 39. Τοῦ δόγματος οὖν τούτου ἀποδοθέντος ὑφ' ἡμῶν τῇ βουλῇ, καὶ πάλιν ἐν τῇ ἐκκλησίᾳ τῷ δήμῳ,

---

Rem satis exposuit Tittmann in libello: über den Bund der Amphictyonen cap. IV. et V. Br. — Locus iste ad Amphictyonum concilium ac rationem sententias dicendi spectans admonet me similis περὶ παραπρεσβ. p. 202. Bekkeri. Ἀμφικτυόνων – τυχόντων σωτηρίας καὶ ψήφου ubi nunc demum legendum succurrit: τυχόντων βακτηρίας. v. Etymol. M. in βακτηρία et Bekkeri Anecd. p. 220, 17. Baculum scil. manu gestabant judices etiam Athenis. Orellius.

δίκην δώσουσιν] Sic dedit Bekkerus ex h k l. Vulgo δίκας δῶσ. In hac phrasi hyperbolicum pluralem nusquam animadverti; immo si poenae magnitudinem exprimere volunt, addunt substantivo epitheton, v. c. μεγίστην. Br. — Verum in formula itidem foederis, ut h. l. decreti, ap. Thucyd. 5, 79. habes δίκας διδόντας. Quocirca δίκην librariis tribuo, magis usitatum praeferentibus, quod tamen huic loco parum convenit. Etenim δίκην διδόναι est poenas dare (gestraft werden) δίκας διδόναι judicibus rem disceptandam ac dijudicandam permittere, (sich einem Gerichte unterziehen) ut constat ex alio quoque Thucydidis loco. 1, 28. οἱ Κερκυραῖοι δίκας ἤθελον δοῦναι ἐν Πελοποννήσῳ. Orellius.

39. ὑφ' ἡμῶν] Intelligit eos, qui civitatis nomine Amphictyonum consilio interfuerant. Hinc Ms. Steph. ex glossa πυλαγορῶν.

τῇ βουλῇ καὶ πάλιν ἐν τῇ ἐκκλησίᾳ τῷ δήμῳ] Taylor ἐν τῇ ἐκκλησίᾳ ex margine irrepsisse opinatur, ut scilicet oppositio accurate sibi respondeat. Nos jam plus semel annotavimus, oppositiones non anxias esse solere; et in simili caussa majorem etiam abundantiam habuimus supra c. 9. ἐν τῷ δήμῳ ἐν Πυκνὶ τῇ ἐκκλησίᾳ.

καὶ τὰς πράξεις ἡμῶν ἀποδεξαμένου τοῦ δήμου, καὶ τῆς πόλεως πάσης προαιρουμένης εὐσεβεῖν, καὶ Δημοσθένους ὑπὲρ τοῦ μεσεγγυήματος τοῦ ἐξ Ἀμφίσσης ἀντιλέγοντος, καὶ ἐμοῦ φανερῶς ἐναντίον ὑμῶν ἐξελέγχοντος, ἐπειδὴ ἐκ τοῦ φανεροῦ τὴν πόλιν ἄνθρωπος οὐκ ἠδύνατο σφῆλαι, εἰσελθὼν εἰς τὸ βουλευτήριον, καὶ μεταστησάμενος τοὺς ἰδιώτας, ἐκφέρεται προβούλευμα εἰς τὴν ἐκκλησίαν, προσλαβὼν τὴν τοῦ γράψαντος ἀπειρίαν. τὸ δ' αὐτὸ τοῦτο καὶ ἐν τῇ ἐκκλησίᾳ διεπράξατο ἐπιψηφισθῆναι, καὶ γενέσθαι δήμου ψήφισμα, ἤδη ἐπαναστάσης τῆς ἐκκλησίας, ἀπεληλυθότος ἐμοῦ (οὐ γὰρ ἄν ποτε ἐπέτρεψα) καὶ τῶν πολλῶν διαφειμένων. οὗ τὸ κεφάλαιόν ἐστι· τὸν δὲ ἱερομνήμονα, φησί, τὸν Ἀθηναίων, καὶ τοὺς Πυλαγόρους

μεσεγγυήματος] Harpocration: Μεσεγγύημα, τὸ ὁμολογηθὲν ἀργύριον παρ' ἀνδρὶ μέσῳ, ἐγγυητῇ τῆς ἀποδόσεως. καὶ μεσεγγυήσασθαι τὸ ποιῆσαι τοῦτο λέγεται, ὡς ὑποσημαίνει Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. Apud quem hoc μεσεγγύημα hic deponi oportuerit, patet ex c. 40.

ἄνθρωπος] Quod Marklandus conjècit ὁ ἄνθρωπος, in priore editione dederat Bekkerus, in altera codd. lectionem revocavit. Vide ad παραπρ. 4. et Buttmann ad Demosth. Mid. 47. g.

τοὺς ἰδιώτας] H. l. simpliciores senatorum significantur, quorum complures fuisse in senatu quingentorum hominum sorte lectorum, nemo mirabitur.

ἐπαναστάσης τῆς ἐκκλησίας] Wunderlich ex Ms. Mori dedit ἐπ' ἀναστάσει, eamque lectionem offerunt etiam e h k l. Sed ἀνάστασις de dimissione concionis non inveni, nec ἐπανίσταται de concione videtur rejiciendum, quamquam ἀνίσταται plerumque ponatur. Sed ἐπαναστῆναι saepe ponitur ubi ἀναστῆναι, v. c. de surgentibus convivis, et utrumque vocabulum jungit Pollux III, 91. de surgentibus; neque asyndeton me offendit, quum in appositione ipsa primaria vis sit.

διαφειμένων] Recte sic Bekkerum ex optimis Mss. jam in priore editione dedisse pro vulgato δὲ ἀφειμένων, monui ad Tim. 25.

τοὺς ἀεὶ πυλαγοροῦντας πορεύεσθαι εἰς Πύλας καὶ εἰς Δελφοὺς ἐν τοῖς τεταγμένοις χρόνοις ὑπὸ τῶν προγόνων. εὐπρεπῶς γε τῷ ὀνόματι, ἀλλὰ τῷ ἔργῳ αἰσχρῶς. κωλύει γὰρ εἰς τὸν σύλλογον τὸν ἐν Πύλαις ἀπαντᾶν, ὃς ἐξ ἀνάγκης πρὸ τοῦ καθήκοντος ἔμελλε χρόνου γίνεσθαι. καὶ πάλιν ἐν τῷ αὐτῷ ψηφίσματι πολὺ καὶ σαφέστερον καὶ πικρότερον σύγγραμμα γράφει. τὸν ἱερομνήμονα, φησὶ, τῶν Ἀθηναίων καὶ τοὺς Πυλαγόρους τοὺς ἀεὶ πυλαγοροῦντας, μὴ μετέχειν τοῖς ἐκεῖσε συλλεγομένοις, μήτε λόγων μήτε ἔργων μήτε δογμάτων μήτε πράξεως μηδεμιᾶς. τὸ δὲ μὴ μετέχειν τί ἐστι; πότερα τἀληθὲς εἴπω, ἢ τὸ ἥδιστον ἀκοῦσαι; τὸ ἀληθὲς ἐρῶ. τὸ γὰρ ἀεὶ πρὸς ἡδονὴν λεγόμενον οὑτωσὶ τὴν πόλιν διατέθεικεν. οὐκ ἐᾷ μεμνῆσθαι

τοὺς ἀεὶ πυλαγοροῦντας] Sic dedit Bekkerus ex omnibus suis codd. praeter g m n pro vulgato εἰςαεί. Quod quamquam sit rarum, satis se tuetur auctoritate Sophoclis Aj. 312.

ἢ τὸν εἰςαεὶ
λεηλατήσει χρόνον;

Sed hic plurimis et optimis codd. obsequendum erat. Ceterum hoc ἀεὶ significat ἑκάστοτε, ut saepe; nec ex hoc loco concludi potest, munus πυλαγόρων per omne vitae tempus datum fuisse, quod de ἱερομνήμονος munere testatur Scholiastes Aristoph. Nubb. 620.

τοῖς ἐκεῖσε συλλεγομένοις] Ἐκεῖσε dedit Bekkerus ex e. h k l pro vulgato ἐκεῖ. Graeci saepe praepositionibus vel adverbiis motum in locum significantibus utuntur, ubi recentiores linguae praepositionem vel adverbium quietem indicans ponere solent. Paullo post c. 40. συνελέγησαν εἰς Πύλας. Sic etiam καθίζεσθαι εἰς τόπον: de quo accurate exposuit Buttmannus in ind. orationis Mid. s. v.

μήτε λόγων] Sic dedit Bekkerus cum Helmst. e h k l pro vulgato μὴ λόγων. Simplex negatio additur verbo μὴ μετέχειν, ut appareat enuntiationem esse negativam; singulae disjunctivae singulis substantivis, quae pendent ex verbo.

οὑτωσὶ] Hoc vocabulum saepe ex contextu definitur, praesertim in malam partem: quod interdum viris doctis imposuit. Demosthenes κατὰ Τιμοκρ. p. 735. καὶ οὕτω πρὸς τὸ πλῆθος τὸ ὑμέτερον προςεφήνικται ὁ αὐτίκα δὴ μάλα ὑπὲρ τοῦ δήμου φήσων τὸν νόμον

τῶν ὅρκων, οὓς ὑμῶν οἱ πρόγονοι ὤμοσαν οὐδὲ τῆς ἀρᾶς οὐδὲ τῆς τοῦ θεοῦ μαντείας. 40. ἡμεῖς μὲν οὖν, ὦ Ἀθηναῖοι, κατεμείναμεν διὰ τοῦτο τὸ ψήφισμα, οἱ δ' ἄλλοι Ἀμφικτύονες συνελέγησαν εἰς Πύλας, πλὴν μιᾶς πόλεως, ἧς ἐγὼ οὔτ' ἂν τοὔνομα εἴποιμι, μήθ' αἱ συμφοραὶ παραπλήσιοι γένοιντο αὐτῆς μηδενὶ τῶν Ἑλλήνων. καὶ συνελθόντες, ἐψηφίσαντο ἐπιστρατεύειν ἐπὶ τους Ἀμφισσέας, καὶ στρατηγὸν εἵλοντο Κόττυφον τὸν Φαρσάλιον, τὸν τότε τὰς γνώμας ἐπιψηφίζοντα, οὐκ ἐπιδημοῦντος ἐν Μακεδονίᾳ Φιλίππου, ἀλλ' οὐδ' ἐν τῇ Ἑλλάδι παρόντος, ἀλλ' ἐν Σκύθαις, οὕτω μακρὰν ἀπόντος, ὃν αὐτίκα μάλα τολμήσει λέγειν Δημοσθένης, ὡς ἐγὼ ἐπὶ τους Ἕλληνας ἐπήγαγον.

τοῦτον θεῖναι: ubi Reiskius mavult οὕτω σκαιῶς vel οὕτως ὠμῶς. Lysias Ἀπολ. Δωροδ. p. 708. καὶ ὧν Κινησίας οὕτω (i. e. οὕτως αἰσχρῶς) διακείμενος πλείους στρατείας ἐστράτευται, οὗτοι περὶ τῶν τῆς πόλεως ἀγανακτοῦσι. Idem περὶ τραύμ. ἐκ προν. p. 171. οὐ γὰρ οὕτως ἤλθομεν, ἀδήλου ὄντος, εἰ παρὰ τούτῳ εὑρήσομεν ὄστρακον, ἢ οὕτως αὐτὸν ἀποκτενοῦμεν, ubi Markl. mavult ὅτῳ, testam, aut aliquid, quo eum occideremus; sed οὕτως est temere, re parum deliberata et instituta, sine instrumento caedis.

40. πλὴν μιᾶς πόλεως] Thebas intelligit, quae, archonte Evaeneto Ol. CXI, 2., ab Alexandro, Macedonum rege, eversae sunt.

οὔτε - μήτε] Prius οὔτε cum ἂν et optativo de re, quam se facturum non esse affirmat, μήτε cum simplice optativo de re, quam ne fiat, optat. Cf. Demosthenica nostra p. 91. s.

Κόττυφον τὸν Φαρσάλιον] Demosthenes περὶ στεφ. p. 279. cum appellat Κόττυφον τὸν Ἀρκάδα. Si non est ex contra dictis, quorum multa in hac caussa solvi non possunt, ille natus fortasse erat in Arcadia, postero vero tempore domicilium constituit Pharsali in Thessalia. Hemsterhusius autem ad Lucian. Jud. Vocal. 8. nomen ipsum Κοττύφου eo ducere, ut homo fuerit Arcas: quod in Cyllene, monte Arcadiae, singulare genus avium, quae κόττυφοι appellabantur, inventum fuerit. Br. — Quid si in Aeschine tentemus τὸν Παῤῥάσιον? quamquam scio in nominibus propriis inprimis esse ambiguam divinationem. Orellius.

καὶ παρελθόντες τῇ πρώτῃ στρατείᾳ, καὶ μάλα μετρίως ἐχρήσαντο τοῖς Ἀμφισσεῦσιν. ἀντὶ γὰρ τῶν μεγίστων ἀδικημάτων χρήμασιν αὐτοὺς ἐζημίωσαν. καὶ ταῦτα ἐν ῥητῷ χρόνῳ προεῖπον τῷ θεῷ καταθεῖναι· καὶ τοὺς μὲν ἐναγεῖς καὶ τῶν πεπραγμένων αἰτίους μετεστήσαντο, τοὺς δὲ δι' εὐσέβειαν φυγόντας κατήγαγον. ἐπειδὴ δὲ οὐδὲ τὰ χρήματα ἐξέτινον τῷ θεῷ, τούς τ' ἐναγεῖς κατήγαγον, καὶ τοὺς εὐσεβεῖς κατελθόντας διὰ τῶν Ἀμφικτυόνων ἐξέβαλον, οὕτως ἤδη τὴν δευτέραν ἐπὶ τοὺς Ἀμφισσεῖς στρατείαν ἐποιήσαντο, πολλῷ χρόνῳ ὕστερον ἐπανεληλυθότος Φιλίππου ἐκ τῆς ἐπὶ τοὺς Σκύθας στρατείας, τῶν μὲν θεῶν τὴν ἡγεμονίαν τῆς εὐσεβείας ἡμῖν παραδεδωκότων, τῆς δὲ
130 Δημοσθένους δωροδοκίας ἐμποδὼν γεγενημένης. 41. ἀλλ' οὐ προὔλεγον, οὐ προεσήμαινον ἡμῖν οἱ θεοὶ φυλάξασθαι,

---

καὶ μάλα μετρίως ἐχρήσαντο τοῖς Ἀμφισσεῦσιν] **Admodum lenes, mites se praebuerunt erga Amphissenses.**

μετεστήσαντο] Ex iis, quae sequuntur, videtur patere, μεταστήσασθαι esse **jubere e patria excedere, in exilium mittere**, oppositum τὸν φυγόντα κατάγειν. Demosthenes κατὰ Ἀριστοκ. B. p. 802. Ἀριστείδην μὲν γάρ φασιν ὑπὸ τῶν προγόνων μετασταθέντα ἐν Αἰγίνῃ διατρίβειν.

οὔτε τὰ χρήματα ἐξέτινον —, τούς τ' cet.] Sic Bekkerus ex e h k l, pro vulgato οὐδὲ cet. Sed οὔτε – τε ponunt Graeci, quum duo membra jungunt, quorum unum negatur, alterum affirmatur, et plerumque ita, ut negetur factum esse quod fieri oportebat, immo factum esse affirmetur, quod plane non oportebat, ita ut οὔτε – τε reddi possit, **non solum non — sed.**

πολλῷ χρόνῳ ὕστερον] Oratio hyperbolica, hoc oratoris consilio nata, ut ne ipse videretur Philippum in Graeciam vocare voluisse. Hinc rem ita exponit, quasi altera in Amphissenses expeditio longo tempore post primam, cui interfuit Aeschines ipse, locum habuerit. Sed utraque fere conjuncta censenda, aut una nonnisi, ut patet ex iis, quae habet Weiske de Hyperb. P. III, p. 23.

41. προεσήμαινον] Bekkerus in priore editione dederat προυσήμαινον. In his rebus me codices sequi, jam ex compluribus locis cognoverunt lectores. Quod ad hanc crasin attinet, animadvertisse

μόνον γε οὐκ ἀνθρώπων φωνὰς προηκάμενοι, οὐδεμίαν τοι πώποτε ἔγωγε μᾶλλον πόλιν ἑώρακα ὑπὸ μὲν τῶν θεῶν σωζομένην, ὑπὸ δὲ τῶν ῥητόρων ἐνίων ἀπολλυμένην. οὐχ ἱκανὸν ἦν τὸ τοῖς μυστηρίοις φανὲν σημεῖον φυλάξασθαι, ἡ τῶν μυστῶν τελευτή; οὐ περὶ τούτων Ἀμεινιάδης μὲν προὔλεγεν εὐλαβεῖσθαι, καὶ πέμπειν εἰς Δελφοὺς ἐπερησομένους τὸν θεὸν, ὅ, τι χρὴ πράττειν· Δημοσθένης δὲ ἀντέλεγε, φιλιππίζειν τὴν Πυθίαν φάσκων, ἀπαίδευτος ὢν, καὶ ἀπολαύων καὶ ἐμπιπλάμενος τῆς διδομένης ὑφ'

---

mihi videor, praestantissimos scriptores in hac suum potius judicium sequi, quam normam.

φωνὰς προηκάμενοι] Sic mea sententia Bekkerus recte edidit auctoritate Bern. In altera vulgatum revocavit προςκτησάμενοι. Composita ex ἱέναι, praesertim ἀφιέναι, de voce sunt propria. Hoc autem loco προηκάμενοι aptissimum. Quamquam vero aoristus rarior sit, non video tamen, quid offensionis habeat.

ἡ τῶν μυστῶν τελευτή] Repentina initiatorum mors, quae, ut fieri solet, irae divinae tribuebatur. Scholiastes: λέγει δὲ ἐκεῖνο τὸ τέρας, ὅτε κατελθόντων τῶν μυστῶν ἐπὶ τὴν θάλατταν ἐπὶ τὸ καθαρθῆναι ἥρπασεν ἕνα τὸ κῦτος. πληθυντικῶς δὲ εἶπε, δέον ἑνικῶς. οἱ δὲ λέγουσιν. ὅτι δύο ἔφαγεν.

φιλιππίζειν] Verbum hoc a proprio viri nomine ductum rarum est in suo genere, nec simile se legisse praeter Κυψελλίζειν in Theogn. v. 890. testatur Valckenaer Orat. de Philippo p. 255. not.; a gentibus enim ducta, qualia dantur multa, hinc diversa esse. Sed ad illud efficta dare historiam Macedonum recentiorem. Κασσανδρίζειν, Ἀντιγονίζειν, Σελευκίζειν. Quod autem addit, illud verbum frustra quaesitum esse in orationibus Demosthenicis, in non sic intelligendum, quasi nusquam in Demosthene legatur. Nam περὶ στεφ. p. 287. legitur μιᾷ γνώμῃ φιλιππίσαντας. ἐνδ. κατὰ Θεοκρίν. p. 1334. οἱ μὲν ἐφιλίππιζον, οἱ δὲ ἠττίκιζον.

ἀπολαύων καὶ ἐμπιπλάμενος] Tropus ab edendo sumptus. Ἀπολαύειν is dicitur, qui cibo fruitur, tantum quantum decet probum et modestum hominem; ἐμπίπλασθαι est, plus quam decet edere, supra modum satiari. Hinc tropica utriusque significatio uti et abuti.

ὑμῶν αὐτῷ ἐξουσίας; οὐ τὸ τελευταῖον ἀθύτων καὶ ἀκαλλιερήτων ὄντων τῶν ἱερῶν ἐξέπεμψε τοὺς στρατιώτας ἐπὶ τὸν πρόδηλον κίνδυνον· καίτοι γε πρώην ἀπετόλμησε λέγειν, ὅτι παρὰ τοῦτο Φίλιππος οὐκ ἦλθεν ἡμῶν εἰς τὴν χώραν, ὅτι οὐκ ἦν αὐτῷ καλὰ τὰ ἱερά; τίνος οὖν εἶ σὺ ζημίας

τὸ τελευταῖον] Innuit infelicem pugnam ad Chaeroneam, quae, ut Justini verbis utar IX, 3., universae Graeciae et gloriam dominationis et vetustissimam libertatem finivit. Ea accidit Archonte Chaeronda Ol. CX, 3.

ἀθύτων καὶ ἀκαλλιερήτων ὄντων τῶν ἱερῶν] Suidas s. v. καλλιερῶ, Ἕλληνες τότε καλλιερεῖν νομίζουσιν, ὅταν δαίμονί τινι θύσαντες αἰσίμων ἐπιτύχωσι σημείων ἐν τῷ ἥπατι τοῦ ἱερείου. καὶ τοῦτο καλοῦσι καλλιέρημα, ὅταν τῷ δαίμονι τὸ θῦμα ᾖ φίλον διὰ τῶν ἐπιφαινομένων ἀπατηλῶν σημείων: unde facile est coguitu, quid sit ἀκαλλιέρητον ἱερόν: quod Latini dicunt sacrum non litatum, diis ingratum. Idem est ἱερὸν ἄθυτον. *A* privativum enim hic significationem habet τοῦ δυς, ut ostendi ad Tim. 76. Synonyma autem sunt juncta ad augendam notionem. Br. — Mirum istud ἀπατηλῶν in Suidae loco; num fuit ἡπατικῶν? Orellius.

παρὰ τοῦτο Φίλιππος οὐκ ἦλθεν ἡμῶν ἐπὶ τὴν χώραν] Nempe post pugnam Chaeronensem timebant Athenienses, ne Athenas invaderet et deleret Philippus. Quod quum non fieret, Aeschines Demostheni haud dubie contra veritatem objicit, hunc hoc non Philippi moderationi sed sacrificiis non litatis tribuisse. „Allein Mäfsigung bey seinen Siegen war überhaupt Charakterzug des Philippus, und da die Vernichtung von Athen nicht in seinen Planen lag, so glaubte er genug dadurch gewonnen zu haben, dafs diese Stadt hinfort nicht weiter ihm bey seinen weit aussehenden Unternehmungen gegen den Orient hinderlich seyn konnte. Dafs er übrigens die Athenäer weniger hart behandelte als die Thebäer, rührte vielleicht her von seiner Vorliebe für Kunst und Wissenschaft, deren Pflegerinn Athen seit Jahrhunderten gewesen. Er gab die Gefangenen ohne Lösegeld frey, liefs die Gebliebenen beerdigen und sandte bald darauf seinen Sohn Alexander und seinen Feldherrn Antipatros nach Athen, um dort den Frieden abzuschliefsen, bey welchem er nichts verlangte, als dafs die Stadt Abgeordnete zu der allgemeinen Versammlung der Griechen, welche er in Korinth zusammen berufen werde, senden solle. Philippos selbst sah die stolze Minerven-Stadt nicht,

ἄξιος τυχεῖν, ὦ τῆς Ἑλλάδος ἀλιτήριε; εἰ γὰρ ὁ μὲν κρατῶν οὐκ ἦλθεν εἰς τὴν τῶν κρατουμένων χώραν, ὅτι οὐκ ἦν αὐτῷ καλὰ τὰ ἱερὰ, σὺ δ' οὐδὲν προειδὼς τῶν μελλόντων ἔσεσθαι, πρὶν καλλιερῆσαι, τοὺς στρατιώτας ἐξέπεμψας, πότερα στεφανοῦσθαί σε δεῖ ἐπὶ ταῖς τῆς πόλεως ἀτυχίαις, ἢ ὑπερωρίσθαι; 42. τοιγάρτοι τί τῶν ἀνελπίστων καὶ ἀπροσδοκήτων ἐφ' ἡμῶν οὐ γέγονεν; οὐ γὰρ βίον γε ἡμεῖς ἀνθρώπινον βεβιώκαμεν, ἀλλ' εἰς παραδοξολογίαν τοῖς ἐσομένοις μεθ' ἡμᾶς ἔφυμεν. οὐχ ὁ μὲν τῶν Περσῶν βασιλεὺς, ὁ τὸν Ἄθω διο-

---

und ersparte auf diese Weise den Besiegten den beschämenden Anblick ihres Siegers." Alb. G. Becker Demosthenes als Staatsmann und Redner. Vol. I. p. 99.

τῆς Ἑλλάδος ἀλιτήριε] Ἀλιτηρίους dicebant grandi aliquo scelere impiatos, et ideo ira divina exagitatos huc illuc vagantes. Hesychius: ἀλιτήριος, ἁμαρτωλὸς, πλανήτης, θανάτου αἴτιος καὶ ἔνοχος. — — Si qui in deos et religionum cerimonias commiserant, dicebantur θεῶν ἀλιτήριοι et nomina eorum pilis inscribebantur, ut undique arcerentur, neque alios praesentia sua contaminarent. Des. Heraldus Obsvv. ad jus Att. et Rom. p. 597. Legitur item c. 48. Τῆς πόλεως ἀλιτήριοι sunt nefarii in civitatem: quorum quum munus esset, saluti civitatis consulendi, ejus in perniciem agunt. Apud Dinarch. κατὰ Δημοσθ. p. 55. R. legitur τὸν τῆς Ἑλλάδος ὀλεθρον, ubi nunc ex codd. dedit Bekkerus ἀλιτήριον.

ὑπερωρίσθαι] Sic dedit Bekkerus ex omnibus suis codd. praeter c d, quod multo significantius est, quam quod vulgo legitur ὑπερορίζεσθαι. Praeteritum enim innuit, rem oportuisse jam esse factam. Vide Demosthen. nostra p. 68. Buttm. ad Mid. §. 29. p. 63.

42. ἐφ' ἡμῶν] Nostra aetate; ἐπὶ cum genitivo interdum temporis est.

βίον - ἀνθρώπινον] Vitam, qualis solet esse hominum, erroribus scilicet et inde natis incommodis obnoxiam, sed talem, quae stupore et furore sibi contraxit calamitates. Hinc εἰς παραδοξολογίαν - ἔφυμεν: quae egimus et passi sumus, incredibilia, monstrosa, portentosa posteris videbuntur.

ὁ τὸν Ἄθω διορύξας] Copias et potentiam Xerxis Graeciam invadentis Graecos ὑπερβολικῶς expressisse facile concedimus. Huma-

ρύξας, ὁ τὸν Ἑλλήσποντον ζεύξας, ὁ γῆν καὶ ὕδωρ τοὺς Ἕλληνας αἰτῶν, ὁ τολμῶν ἐν ταῖς ἐπιστολαῖς γράφειν, ὅτι δεσπότης ἐστὶν ἁπάντων ἀνθρώπων ἀφ' ἡλίου ἀνιόντος μέχρι δυομένου, νῦν οὐ περὶ τοῦ κύριος ἑτέρων εἶναι διαγωνίζεται, ἀλλ' ἤδη περὶ τῆς τοῦ σώματος σωτηρίας; καὶ τοὺς αὐτοὺς ὁρῶμεν τῆς τε δόξης ταύτης, καὶ τῆς ἐπὶ τὸν Πέρσην ἡγεμονίας ἠξιωμένους, οἳ καὶ τὸ ἐν Δελφοῖς ἱερὸν ἠλευθέρωσαν; Θῆβαι δὲ, Θῆβαι, πόλις

---

num enim est, in suis sibi rebus placere. At inhumane perstrinxit hanc rem Juvenalis Sat. X, 172 sqq.

Creditur olim
Velificatus Athos, et quicquid Graecia mendax
Audet in historia, quum stratum classibus isdem
Suppositumque rotis solidum mare. Credimus altos
Defecisse amnes, epotaque flumina Medo
Prandente et madidis cantat quae Sostratus alis.

Sed non oratores solum, verum etiam historiae scriptores nobis narrant, per copias Xerxis fossam esse ductam per montem Athos, quae duas caperet triremes; atque qui nuperrimis temporibus locupletes testes iter conscripsere per Graeciam, etiamnum fossae vestigia extare testantur, ut Choiseul-Gouffier voyage pittoresque de la Grece T. II. P. I. p. 145. sqq. — Ἄθων dedit Bekkerus ex uno h. Sed apud Atticos scriptores ubique inveni manuscriptos Ἄθω praeferentes. Apud Herodotum variant. Cf. Wasse ad Thucyd. V, 3.

ὁ γῆν καὶ ὕδωρ τοὺς Ἕλληνας αἰτῶν] Phrasis Herodotea, qua quis absolutum obsequium flagitat, ut alter durissimis se conditionibus subjiciat.

περὶ τῆς τοῦ σώματος σωτηρίας] Tayloro videtur τῆς σωτηρίας in margine adscriptum fuisse, ut glossa ad τοῦ σώματος, et inde in textum migrasse. Id quidem verum est, alterutrum ad sententiam sufficere; neo vero attentus negabit, in utroque juncto majorem inesse vim.

Θῆβαι δὲ, Θῆβαι] Secundum Θῆβαι addidit Reiskius ex Mor., quocum faciunt a b e g h k l m n, et auctoritatem haec lectio accipit ex Demetrio περὶ ἑρμηνείας §. 267. Schneid. ubi legitur in exemplum ἀναδιπλώσεως: Θῆβαι δὲ, Θῆβαι, πόλις ἀστυγείτων, ἐκ μέσης

ἀστυγείτων, μεθ' ἡμέραν μίαν ἐκ μέσης τῆς Ἑλλάδος ἀνήρπασται, εἰ καὶ δικαίως, περὶ τῶν ὅλων οὐκ ὀρθῶς

τῆς Ἑλλάδος ἀνήρπασται. διλογηθὲν γὰρ τὸ ὄνομα δεινότητα ποιεῖ. Agatarchides autem de rubro mari p. 20. ed. Huds. haec habet: μετὰ Στρατοκλέα ὁμοίως Αἰσχίνης εἰςάγει λέγοντα· πόλις ἀστυγείτων ἐκ μέσης τῆς Ἑλλάδος ἠ φ ά ν ι σ τ α ι, ἄριστα (φησὶ) τῆς μὲν ἀπωλείας τὸ τάχος τῇ μεταφορᾷ σημήνας, ut is in suo ms. reperisse videatur ἠφάνισται: cujus lectionis vestigium in hodiernis Mss. nullum apparet. Fieri autem potest, ut Agatarchidis ipsius locus per librarios sit corruptus. Celeritas enim excidii per ἀνήρπασται fortius etiam exprimitur; violentia enim et celeritas hoc verbo indicatur. Demosthenes Philipp. III. p. 123. ἀλλ' ὅμως ἠμύνατο κἀκείνους (τοὺς Λακεδαιμονίους) καὶ οὐκ ἀνηρπάσθη. Quae sub Dinarchi nomine fertur oratio κατὰ Δημοσθ. p. 17. itidem Thebarum urbem respiciens: πόλις ἀσταγειτόνων καὶ συμμάχων ἐκ μέσης τῆς Ἑλλάδος ἀνήρπασται. ἀροῦται καὶ σπείρεται τὸ Θηβαίων ἄστυ, τῶν κοινωνησάντων ἡμῖν τοῦ πρὸς Φίλιππον πολέμου: ubi notanda variatio a nostro loco per genitivum ἀστυγειτόνων, qui legitur etiam in e h l. Sed quum nomen urbis ipsum praecedat, adjectivum ἀστυγείτων melius additur substantivo πόλις, quam genitivus incolarum. Euripidis Orest. 1160 s.

τί δ' ἔστι; μῶν τις συμφορὰ νεωτέρα
δισσὰς κατείληφ' ἀστυγείτονας πόλεις;

Atque in Dinarchi loco p. 152. Bekk. scripsit πόλις ἀστυγείτων καὶ σύμμαχος ἐκ μέσης τῆς Ἑλλάδος ἀνήρπασται p. 158. πόλιν ἀστυγείτονα καὶ πολὺν χρόνον δουλεύουσαν. Ceterum neminem, opinor, hodie offendet βουλευσάμενοι - κτησάμενοι, quamquam cetera sequantur constructionem substantivi πόλις. Br. — Haec constructio frequens est ap. Thucyd. v. c. 3, 2. Λέσβος ἀπέστη ἀπ' Ἀθηναίων, βουληθέντες κ. τ. λ. O.

περὶ τῶν ὅλων οὐκ ὀρθῶς βουλευσάμενοι] Τὰ ὅλα Graecis saepe sunt res summae, gravissimae, quae spectant reipublicae salutem et felicitatem. Demosthenes περὶ στεφ. p. 234. τὰ μικρὰ συμφέροντα τῆς πόλεως ἔδει με φυλάττειν, τὰ δ' ὅλα, ὥσπερ οὗτοι, πεπρακέναι Φιλίππῳ; οὐ δήπου. Sensus nostri loci est: q u a m q u a m parum G r a e c i a e s a l u t i c o n s u l e r e n t. Βουλεύεσθαι absolute c o n s i l i a c a p e r e, ut interdum dicunt Latini c o n s u l e r e. Etiam Diodor. Sic. XVII, 10. affirmat, urbem illam προπετῶς καὶ ἀβούλως εἰς ὁμολογουμένην ἀπώλειαν ἑαυτὴν δεδωκέναι. Post Leuctricam pugnam nimium sibi arrogarunt Thebani.

βουλευσάμενοι, ἀλλὰ τήν γε θεοβλάβειαν καὶ τὴν ἀφροσύνην οὐκ ἀνθρωπινως ἀλλὰ δαιμονίως κτησάμενοι. Λακεδαιμόνιοι δὲ οἱ ταλαίπωροι προσαψάμενοι μόνον τούτων τῶν πραγμάτων ἐξ ἀρχῆς περὶ τὴν τοῦ ἱεροῦ κατάληψιν, οἱ τῶν Ἑλλήνων ποτὲ ἀξιοῦντες ἡγεμόνες εἶναι, νῦν ὁμηρεύσοντες, καὶ τῆς συμφορᾶς ἐπίδειξιν ποιησόμενοι μέλ-

---

τήν γε θεοβλάβειαν καὶ τὴν ἀφροσύνην οὐκ ἀνθρωπίνως ἀλλὰ δαιμονίως κτησάμενοι] Θεοὶ βλάπτειν φρένας ἀνθρώπων dicuntur, quum mentes hominum impediunt et occoecant, quo minus recta et salubria perspiciant et in agendo sequantur, immo qui quum suis se commodis prospicere opinentur, ipsi in perniciem se praecipitant. H. l. θεοβλάβεια per proprium vocabulum explicatur; summam enim indicat dementiam. Nam ὅταν τις θεῶν

βλάπτῃ, δύναιτ' ἂν οὐδ' ἂν ἰσχύων φυγεῖν.

Hoc igitur vult, non humana stultitia laborasse Thebanos, sed divinitus vecordiam iis inflictam fuisse.

προσαψάμενοι cet.] Nempe quum Lacedaemoniis ab Amphictyonum consilio ob occupatam Cadmeam multa quingentorum, deinde, quod pecuniam non numeraverant, mille talentorum imposita esset, ob debitorum magnitudinem Phocensium partes sequebantur.

ὁμηρεύσοντες] Harpocration: Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος ἐπὶ τῶν ἀναπεμφθέντων Λακεδαιμονίων Ἀλεξάνδρῳ. ἦσαν δὲ πεντήκοντα. Κλείταρχος δέ φησιν ἐν τῇ πέμπτῃ, εἶναι τοὺς δοθέντας παρὰ τῶν Λακεδαιμονίων ὁμήρους. ὅμηροι δέ εἰσιν οἱ ἐπὶ σύμβάσει διδόμενοι· ὁμηρῆσαι γὰρ τὸ συμβαλεῖν. Ὅμηρος (Od. XVI, 468).

Ὡμήρησε δέ μοι παρ' ἑταίρων ἄγγελος ἐλθών.

Θεόπομπος δὲ ὁμηρεῖν φησὶ παρὰ τοῖς ἀρχαίοις λέγεσθαι τὸ ἀκολουθεῖν· τοὺς οὖν ἐπ' ἀκολουθίᾳ τῶν ὁμολογουμενων διδομένους ἐντεῦθεν ὁμήρους φησὶ λέγεσθαι. Ceterum si Valesius putat, ὅμηρον obsidis significatione sub Alexandrina demum tempora adhiberi coeptum esse, virum doctissimum memoria fefellit. Nam ὁμήρους δοῦναι legitur jam apud Thucydidem I, 56., ubi Scholiastes ὁμήρους exponit τοὺς ἕνεκα εἰρήνης διδομένους εἰς ἐνέχυρα. καὶ ὁμήρους δοῦναι, ἵνα, ἐὰν ἀποστῶσιν, εὐάλωτοι γένωνται. Saepius apud eundem legitur, ut etiam apud Xenophontem aliosque. — Ceterum huc respicitur. Quum Alexander bellum in Asia jam gereret cum Dario, rege Persarum, Lacedaemonii, idoneum belli reparandi tempus se nactos arbitrati,

λουσιν ὡς Ἀλέξανδρον ἀναπέμπεσθαι, τοῦτο πεισόμενοι καὶ αὐτοὶ, καὶ ἡ πατρὶς, ὅ, τι ἂν ἐκείνῳ δόξῃ, καὶ ἐν τῇ τοῦ κρατοῦντος καὶ προηδικημένου μετριότητι κριθησόμενοι; ἡ δ' ἡμετέρα πόλις, ἡ κοινὴ καταφυγὴ τῶν Ἑλλήνων, πρὸς ἣν ἀφικνοῦντο πρότερον ἐκ τῆς Ἑλλάδος αἱ πρεσβεῖαι, κατὰ πόλεις ἕκαστοι παρ' ἡμῶν τὴν σωτηρίαν εὑρησόμενοι, νῦν οὐκ ἔτι περὶ τῆς τῶν Ἑλλήνων ἡγεμονίας ἀγωνίζεται, ἀλλ' ἤδη περὶ τοῦ τῆς πατρίδος ἐδάφους; καὶ ταῦθ' ἡμῖν συμβέβηκεν, ἐξ ὅτου Δημοσθένης πρὸς τὴν πολιτείαν προςελήλυθεν. εὖ γὰρ περὶ τῶν τοιούτων Ἡσίοδος ὁ ποιητὴς ἀποφαίνεται. λέγει γάρ που, παιδεύων τὰ πλήθη, καὶ συμβουλεύων ταῖς πόλεσι τοὺς πονηροὺς τῶν δημαγωγῶν μὴ προςδέχεσθαι. λέξω δὲ κἀγὼ τὰ ἔπη. 43. διὰ τοῦτο γὰρ οἶμαι ἡμᾶς παῖδας ὄντας τὰς τῶν ποιητῶν γνώμας ἐκμανθάνειν, ἵν' ἄνδρες ὄντες αὐταῖς χρώμεθα.

Πολλάκι δὴ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα,
Ὅς κεν ἀλιτραίνῃ καὶ ἀτάσθαλα μηχανάαται.

Graecos ad ineundam pro libertate concordiam exhortantur. Peloponnesiorum plerique in hanc militiam nomina profitentur. Administratio totius belli erat penes Lacedaemonios. Antipater, quem Alexander reliquerat ducem, ne publica tranquillitas turbaretur, cum universis copiis in Peloponnesum movet, et commisso acri proelio, Lacedaemonii tandem cedere coguntur. Accidit hoc Ol. CXII, 2.

παιδεύων τὰ πλήθη] Rarus est pluralis τὰ πλήθη de populis. Laudat Orellius περὶ ἀντιδ. p. 225. Theophrast. Charr. VI, 3, ubi Schneiderus sine caussa dubitabat, an usquam iste pluralis sic adhibitus fuerit. Oppositionem facit cum plurali τύραννοι apud Demosth. Philipp. II. p. 71. μάλιστα δὲ τοῖς πλήθεσι πρὸς τοὺς τυράννους Dionysius Halic. in Judic. de Isocr. T. V. p. 544. R. τὴν παρὰ τοῖς πλήθεσι τιμήν. Auctor Ep. Socrat. p. 3. Or. εἰς τὰ πλήθη παριών. Ad analogiam τῶν δήμων, qui saepe ponuntur pro ταῖς πόλεσι δημοκρατουμέναις, (cf. F. A. Wolf. ad Lept. p. 232.) dictum est.

43. Πόλλακι cet.] Versus desumti sunt ex Hesiodi ἔργ. καὶ ἡμ. v. 240. sqq. cum varietate lectionum, quam vel versuum laudatio ex memoria produxit, vel codices ex antiquo tempore. Pro πόλλακι δὴ in Hesiodi edd. legitur πόλλακι καὶ, quae lectio apud nostrum ex solo R memoratur. Vulgares Aeschinis editiones habent Πόλλακι δὲ, quod

Τοῖσιν δ᾽ οὐρανόθεν μέγα πῆμα δῶκε Κρονίων,
Λιμὸν ὁμοῦ καὶ λοιμόν. ἀποφθινύθουσι δὲ λαοί,
Ἢ τῶν γε στρατὸν εὐρὺν ἀπώλεσεν, ἢ ὅγε τεῖχος,
Ἢ νέας ἐν πόντῳ Κρονίδης τίνυται εὐρυόπα Ζεύς.

ἐὰν δὲ περιελόντες τοῦ ποιητοῦ τὸ μέτρον, τὰς γνώμας ἐξετάζητε, οἶμαι ὑμῖν δόξειν οὐ ποιήματα Ἡσιόδου εἶναι, ἀλλὰ χρησμὸν εἰς τὴν Δημοσθένους πολιτείαν. καὶ γὰρ ναυτικὴ καὶ πεζὴ στρατιὰ, καὶ πόλεις ἄρδην εἰσὶν ἀνηρπασμέναι ἐκ τῆς τούτου πολιτείας. Ἀλλ᾽, οἶμαι, οὔτε Φρυνώνδας, οὔτε Εὐρύβατος, οὔτ᾽ ἄλλος οὐδεὶς πώποτε

---

est in n. Ceteri offerunt, quod dedit Bekkerus. Duos primos versus jam habuimus παράπρ. §. 45., ubi vide notas. Pro μέγα πῆμα δῶκε Κρονίων in Hesiodo et vulgaribus Aeschinis editionibus est μέγ᾽ ἐπήγαγε πῆμα Κρονίων, quod est in solo n. Fortasse Aeschinea lectio, quae olim etiam Hesiodea erat, a grammatico mutabatur, qui vitium censebat esse in versu, quum πῆμα spondei vicem habeat. Certe codd. e k l, ut aliquo modo vitium tegant, scripserunt πῆμα ἔδωκε. Sed in thesi spondiaca quarti pedis versus heroici syllabam interdum esse ancipitem, quum in eo loco insignem caesuram longioremque pausam versus recipiat, monuit Hermannus Ell. metr. p. 40. s. Post v. 4. inseruntur in edd. Hesiodi hi duo versus:

οὐδὲ γυναῖκες τίκτουσιν· μινύθουσι δὲ οἶκοι
Ζηνὸς φραδμοσύνῃσιν Ὀλυμπίου. ἄλλοτε δ᾽ αὖτε

qui sunt etiam in h. v. 5. ἢ ὅ γε τεῖχος. Articulus subjecti postremo objecto additus et librarios et viros quosdam doctos offendit. Sed cum vi illum a poëtis sic additum esse satis docuit Robortellus ad Hesiodum. v. 6. sic legitur in Hes. ἢ νέας ἐν πόντῳ Κρονίδης ἀποτίνυνται αὐτῶν: quod est etiam in vulgaribus Aeschinis edd.

οὔτε Φρυνώνδας οὔτε Εὐρύβατος] Suidas s. v. Φρυνώνδας· ξένος ὢν κατὰ τὰ Πελοποννησιακὰ διέτριβεν Ἀθήνησιν. ἐκ τούτου τοὺς πονηροὺς Φρυνώνδας καλοῦσι. Κακοήθης ἦν ὁ Φρυνώνδας οὗτος καὶ πανοῦργος, μισθοῦ τινὰς μηχανὰς πραγμάτων ἐπὶ κακοῖς ῥᾳδίως συντιθείς, ὥς φησιν Εὔδημος. Harpocration s. v. Εὐρυβάτην. Ἔφορος ἐν τῇ ὀγδόῃ Εὐρυβάτην φησὶν Ἐφέσιον λαβόντα χρήματα παρὰ Κροίσου, ὥστε στρατείαν (l. στρατιὰν) συναπαγαγεῖν εἰς τὸν πόλεμον τὸν πρὸς τοὺς Πέρσας, εἶτα πρόδοτην γενόμενον ἐγχειρίσαι τὰ δοθέντα χρήματα τῷ Κύρῳ· καὶ ἐντεῦθεν τοὺς πονηροὺς Εὐρυβάτας καλεῖσθαι.

τῶν πάλαι πονηρῶν τοιοῦτος μάγος καὶ γόης ἐγένετο, ὅς, ὦ γῆ, καὶ θεοὶ, καὶ δαίμονες, καὶ ἄνθρωποι, ὅσοι βούλεσθε ἀκούειν τἀληθῆ, τολμᾷ λέγειν, βλέπων εἰς τὰ πρόσωπα τὰ ὑμέτερα, ὡς ἄρα Θηβαῖοι τὴν συμμαχίαν ὑμῖν ἐποιήσαντο, οὐ διὰ τὸν καιρὸν, οὐ διὰ τὸν φόβον τὸν περιστάντα αὐτοὺς, οὐ διὰ τὴν ὑμετέραν δόξαν, ἀλλὰ διὰ τὰς Δημοσθένους δημηγορίας. καίτοι πολλὰς μὲν τούτου πρότερον πρεσβείας ἐπρέσβευσαν εἰς Θήβας οἱ μάλιστα οἰκείως ἐκείνοις διακείμενοι. πρῶτος μὲν, [οὗτος στρατηγὸς] Θρασύβουλος ὁ Κολυττεὺς, ἀνὴρ ἐν Θήβαις πιστευθεὶς, ὡς οὐδεὶς ἕτερος

μάγος καὶ γόης] *Μάγος* proprie honoris nomen, sacerdotum nempe, sapientium et philosophorum in Oriente, qui litterarum divinarum et humanarum studio, astrologiae et artis medicae se dabant; tropice quum sacerdotum et vatum genus hominum credulitate abuti soleret, *μάγους*, ut Sophoclis scholiastes ad Oed. T. v. 395. habet, *μάγους ἐκάλουν τοὺς ψευδεῖς φαντασίας περιτιθέντας.* Antiqui Grammatici et Lexicographi inter *γοητείαν καὶ μαγείαν καὶ φαρμακείαν, ἅπερ ἐφεῦρον Μῆδοι καὶ Πέρσαι*, discrimen statuunt. Suidas v. c. s. v. *γοητεία. Μαγεία μὲν οὖν ἐστὶν ἐπίκλησις δαιμόνων ἀγαθοποιῶν δῆθεν πρὸς ἀγαθοῦ τινὸς σύστασιν· ὥσπερ τὰ τοῦ Ἀπολλωνίου τοῦ Τυανέως θεσπίσματα. Γοητεία δὲ ἐπὶ τοῦ ἀνάγειν νεκροὺς δι᾽ ἐπικλήσεως. ὅθεν εἴρηται ἀπὸ τῶν γόων τῶν περὶ τάφους γινομένων. φαρμακεία δὲ, ὅταν διά τινος σκευασίας θανατηφόρου πρὸς φίλτρον δοθῇ τινὶ διὰ στόματος.*

ὦ γῆ, καὶ θεοὶ καὶ δαίμονες καὶ ἄνθρωποι, ὅσοι βούλεσθε ἀκούειν τἀληθῆ] Notanda coacervatio invocatorum, quae animum significat commotum et est votum, ut, quicquid possit et valeat, ad rem sit attentum. Cf. Heindorf. ad Plat. Protag. §. 5. Infra c. 88.

οὐ διὰ τὴν ὑμετέραν δόξαν] Sic pro vulgato *οὐδὲ δ. τ. ὑ δ.* dedit Bekkerus ex a h: quo asyndeto oratio fit fortior, quam si omne asyndeton tollas, in antecedente membro cum Marklando scribens: *οὐδὲ διὰ τὸν φόβον.* Cf. supra c. 12. c. 41. *ἀλλ᾽ οὐ προὔλεγον, οὐ προεσήμαινον οἱ θεοί.* Dinarchus *κατὰ Δημ.* fin. *οὐκ ἐγκαταλέλοιπα τὴν πόλιν, οὐ χάριν προὐργιαιτέραν τῆς τοῦ δήμου χειροτονίας ἐποιησάμην.*

Κολυττεὺς] Harpocration: *Κόλυττος δῆμός ἐστι τῆς Αἰγηΐδος φυλῆς.* Tertullianus de anima c. 20. Athenis sapiendi dicendique acutissimos nasci relatum est, ubi penes Colyttum

πάλιν Θράσων ὁ Ἐρχιεὺς, πρόξενος ὢν Θηβαίοις· εἶτα Λεωδάμας ὁ Ἀχαρνεὺς, οὐχ ἧττον Δημοσθένους λέγειν δυνάμενος, ἀλλ' ἔμοιγε καὶ ἡδίων [ῥήτωρ καὶ οὗτος] Ἀρχέδημος ὁ Πήληξ, καὶ δυνατὸς εἰπεῖν, καὶ πολλὰ κεκινδυνευκὼς ἐν τῇ πολιτείᾳ διὰ Θηβαίους· [δημαγωγὸς] Ἀριστοφῶν ὁ Ἀζηνιεὺς, πλεῖστον χρόνον τὴν τοῦ Βοιωτιάζειν ὑπομείνας αἰτίαν· [ῥήτωρ] Πύρανδρος ὁ Ἀναφλύστιος,

---

pueri mense citius eloquuntur praecoce lingua. Itaque in deliciis erant pueri Colyttenses. Thrasybulus autem Κολυττεὺς probe distinguendus a Thrasybulo Στειριεῖ, celebri illo Atheniensium libertatis restauratore, quamquam etiam ὁ Κολυττεὺς teste Demosthene κατὰ Τιμοκρ. p. 742. τῶν ἐκ Πειραιῶς καὶ ἀπὸ Φυλῆς ἦν. Ejus, ut ναυάρχου, fit mentio apud Xenoph. Hellen. V, 1, 26. — Ceterum οὗτος στρατηγὸς — ῥήτωρ καὶ οὗτος — δημαγωγὸς — ῥήτωρ Bekkerus uncis inclusit.

ὁ Ἐρχιεὺς] Harpocration: Ἐρχεία δῆμός ἐστι τῆς Αἰγηΐδος, ὡς Διόδωρος. Aliis scribitur Ἐρχία. Hinc formatur δημότης Ἐρχιεύς. Θράσωνος τοῦ Ἐρχιέως, tamquam hominis industrii earum partium, ut Cadmea a Lacedaemoniis occupata Thebanis restitueretur, mentio fit in Dinarchi oratione κατὰ Δημοσθένους p. 30. R.

Λεωδάμας ὁ Ἀχαρνεὺς] Ἄχαρνα vel Ἀχαρναι, δῆμος τῆς Οἰνηΐδος φυλῆς, aberat Athenis LX., circiter stadiis, hedera ibi inventa clara. Traducebatur hic populus, ut carbonibus victum quaerens. Leodamas Acharnensis, Isocratis discipulus, quantum eloquentia excelluerit, patet inprimis ex hoc Aeschinis loco, tum ex Demosthenis Leptin. p. 551. Ex hoc loco eum novimus legationem ad Thebanos suscepisse, quibuscum ipsi aliquam necessitudinem intercessisse oportet. Eum non videri Aeschinis ad eloquentiam magistrum fuisse, monuimus Vol. I. p. 10. De vocabulo Πήληξ vide ad παραπρ. 21.

Ἀριστοφῶν ὁ Ἀζηνιεὺς] Stephanus Byz. Ἀζηνιά, ὡς Πλωθιά; Λουσιά· δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς· ὁ δημότης, Ἀζηνιεύς. Tres Aristophontes accurate distinxit Ruhnkenius Hist. Crit. Oratt. Gr. p. XLV. ss.

Πύρανδρος ὁ Ἀναφλύστιος] Num hic idem sit, qui Tim. 51. simpliciter sub Πυῤῥάνδρου nomine laudatur, nescio. Duplex ρ hic etiam habent a e g h k l m n. Steph. Byz. Ἀναφλυστος, δῆμος τῆς Ἀντιοχίδος φυλῆς, ἀπὸ Ἀναφλύστου ἥρωος, qui fuit filius Troezenis. Vide Pausaniam L. II, 30, 8.

ὃς ἔτι καὶ νῦν ζῇ. ἀλλ' ὅμως οὐδεὶς πώποτε αὐτοὺς ἠδυνήθη προτρέψασθαι εἰς τὴν ὑμετέραν φιλίαν· τὸ δὲ αἴτιον, οἶδα μὲν, λέγειν δ' οὐδὲν δέομαι διὰ τὰς ἀτυχίας αὐτῶν. ἀλλ', οἶμαι ἐπειδὴ Φίλιππος αὐτῶν ἀφελόμενος Νίκαιαν, Θετταλοῖς παρέδωκε, καὶ τὸν πόλεμον, ὃν πρότερον ἐξήλασεν ἐκ τῆς χώρας τῆς τῶν Βοιωτῶν, τοῦτον πάλιν τὸν αὐτὸν πόλεμον ἐπήγαγε διὰ τῆς Φωκίδος ἐπ' αὐτὰς τὰς Θήβας, καὶ, τὸ τελευταῖον, Ἐλάτειαν καταλαβὼν ἐχαρά-

---

Νίκαιαν] Vide παραπρ. 37. Hanc urbem in bello Phocensi Thessalis a Phocensibus ereptam Philippus illis restituit, ut eos sibi devinciret. Cf. Demosthenis Philipp. II, p. 71. C.

Ἐλάτειαν] Haec maxima urbs Phocidis appellatur. Sita est in valle satis ampla et fructuosa fluminis Cephissi a sinistra parte, modico clivo. Diodor. Sic. XVI, 84. haec narrat: Φίλιππος τοὺς πλείστους τῶν Ἑλλήνων εἰς φιλίαν προηγμένος, ἐφιλοτιμεῖτο καὶ τοὺς Ἀθηναίους καταπληξάμενος ἀδήριτον ἔχειν τὴν ἡγεμονίαν τῆς Ἑλλάδος. διόπερ ἄφνω καταλαβόμενος τὴν Ἐλάτειαν πόλιν, καὶ τὰς δυνάμεις εἰς ταύτην ἀθροίσας διέγνω πολεμεῖν τοῖς Ἀθηναίοις. ἀπαρασκεύων δ' ὄντων αὐτῶν διὰ τὴν συντεθειμένην εἰρήνην, ἤλπιζε ῥᾳδίως περιποιήσασθαι τὴν νίκην. ὅπερ καὶ συνετελέσθη. καταλειφθείσης γὰρ τῆς Ἐλατείας, ἧκόν τινες νυκτὸς ἀπαγγέλλοντες τὴν κατάληψιν τῆς πόλεως, καὶ διότι ταχέως ἥξει Φίλιππος μετὰ τῆς δυνάμεως εἰς τὴν Ἀττικήν. οἱ δὲ στρατηγοὶ τῶν Ἀθηναίων, διὰ τὸ παράδοξον τῆς πράξεως καταπλαγέντες, τούς τε σαλπιγκτὰς μετεπέμποντο καὶ σημαίνειν προσέταττον δι' ὅλης τῆς νυκτός. Τῆς δὲ φήμης εἰς πᾶσαν οἰκίαν διαδοθείσης, ἡ μὲν πόλις ὀρθὴ διὰ τὸν φόβον ἦν. ὁ δὲ δῆμος ἅπας ἅμ' ἡμέρᾳ συνέδραμεν εἰς τὸ θέατρον, πρὸ τοῦ συγκαλέσαι τοὺς ἄρχοντας, ὡς ἦν ἔθος. ὡς δ' ἧκον οἱ στρατηγοὶ καὶ τὸν μηνύσαντα παρῆγον, κἀκεῖνος εἶπε, σιωπὴ μὲν καὶ φόβος κατεῖχε τὸ θέατρον· καὶ τῶν εἰωθότων δημηγορεῖν οὐδεὶς ἐτόλμα συμβουλεῦσαι· πλεονάκις δὲ τοῦ κήρυκος καλέσαντος τοὺς ἐροῦντας ὑπὲρ τῆς κοινῆς σωτηρίας, οὐθεὶς παρῄει σύμβουλος. ἀπορίας οὖν μεγάλης οὔσης καὶ καταπλήξεως, ἀπέβλεπεν ὁ δῆμος εἰς τὸν Δημοσθένην. Ὁ δὲ καταβὰς καὶ τὸν δῆμον παρακαλέσας θαῤῥεῖν ἀπεφαίνετο παραχρῆμα πρέσβεις ἀποστέλλειν εἰς τὰς Θήβας, καὶ παρακαλεῖν τοὺς Βοιωτοὺς κοινῇ τὸν ὑπὲρ τῆς ἐλευθερίας ἀγῶνα τίθεσθαι. — — — τοῦ δὲ δήμου τὸν λόγον ἀποδεξαμένου καὶ τοῦ περὶ τῆς πρεσβείας ψηφίσματος ὑπὸ Δημοσθένους γραφέντος, ὁ μὲν δῆμος ἐζήτει τὸν δυνατώτατον εἰπεῖν· ὁ δὲ Δημοσθένης ὑπήκουσε προθύμως πρὸς τὴν χρείαν. τέλος δὲ ὀξέως πρεσβεύσας καὶ

κωσε, καὶ φρουρὰν εἰςήγαγεν, ἐνταῦθ' ἤδη, ἐπεὶ τὸ δεινὸν αὐτῶν ἥπτετο, μετεπέμψαντο Ἀθηναίους, καὶ ὑμεῖς ἐξήλθετε, καὶ εἰςῄειτε εἰς τὰς Θήβας, ἐν τοῖς ὅπλοις διεσκευασμένοι, καὶ οἱ πεζοὶ καὶ οἱ ἱππεῖς, πρὶν περὶ συμμαχίας μίαν μόνην συλλαβὴν γράψαι Δημοσθένην. ὁ δ' εἰςάγων ἦν ὑμᾶς εἰς τὰς Θήβας καιρὸς καὶ φόβος, καὶ χρεία συμμαχίας, ἀλλ' οὐ Δημοσθένης. 44. ἐπεὶ περί γε ταύτας τὰς πράξεις τρία τὰ πάντων μέγιστα Δημοσθένης εἰς ὑμᾶς

πείσας ἐπανῆλθεν εἰς τὰς Ἀθήνας. ὁ δὲ δῆμος, τῇ τῶν Βοιωτῶν συμμαχίᾳ διπλασιάσας τὴν ὑπάρχουσαν δύναμιν, ἀνεθάῤῥησε ταῖς ἐλπίσιν.

ἐχαράκωσε] Ab ὁ χάραξ derivatum, quod vocabulum ἀρσενικῶς μὲν, (ut verbis utar Ammonii de diff.) ἐπὶ τῶν ἐν τοῖς πολέμοις περιπηγνυμένων (Harpocration ὃ περιβάλλοντό τινες στρατοπέδῳ ἐπὶ σωτηρίᾳ) ἀφ' ὧν λέγουσι χαρακώσαντες ἀντὶ τοῦ περιφράξαντες· καὶ χαρακώματα τὰ περιφράγματα. θηλυκῶς δὲ ἐπὶ τῶν τῇ ἀμπέλῳ παραδεσμουμένων. χάραξ, κος, ἡ, vallus in vineis. χάραξ, κος, ὁ, vallum in bello. H. l. χαρακοῦν est munimentis circumdare.

διεσκευασμένοι] Verbum proprium de iis, qui ad proelium instructi et parati sunt.

καὶ οἱ πεζοὶ καὶ οἱ ἱππεῖς] Hanc verborum collocationem recepit Bekkerus ex e h k l, pro vulgato καὶ οἱ ἱππεῖς καὶ οἱ πεζοί. Supra c. 26. οἱ στρατιῶται οἱ ὑμέτεροι, πεζοὶ καὶ ἱππεῖς. Plerumque solent apud Athenienses οἱ πεζοὶ praecedere ἱππέας: quamquam interdum etiam altera collocatio ab omnibus libris firmatur.

44. τρία τὰ πάντων μέγιστα] I. Συμμαχία in Thebanorum commodum instituta. II. Per tempus συμμαχίας imminuta majestas populi Atheniensis et Thebanorum potentia aucta. III. Impedimenta, quo minus Thebani cum Philippo pacem facerent, objecta. — Primum momentum hoc ipso capite exponitur, et in duas potissimas partes discernitur a) Demosthenes persuasit populo, nullas ponere conditiones, sub quibus συμμαχία instituatur; satis habere, si ea fiat. b) Duas belli sumptuum partes Atheniensibus imposuit, quorum minus erat periculum, et unam Thebanis, qui in summo periculo versabantur, imperium maritimum utrisque fecit commune, Athenienses autem ferre stipendia oportebat; terrestre fraude Thebanis tradidit. — Primum momentum inducitur per πρῶτον μὲν, et in hoc πρώτῳ duae hae partes per πρῶτον μὲν — δεύτερον δέ: quod non oportebat offendere viros doctos. Sic enim saepe optimi scriptores. Vide, quae dixi ad Cicer. de fin. I, 6.

ἐξημάρτηκε· πρῶτον μὲν, ὅτι Φιλίππου τῷ μὲν ὀνόματι πολεμοῦντος ὑμῖν, τῷ δὲ ἔργῳ πολὺ μᾶλλον μισοῦντος Θηβαίους, ὡς αὐτὰ τὰ πράγματα δεδήλωκε, καὶ τί δεῖ τὰ πλείω λέγειν; ταῦτα μὲν τὰ τηλικαῦτα τὸ μέγεθος ἀπεκρύψατο, προσποιησάμενος δὲ μέλλειν τὴν συμμαχίαν γενήσεσθαι, οὐ διὰ τοὺς καιροὺς ἀλλὰ διὰ τὰς αὐτοῦ πρεσβείας, πρῶτον μὲν συνέπεισε τὸν δῆμον μηκέτι βουλεύεσθαι, ἐπὶ τίσι δεῖ ποιεῖσθαι τὴν συμμαχίαν, ἀλλ᾽ ἀγαπᾷν μόνον, εἰ γίνεται. τοῦτο δὲ προλαβὼν, ἔκδοτον μὲν τὴν Βοιωτίαν ἅπασαν ἐποίησε Θηβαίοις, γράψας ἐν τῷ ψηφίσματι, ἐάν τις ἀφιστῆται πόλις ἀπὸ Θηβαίων, βοηθεῖν Ἀθηναίους Βοιωτοῖς τοῖς ἐν Θήβαις, τοῖς

ὡς αὐτὰ τὰ πράγματα δεδήλωκε] Intelligit eam rationem, qua Philippus post pugnam Chaeroneensem utrosque, tum Thebanos, tum Athenienses tractaverit, severus in Thebanos, mitis in Athenienses.

βοηθεῖν Ἀθηναίους τοῖς Βοιωτοῖς τοῖς ἐν Θήβαις] Augerus opinatur, quum Athenienses Thebanis semper inimici fuerint, Boeotis vero faverint, Demosthenem, ne Athenienses offenderet, dixisse Boeotos Thebarum, non Thebanos. Ego vero Demosthenem Boeotarchas, quos postea appellat, opinor intellexisse Aeschinemque nomen Βοιωτῶν ἐν Θήβαις in Demosthenis invidiam sic esse interpretatum, quasi Boeoti Thebarum nonnisi sint Thebanorum periphrasis. Sed Βοιωτοὶ ἐν Θήβαις sunt legati variarum Boeotiae urbium, qui Thebas convenerant, ut ibi de rebus publicis ad totam Boeotiam pertinentibus deliberarent. Jam huic senatui obediendum esse vult; et si quae civitas ejus placitis obtemperare nolit, Athenienses senatui suppetias esse laturos: quod salubre erat consilium in tanto discrimine, ne per singularum partium discordiam tota pessum daretur res publica. Br. — Vix eo adducor, ut credam τοὺς βοιωτοὺς Boeotarchas posse significare, sed argutiam Demosthenicam ab adversario h. l. inique traductam ita potius interpretor. Egregius orator ipso verborum dilectu cives suos docere volebat, non jam id agi, ut cum Thebanorum civitate in se spectata, parte tantum modo Boeotiae, inimica olim Atheniensibus, foedus inirent, eique opem ferrent, sed ut societatem cum ea jungerent, quatenus eadem esset totius regionis caput, summamque rem apud foederatos Boeotorum populos legitime administraret. Ejusmodi autem foedus, ut cum tota Boeotia Theba-

ὀνόμασι κλέπτων καὶ μεταφέρων τὰ πράγματα, ὥςπερ εἴωθεν· ὡς τοὺς Βοιωτοὺς ἔργῳ κακῶς πάσχοντας, τὴν τῶν ὀνομάτων σύνθεσιν τῶν Δημοσθένους ἀγαπήσοντας, ἀλλ' οὐ μᾶλλον ἐφ' οἷς κακῶς πεπόνθεσαν ἀγανακτήσοντας: δεύτερον δὲ, τῶν εἰς τὸν πόλεμον ἀναλωμάτων τὰ μὲν δύο μέρη ὑμῖν ἀνέθηκεν, οἷς ἦσαν ἀπωτέρω οἱ κίνδυνοι, τὸ δὲ τρίτον μέρος Θηβαίοις, δωροδοκῶν ἐφ' ἑκάστοις τούτων, καὶ τὴν ἡγεμονίαν τὴν μὲν κατὰ θάλατταν ἐποίησε κοινὴν, τὸ δὲ ἀνάλωμα ἴδιον ὑμέτερον, τὴν δὲ κατὰ γῆν, εἰ μὴ δεῖ ληρεῖν, ἄρδην φέρων ἀνέθηκε Θηβαίοις· ὥςτε παρὰ τὸν γενόμενον πόλεμον μὴ κύριον γενέσθαι Στρατοκλέα τὸν ἡμέτερον στρατηγὸν βουλεύσασθαι περὶ τῆς

---

norum ἡγεμονίᾳ (principatui, summatui Lucret. 5, 1141. potentatui Cic. de Rep. 2, 8) subjecta ea tempestate fieret, non solum civilis prudentia suadebat, sed si ita verbis concipiebatur, speciosius etiam erat ad plebis Atheniensis veterem simultatem mitigandam, longeque minorem ipsi oratori invidiam faciebat, quam si incaute Thebanos solos in populiscito nominasset. Simili modo cum Reiskio accipio contrariam Aeschinis sententiam περὶ παραπρεσβ. p. 201. Br. ὅτι τὰς Θήβας Βοιωτίαν δίκαιον ἡγούμην εἶναι, καὶ μὴ τὴν Βοιωτίαν Θήβας: Aequum mihi videbatur, Thebas partem, non caput Boeotiae pari iure uti cum reliqua Boeotia, neque vero Boeotos subditos esse Thebanorum civitati. Orellius.

ἴδιον ὑμέτερον] Non raro possessivum pro genitivo pronominis personalis adjectivo ἴδιον addi, patet ex iis, quae habet Lobeck ad Phryn. p. 441.

Στρατοκλέα τὸν ἡμέτερον στρατηγὸν] Stratoclem novimus oratorem, qui, ut ex Dinarchi oratione κατὰ Δημοσθ. apparet, Demosthenem ob pecuniam ab Harpalo acceptam publice accusavit. De eo accurate egit Ruhnkenius ad Rutilium Lupum p. 32. sqq. Imperatores in pugna Chaeronensi memorat Diodor. Sic. XVI, 85. Charetem et Lysiclem. Chares videtur is fuisse, qui summae rei praeerat. Polyaenus Stratagem. IV, 2, 8. Charetem et Proxenum nominat. Stratoclis tamen meminit etiam Polyaenus IV, 22. ita, ut haud improbabile sit protervam ejus linguam hoc effudisse. Ἀθηναίων Στρατοκλῆς ἐκβοήσας· οὐ χρὴ ὑποστῆναι προςκειμένους, ἕως ἂν

ἐξημάρτηκε. πρῶτον μὲν, ὅτι Φιλίππου τῷ μὲν ὀνόματι πολεμοῦντος ὑμῖν, τῷ δὲ ἔργῳ πολὺ μᾶλλον μισοῦντος Θηβαίους, ὡς αὐτὰ τὰ πράγματα δεδήλωκε, καὶ τί δεῖ τὰ πλείω λέγειν; ταῦτα μὲν τὰ τηλικαῦτα τὸ μέγεθος ἀπεκρύψατο, προςποιησάμενος δὲ μέλλειν τὴν συμμαχίαν γενήσεσθαι, οὐ διὰ τοὺς καιροὺς ἀλλὰ διὰ τὰς αυτοῦ πρεσβείας, πρῶτον μὲν συνέπεισε τὸν δῆμον μηκέτι βουλεύεσθαι, ἐπὶ τίσι δεῖ ποιήσασθαι τὴν συμμαχίαν, ἀλλ' ἀγαπᾶν μόνον, εἰ γίνεται. τοῦτο δὲ προλαβὼν, ἔκδοτον μὲν τὴν Βοιωτίαν ἅπασαν ἐποίησε Θηβαίοις, γράψας ἐν τῷ ψηφίσματι, ἐάν τις ἀφιστῆται πόλις ἀπὸ Θηβαίων, βοηθεῖν Ἀθηναίους Βοιωτοῖς τοῖς ἐν Θήβαις, τοῖς

ὡς αὐτὰ τὰ πράγματα δεδήλωκε] Intelligit eam rationem, qua Philippus post pugnam Chaeronensem utrosque, tum Thebanos, tum Athenienses tractaverit, severus in Thebanos, mitis in Athenienses.

βοηθεῖν Ἀθηναίους τοῖς Βοιωτοῖς τοῖς ἐν Θήβαις] Augerus opinatur, quum Athenienses Thebanis semper inimici fuerint, Boeotis vero faverint, Demosthenem, ne Athenienses offenderet, dixisse Boeotos Thebarum, non Thebanos. Ego vero Demosthenem Boeotarchas, quos postea appellat, opinor intellexisse Aeschinemque nomen Βοιωτῶν ἐν Θήβαις in Demosthenis invidiam sic esse interpretatum, quasi Boeoti Thebarum nonnisi sint Thebanorum periphrasis. Sed Βοιωτοὶ ἐν Θήβαις sunt legati variarum Boeotiae urbium, qui Thebas convenerant, ut ibi de rebus publicis ad totam Boeotiam pertinentibus deliberarent. Jam huic senatui obediendum esse vult; et si quae civitas ejus placitis obtemperare nolit, Athenienses senatui suppetias esse laturos: quod salubre erat consilium in tanto discrimine, ne per singularum partium discordiam tota pessum daretur res publica. Br. — Vix eo adducor, ut credam τοὺς βοιωτοὺς Boeotarchas posse significare, sed argutiam Demosthenicam ab adversario h. l. inique traductam ita potius interpretor. Egregius orator ipso verborum dilectu cives suos docere volebat, non jam id agi, ut cum Thebanorum civitate in se spectata, parte tantum modo Boeotiae, inimica olim Atheniensibus, foedus inirent, eique opem ferrent, sed ut societatem cum ea jungerent, quatenus eadem esset totius regionis caput, summamque rem apud foederatos Boeotorum populos legitime administraret. Ejusmodi autem foedus, ut cum tota Boeotia Theba-

ὀνόμασι κλέπτων καὶ μεταφέρων τὰ πράγματα, ὥςπερ εἰώθειν· ὡς τοὺς Βοιωτοὺς ἔργῳ κακῶς πάσχοντας, τὴν τῶν ὀνομάτων σύνθεσιν τῶν Δημοσθένους ἀγαπήσοντας, ἀλλ' οὐ μᾶλλον ἐφ' οἷς κακῶς πεπόνθεσαν ἀγανακτήσοντας: δεύτερον δὲ, τῶν εἰς τὸν πόλεμον ἀναλωμάτων τὰ μὲν δύο μέρη ὑμῖν ἀνέθηκεν, οἷς ἦσαν ἀπωτέρω οἱ κίνδυνοι, τὸ δὲ τρίτον μέρος Θηβαίοις, δωροδοκῶν ἐφ' ἑκάστοις τούτων, καὶ τὴν ἡγεμονίαν τὴν μὲν κατὰ θάλατταν ἐποίησε κοινὴν, τὸ δὲ ἀνάλωμα ἴδιον ὑμέτερον, τὴν δὲ κατὰ γῆν, εἰ μὴ δεῖ ληρεῖν, ἄρδην φέρων ἀνέθηκε Θηβαίοις· ὥςτε παρὰ τὸν γενόμενον πόλεμον μὴ κύριον γενέσθαι Στρατοκλέα τὸν ἡμέτερον στρατηγὸν βουλεύσασθαι περὶ τῆς

---

norum ἡγεμονίᾳ (principatui, summatui Lucret. 5, 1141. potentatui Cic. de Rep. 2, 8) subjecta ea tempestate fieret, non solum civilis prudentia suadebat, sed si ita verbis concipiebatur, speciosius etiam erat ad plebis Atheniensis veterem simultatem mitigandam, longeque minorem ipsi oratori invidiam faciebat, quam si incaute Thebanos solos in populiscito nominasset. Simili modo cum Reiskio accipio contrariam Aeschinis sententiam περὶ παραπρεσβ. p. 201. Br. ὅτι τὰς Θήβας βοιωτίαν δίκαιον ἡγούμην εἶναι, καὶ μὴ τὴν βοιωτίαν Θήβας: Aequum mihi videbatur, Thebas partem, non caput Boeotiae pari jure uti cum reliqua Boeotia, neque vero Boeotos subditos esse Thebanorum civitati. Orellius.

ἴδιον ὑμέτερον] Non raro possessivum pro genitivo pronominis personalis adjectivo ἴδιον addi, patet ex iis, quae habet Lobeck ad Phryn. p. 411.

Στρατοκλέα τὸν ἡμέτερον στρατηγὸν] Stratoclem novimus oratorem, qui, ut ex Dinarchi oratione κατὰ Δημοσθ. apparet, Demosthenem ob pecuniam ab Harpalo acceptam publice accusavit. De eo accurate egit Ruhnkenius ad Rutilium Lupum p. 32. sqq. Imperatores in pugna Chaeronensi memorat Diodor. Sic. XVI, 85. Charetem et Lysiclem. Chares videtur is fuisse, qui summae rei praeerat. Polyaenus Stratagem. IV, 2, 8. Charetem et Proxenum nominat. Stratoclis tamen meminit etiam Polyaenus IV, 22. ita, ut haud improbabile sit protervam ejus linguam hoc effudisse. Ἀθηναίων Στρατοκλῆς ἐκβοήσας· οὐ χρὴ ὑποστῆναι προςκειμένους, ἕως ἂν

τῶν στρατιωτῶν σωτηρίας. καὶ ταῦτ' οὐκ ἐγὼ μὲν κατηγορῶ, ἕτεροι δὲ παραλείπουσιν, ἀλλὰ κἀγὼ λέγω, καὶ πάντες ἐπιτιμῶσι, καὶ ὑμεῖς σύνιστε καὶ οὐκ ὀργίζεσθε. ἐκεῖνο γὰρ πεπόνθατε πρὸς Δημοσθένην· συνειθισθε ἤδη τἀδικήματα αὐτοῦ ἀκούειν, ὥστε οὐ θαυμάζετε. δεῖ δὲ οὐχ οὕτως, ἀλλ' ἀγανακτεῖν καὶ τιμωρεῖσθαι, εἰ χρὴ τὰ λοιπὰ τῇ πόλει καλῶς ἔχειν. 45. δεύτερον δὲ καὶ πολὺ τούτου μεῖζον ἀδίκημα ἠδίκησεν, ὅτι τὸ βουλευτήριον τὸ τῆς πόλεως, καὶ τὴν δημοκρατίαν ἄρδην ἔλαθεν ὑφελόμενος, καὶ μετήνεγκεν εἰς Θήβας εἰς τὴν Καδμείαν τὴν κοινωνίαν τῶν πράξεων τοῖς Βοιωτάρχαις συνθέμενος. καὶ τηλικαύτην αὐτὸς αὐτῷ δυναστείαν κατεσκεύασεν, ὥστ' ἤδη παριὼν ἐπὶ τὸ βῆμα, πρεσβεύσειν μὲν ἔφη ὅποι ἂν αὐτῷ δοκῇ, κἂν μὴ ὑμεῖς ἐκπέμπητε, εἰ δέ τις αὐτῷ τῶν στρατηγῶν ἀντείποι, καταδουλούμενος τοὺς ἄρχοντας, καὶ συνεθίζων μηδὲν αὐτῷ ἀντιλέγειν, διαδικασίαν ἔφη γράψειν τῷ βήματι

τοὺς πολεμίους κατακλείσωμεν ἐς Μακεδονίαν, οὐκ ἀνῆκε διώκων. Hoc fortasse exclamavit, quum primum in levioribus proeliis Athenienses Macedonas superavissent.

45. τοῖς Βοιωτάρχαις] Per hos non intelligo τοὺς προεστῶτας τῶν Θηβῶν, quos intelligendos videntur nonnulli opinati esse ex Polluce I, 128. τῶν Θηβαίων, ἴδιον οἱ Βοιωτάρχαι. Accuratius, opinor, Thucydidis Scholiastes L. II, 2. οἱ τῶν Βοιωτῶν ἄρχοντες. In numero etiam veteres dissentiunt, qui pro temporum diversitate diversus esse potest. Nonnulli septem fuisse perhibent, Scholiastes l. l. undecim, Livius XLII, 43. duodecim. Hoc Demostheni minime crimini vertendum est, quod per συμμαχίαν senatum Boeotorum rerum deliberandarum participem esse voluerit. Et haec ipsa erat Demosthenis mens, quam Aeschines hyperbolice calumniatur.

διαδικασίαν] „Mit einem Worte Prioritätsstreit. Sie setzte voraus, daſs irgend ein Gegenstand in der Mitte liege, zu welchem mehrere ein ausschlieſsliches Recht zu haben behaupten, oder daſs es streitig sey, wer unter mehrern Personen etwas zu leisten schuldig sey. Diadikasie ist die gerichtliche Contestation und richterliche Entscheidung einer solchen Sache.“ A. W. Heffter

πρὸς τὸ στρατηγεῖον· πλείω γὰρ ὑμᾶς ἀγαθὰ ὑφ' ἑαυτοῦ ἔφη ἀπὸ τοῦ βήματος πεπονθέναι, ἢ ὑπὸ τῶν στρατηγῶν ἐκ τοῦ στρατηγείου. μισθοφορῶν δ' ἐν τῷ ξενικῷ κεναῖς χώραις, καὶ τὰ στρατιωτικὰ χρήματα κλέπτων, καὶ τοὺς μυρίους ξένους ἐκμισθώσας Ἀμφισσεῦσι, πολλὰ διαμαρτυρομένου καὶ σχετλιάζοντος ἐν ταῖς ἐκκλησίαις ἐμοῦ, προςέμιξε φέρων, ἀναρπασθέντων τῶν ξένων, τὸν κίνδυνον

---

die Athenäische Gerichtsverfassung p. 272. Ceterum sententiam, quae hic Demostheni tribuitur, expressit poëta ille Latinus, cujus versum laudat Cicero de Off. I, 22, 77.

Cedant arma togae, concedat laurea laudi.

(Ipsius Ciceronis versus est ex libris de Consulatu suo. O.)

κεναῖς χώραις] Stipendia scilicet accipiebat militum nomine, qui non militabant, more avarorum ducum, qui plures milites sub imperio suo stipendia facere simulant, quam faciunt.

πολλὰ διαμαρτυρομένου καὶ σχετλιάζοντος - ἐμοῦ] Διαμαρτύρεσθαι est Latinorum contestari, obtestare, Deos hominesque testes vocare. Proprie, secundum Harpocrationem, διαμαρτυρία τρόπος τις ἦν τῆς παραγραφῆς. πρὸ γὰρ τοῦ εἰςαχθῆναι εἰς τὸ δικαστήριον τὴν δίκην ἐξῆν τῷ βουλομένῳ διαμαρτυρεῖσθαι, ὡς εἰςαγώγιμός ἐστιν ἡ δίκη, ἢ οὐκ εἰςαγώγιμος· διαφέρει δὲ τῆς παραγραφῆς τῷ τὴν διαμαρτυρίαν γίνεσθαι οὐ μόνον ὑπὸ τῶν φευγόντων, ἀλλὰ καὶ ὑπὸ τῶν διωκόντων· καὶ πρότερόν γε τῷ διώκοντι ἦν προβάλλεσθαί τινα μαρτυροῦντα εἰςαγώγιμον εἶναι τὴν δίκην, καὶ περὶ τούτου πρότερον ἐγίνετο ἡ κρίσις πρὸς αὐτὸν τὸν διαμαρτυρήσαντα, οὐ πρὸς τὸν ἐξαρχῆς δικαζόμενον· εἰ δὲ μὴ προυβάλλετο μάρτυρα ὁ διώκων, τότε ἐξῆν τῷ φεύγοντι προςαγαγεῖν τινὰ μαρτυροῦντα μὴ εἰςαγώγιμον εἶναι τὴν δίκην, καὶ πάλιν πρὸς τὸν διαμαρτυρήσαντα ὁ ἀγὼν ἐγίνετο· ἐπεσκήπτοντο δὲ ψευδομαρτυριῶν καὶ ταῖς διαμαρτυρίαις, ὥσπερ καὶ ταῖς μαρτυρίαις. Σχετλιάζειν est clamare aliquid σχέτλιον esse, improbum et iniquum, intolerabile. Aristoph. Plut. 477.

οὐ δεῖ σχετλιάζειν καὶ βοᾶν, πρὶν ἂν πάθῃς

Hinc σχετλιασμὸς est conquestio, oratio, quo conquerimur et commoti sumus ex injuria vel adversa fortuna.

ἀναρπασθέντων τῶν ξένων] Hyperbolice de clade, quam passi sunt milites conductitii. Demosthenes κατὰ Νεαίρ. p. 1348. οὐ περιεῖδον αὐτὸν ἀναρπασθέντα, ἀλλ' ἐτίμησαν ταλάντου.

ἀπαρασκεύῳ τῇ πόλει. τί γὰρ ἂν οἴεσθε Φίλιππον ἐν τοῖς τότε καιροῖς εὔξασθαι; οὐ χωρὶς μὲν πρὸς τὴν πολιτικὴν δύναμιν, χωρὶς δ' ἐν Ἀμφίσσῃ πρὸς τοὺς ξένους διαγωνίσασθαι; ἀθύμους δὲ τοὺς Ἕλληνας λαβεῖν τηλικαύτης πληγῆς γεγενημένης; καὶ τηλικούτων κακῶν αἴτιος γεγενημένος Δημοσθένης, οὐκ ἀγαπᾷ, εἰ μὴ δίκην δέδωκεν, ἀλλ' εἰ μὴ καὶ χρυσῷ στεφάνῳ στεφανωθήσεται, ἀγανακτεῖ· οὐδ' ἱκανόν ἐστιν αὐτῷ ἐναντίον ὑμῶν κηρύττεσθαι, ἀλλ' εἰ μὴ τῶν Ἑλλήνων ἐναντίον ἀναῤῥηθήσεται, τοῦτ' ἤδη ἀγανακτεῖ. οὕτως, ὡς ἔοικε, πονηρὰ φύσις μεγάλης ἐξουσίας ἐπιλαβομένη, δημοσίας ἀπεργάζεται συμφοράς. 46. τρίτον δὲ καὶ τῶν προειρημένων μέγιστόν ἐστιν, ὃ μέλλω λέγειν. Φιλίππου γὰρ οὐ καταφρονοῦντος τῶν Ἑλλήνων, οὐδ' ἀγνοοῦντος, (οὐ γὰρ ἦν ἀσύνετος) ὅτι περὶ τῶν ὑπαρχόντων ἀγαθῶν ἐν ἡμέρας σμικρῷ μέρει διαγωνιεῖται, καὶ διὰ ταῦτα βουλομένου ποιήσασθαι εἰρήνην, καὶ πρεσβείας ἀποστέλλειν μέλλοντος, καὶ τῶν ἀρχόντων τῶν ἐν Θήβαις φοβουμένων τὸν ἐπιόντα κίνδυνον, εἰκότως· (οὐ γὰρ ῥήτωρ ἀστράτευτος καὶ λιπὼν τὴν τάξιν αὐτοὺς ἐνουθέτησεν, ἀλλ' ο Φωκικὸς πόλεμος δεκαετὴς γεγονὼς ἀείμνηστον παιδείαν αὐτοὺς ἐπαίδευσε) τούτων δὲ ἐχόντων οὕτως, αἰσθόμενος Δημοσθένης καὶ τοὺς Βοιωτάρχας ὑποπτεύσας μέλλειν εἰρήνην ἰδίᾳ ποιεῖσθαι, χρυσίον ἄνευ αὐτοῦ παρὰ Φιλίππου λαβόντας, ἀβίωτον ἡγησάμενος εἶναι, εἴ τινος ἀπολειφθήσεται δωροδοκίας, ἀναπηδήσας

---

46. ὁ Φωκικὸς πόλεμος δεκαετὴς] De scriptura vocabuli δεκαετὴς vide παραπρ. 36. De re haec habet Weiske de Hyperb. P. III. p. 19. „Si bellum Phocense gestum censetur inde a templo occupato Ol. CV, 4. (Pausanias X, 2, 2) ad urbis eversionem Ol. CVIII, 3. undecim anni (Diod. Sic. XVI, 14.), ad Phalaeci usque discessum Ol. CVIII, 2. decem anni (Aeschines παραπρ. 36. Ctesiph. 46. Diodor. XVI, 59. Pausan. X, 2, 2. X, 8, 2.) denique a pugna inde prima Phocensium et Locrensium, quae Ol. CVI, 1. accidisse videtur, novem numerantur anni (Diodor. XVI, 23.)

ἐν τῇ ἐκκλησίᾳ, οὐδενὸς ἀνθρώπων λέγοντος, οὔθ' ὡς δεῖ ποιεῖσθαι πρὸς Φίλιππον εἰρήνην, οὔθ' ὡς οὐ δεῖ, ἀλλ' ὡς ᾤετο, τοῦτο κήρυγμά τι τοῖς Βοιωτάρχαις προκηρύττων, ἀναφέρειν αὐτῷ τὰ μέρη τῶν λημμάτων, διώμνυτο τὴν Ἀθηνᾶν, ἥν, ὡς ἔοικε, Φειδίας ἐνεργολαβεῖν εἰργάσατο καὶ ἐνεπιορκεῖν Δημοσθένει, ἦ μήν, εἴ τις ἐρεῖ, ὡς χρὴ πρὸς Φίλιππον εἰρήνην ποιήσασθαι, ἀπάξειν εἰς τὸ δεσμωτήριον ἐπιλαβόμενος τῶν τριχῶν, ἀπομιμούμενος τὴν Κλεοφῶντος πολιτείαν, ὃς ἐπὶ τοῦ πρὸς Λακεδαιμονίους πολέμου, ὡς λέγεται, τὴν πόλιν ἀπώλεσεν. ὡς δ' οὐ προςεῖχον αὐτῷ οἱ ἄρχοντες οἱ ἐν ταῖς Θήβαις, ἀλλὰ καὶ τοὺς στρατιώτας τοὺς ὑμετέρους πάλιν ἀνέστρεψαν ἐξεληλυθότας, ἵνα βουλεύσησθε περὶ τῆς εἰρήνης, ἐνταῦθ' ἤδη παντάπασιν ἔκφρων ἐγένετο, καὶ παρελθὼν ἐπὶ τὸ βῆμα, προδότας τῶν Ἑλλήνων τοὺς Βοιωτάρχας ἀπεκάλεσε, καὶ γράψειν ἔφη ψήφισμα, ὁ τοῖς πολεμίοις οὐδέποτ' ἀντιβλέψας, πέμπειν ὑμᾶς πρέσ-

---

τοῦτο κήρυγμά τι] Τοῦτο est accusativus subjecti; κήρυγμά τι accusativus praedicati. Κήρυγμα est mandatum vel a senatu datum, vel a populo jussum, quod voce praeconis promulgabatur. Hinc tropice significat jussum, cui tamquam a summo magistratu mandato sit parendum: hoc quasi publica auctoritate sancitum.

Κλεοφῶντος] Vide ad παραπρ. 21.

οὐδέποτ' ἀντιβλέψας] Haec locutio summum terroris gradum indicat: quam etiam Latini receperunt. Cornel. Nep. Epamin. 8, 3. quos (Lacedaemonios) ante se Imperatorem nemo Boeotiorum ausus fuit aspicere. Quae de hac formula colligi possunt, collegit et illustravit Bentlejus ad Horat. Od. I, 3, 18. Contra βλέπειν εἰς τινος πρόςωπον formula est impudentiam notans. Sic c. 47. ἐπιχειρήσειν ἐθελήσεις — βλέπων εἰς τὰ τούτων πρόςωπα λέγειν. Demosthenes περὶ στεφ. p. 320. εἶτα σὺ φθέγγῃ καὶ βλέπειν εἰς τὰ τουτωνὶ πρόςωπα τολμᾷς; Ceterum ἀντιβλέπειν cum accusativo constructum memorat Priscianus L. XVIII. §. 190. p. 494. Krehl. Citat nempe hunc locum ita: ὁ μηδέποτε τοὺς πολεμίους ἀντιβλέψας. Sed videtur locum ex memoria laudasse, quum in nullo, qui extant, codicum, neque vestigium lectionis μηδέποτε neque accusativi appareat. Et ἀντιβλέπειν quidem apud Atticos vel cum dativo, vel cum

βεις εἰς Θήβας, αἰτήσοντας Θηβαίους δίοδον ἐπὶ Φίλιππον. ὑπεραισχυνθέντες δὲ οἱ ἐν Θήβαις ἄρχοντες, μὴ δόξωσιν ὡς ἀληθῶς εἶναι προδόται τῶν Ἑλλήνων, ἀπὸ μὲν τῆς εἰρήνης ἀπετράποντο, ἐπὶ δὲ τὴν παράταξιν ὥρμησαν. 47. ἔνθα δὴ καὶ τῶν ἀνδρῶν τῶν ἀγαθῶν ἄξιόν ἐστιν ἐπιμνησθῆναι, οὓς οὗτος, ἀθύτων καὶ ἀκαλλιερήτων ὄντων τῶν ἱερῶν, ἐκπέμψας ἐπὶ τὸν πρόδηλον κίνδυνον, ἐτόλμησε τοῖς δραπέταις ποσὶ καὶ λελοιπόσι τὴν τάξιν, ἀναβὰς ἐπὶ τὸν τάφον τῶν τελευτησάντων, ἐγκωμιάζειν τὴν ἐκείνων

---

praepositionibus εἰς et πρὸς c. acc. construitur. Recentiores habent etiam accusativum sine praepositione. De legatione et successu Demosthenis narrat Plutarchus in vita Demosth. p. 854. c. 18. ἀπεστάλη πρεσβευτὴς μεθ' ἑτέρων εἰς Θήβας. — — Τὸ μὲν οὖν συμφέρον οὐ διέφυγε τοὺς τῶν Θηβαίων λογισμοὺς, ἀλλ' ἐν ὄμμασιν ἕκαστος εἶχε τὰ τοῦ πολέμου δεινὰ, ἔτι τῶν Φωκικῶν τραυμάτων νεαρῶν παραμενόντων. Ἡ δὲ τοῦ ῥήτορος δύναμις, ὥς φησι Θεόπομπος, ἐκριπίζουσα τὸν θυμὸν αὐτῶν καὶ διακναίουσα τὴν φιλοτιμίαν, ἐπεσκότησε τοῖς ἄλλοις ἅπασιν· ὥστε φόβον καὶ λογισμὸν καὶ χάριν ἐκβαλεῖν αὐτοὺς (sic scribo cum Weiskio de Hyperb. II, 19. n. 12. ut — aspernarentur, excuterent) ἐνθουσιῶντας ὑπὸ τοῦ λόγου πρὸς τὸ καλόν. Οὕτω δὲ μέγα καὶ λαμπρὸν ἐφάνη τὸ τοῦ ῥήτορος ἔργον, ὥστε τὸν μὲν Φίλιππον εὐθὺς ἐπικηρυκεύεσθαι, δεόμενον εἰρήνης, ὀρθὴν δὲ τὴν Ἑλλάδα γενέσθαι, καὶ συνεξαναστῆναι πρὸς τὸ μέλλον, ὑπηρετεῖν δὲ μὴ μόνον τοὺς στρατηγοὺς τῷ Δημοσθένει, ποιοῦντας τὸ προσταττόμενον, ἀλλὰ καὶ τοὺς Βοιωτάρχας, καὶ διοικεῖσθαι τὰς ἐκκλησίας ἁπάσας οὐδὲν ἧττον ὑπ' ἐκείνου τότε τὰς Θηβαίων ἢ τὰς Ἀθηναίων, ἀγαπωμένου παρ' ἀμφοτέροις καὶ δυναστεύοντος, οὐκ ἀδίκως, οὐδὲ παρ' ἀξίαν, ὡς ἀποφαίνεται ὁ Θεόπομπος, ἀλλὰ καὶ πάνυ προσηκόντως.

47. τοῖς δραπέταις ποσὶ καὶ λελοιπόσι τὴν τάξιν] Δραπέτης, quod plerumque substantive ponitur, h. l. adjectivi locum tenet. Nam, ut vere monet Brunckius ad Sophocl. Oed. T. v. 81., substantivi pro adjectivo positi exempla passim obvia, nec apud poëtas solum, sed etiam apud prosae scriptores. Ceterum totum hoc membrum per ἓν διὰ δυοῖν accipiendum, quasi scriptum fuerit, τοῖς δραπέταις ποσὶ λελοιπότα τὴν τάξιν; sed utrumque separatim positum rei turpitudinem auget.

ἐτόλμησε — — ἀναβὰς ἐπὶ τὸν τάφον τῶν τελευτησάντων ἐγκωμιάζειν] Hac de re narrat Plutarchus vita Demosth. p. 855. c. 21.

ἀρετήν. ὦ πρὸς μὲν τὰ μεγάλα καὶ σπουδαῖα τῶν πραγμάτων, ἁπάντων ἀνθρώπων ἀχρηστότατε, πρὸς δὲ τὴν ἐν τοῖς λόγοις τόλμαν θαυμασιώτατε, ἐπιχειρήσειν ἐθελήσεις αὐτίκα μάλα βλέπων εἰς τὰ τούτων πρόσωπα λέγειν, ὡς δεῖ σε ἐπὶ ταῖς τῆς πόλεως συμφοραῖς στεφανοῦσθαι; ἐὰν δ' οὗτος λέγῃ, ὑμεῖς ὑπομενεῖτε, καὶ συναποθανεῖται τοῖς τελευτήσασιν, ὡς ἔοικε, καὶ ἡ ὑμετέρα μνήμη; γένεσθε δή μοι μικρὸν χρόνον τὴν διάνοιαν μὴ ἐν τῷ δικαστηρίῳ, ἀλλ' ἐν τῷ θεάτρῳ, καὶ νομίσατε ὁρᾷν προϊόντα τὸν κήρυκα, καὶ τὴν ἐκ τοῦ ψηφίσματος ἀνάῤῥησιν μέλλουσαν γίνεσθαι, καὶ λογίσασθε, πότερ' οἴεσθε τοὺς οἰκείους τῶν τελευτησάντων πλείω δάκρυα ἀφήσειν ἐπὶ ταῖς τρα-

---

τότε δὲ τῆς ἀτυχίας τοῖς Ἕλλησι γενομένης, οἱ μὲν ἀντιπολιτευόμενοι ῥήτορες, ἐπεμβαίνοντες τῷ Δημοσθένει, κατεσκεύαζον εὐθύνας καὶ γραφὰς ἐπ' αὐτόν· ὁ δὲ δῆμος οὐ μόνον τούτων ἀπέλυεν, ἀλλὰ καὶ τιμῶν διετέλει, καὶ προςκαλούμενος αὖθις, ὡς εὔνους, εἰς τὴν πολιτείαν· ὥςτε καὶ τῶν ὀστέων ἐκ Χαιρωνείας κομισθέντων καὶ θαπτομένων, τὸν ἐπὶ τοῖς ἀνδράσιν ἔπαινον εἰπεῖν ἀπέδωκεν. οὐ ταπεινῶς οὐδ' ἀγεννῶς φέρων τὸ συμφέρον, — ἀλλὰ τῷ τιμᾷν μάλιστα καὶ κοσμεῖν τὸν σύμβουλον ἀποδεικνύμενος τὸ μὴ μεταμέλεσθαι τοῖς βεβουλευμένοις. Τὸν μὲν οὖν λόγον εἶπεν ὁ Δημοσθένης.

ἐπιχειρήσειν ἐθελήσεις] Ex Thoma M. p. 159—168. videtur patere, grammaticos nonnullos antiquos statuisse, non jungi posse verba, quae voluntatem significant, cum futuro infinitivi, eosque nostro loco sequitur Marklandus, qui conjicit *ἐπιχειρῆσαι* vel *ἐπιχειρεῖν*. Sed optimorum scriptorum usum hoc non omnino rejecisse, satis docuit Lobeck. Parerg. post Phryn. p. 747. s. In Bern. glossa est *τολμήσεις*. Interdum, ut hic, tempus indicatur, quod proxime instat: „Audebis statim aggredi, quod nullo umquam tempore audendum sit."

γένεσθε δή μοι — — τὴν διάνοιαν] Taylor ex Bern. annotat *τῇ διανοίᾳ*, et is quidem casus in similibus locutionibus Aeschini usitatissimus est. c. 48. *ταῖς γε διανοίαις ἀποβλέψατ' αὐτῶν εἰς τὴν συμφοράν*. 61. *προςέλθετε οὖν τῇ διανοίᾳ καὶ εἰς τὴν στοὰν ποικίλην*. Quum tamen accusativus ab omnibus libris confirmetur, isque ex legibus grammaticis locum habere possit, nihil est novandum. Tim. 73. *ἐπειδὰν — — τὰς ψυχὰς ἐφ' ἑτέρων γένησθε*.

γῳδίαις καὶ τοῖς ἡρωϊκοῖς πάθεσι τοῖς μετὰ ταῦτα ἐπεισιῶσιν, ἢ ἐπὶ τῇ τῆς πόλεως ἀγνωμοσύνῃ; τίς γὰρ οὐκ ἂν ἀλγήσειεν ἄνθρωπος Ἕλλην καὶ παιδευθεὶς ἐλευθέρως, ἀναμνησθεὶς ἐν τῷ θεάτρῳ ἐκεῖνό γε, εἰ μηδὲν ἕτερον, ὅτι ταύτῃ ποτὲ τῇ ἡμέρᾳ μελλόντων, ὥσπερ νυνὶ, τῶν τραγῳδῶν γίνεσθαι, ὅτ' εὐνομεῖτο μᾶλλον ἡ πόλις καὶ βελτίοσι προστάταις ἐχρῆτο, προελθὼν ὁ κήρυξ καὶ παραστησάμενος τοὺς ὀρφανοὺς, ὧν οἱ πατέρες ἦσαν ἐν τῷ πολέμῳ τετελευτηκότες, νεανίσκους πανοπλίᾳ κεκοσμημέ-

---

ἄνθρωπος Ἕλλην καὶ παιδευθεὶς ἐλευθέρως] Vulgo ἢ καί. Bekkerus ἢ delevit auctoritate codd. b e k l m n. Nempe καὶ est explicativum, ut saepe etiam apud Latinos e t. Possis etiam reddere et omnino, ut amplificetur Ἕλληνος notio: „non Graecus solum, sed si forte inter ceteros quoque sit homo liberaliter educatus.“ Vide Hermannum ad Vigerum p. 838.

μελλόντων — τῶν τραγῳδῶν γίνεσθαι] Cf. supra c. 41.

τοὺς ὀρφανοὺς] Laudat Diogenes Laërtius in vita Solonis L. I. §. 55. ejus legem, quae jubet τῶν ἐν πολέμοις τελευτησάντων τοὺς υἱοὺς τρέφεσθαι καὶ παιδεύεσθαι. Commentarii vicem praestat Plato Menex. p. 248. c. τῆς δὲ πόλεως ἴστε που καὶ αὐτοὶ τὴν ἐπιμέλειαν, ὅτι νόμους θεμένη περὶ τῶν ἐν τῷ πολέμῳ τελευτησάντων παῖδάς τε καὶ γεννήτορας ἐπιμελεῖται καὶ διαφερόντως τῶν ἄλλων πολιτῶν προστέτακται φυλάττειν ἀρχῇ ἥπερ μεγίστη ἐστὶν, ὅπως ἂν οἱ τούτων μὴ ἀδικῶνται πατέρες τε καὶ μητέρες. τοὺς δὲ παῖδας συνεκτρέφει αὐτὴ προθυμουμένη ὅτι μάλιστα ἄδηλον αὐτοῖς τὴν ὀρφανίαν γενέσθαι· ἐν πατρὸς σχήματι καταστᾶσα αὐτοῖς αὐτὴ ἔτι τε παισὶν οὖσι, καὶ ἐπειδὰν εἰς ἀνδρὸς τέλος ἴωσιν, ἀποπέμπει ἐπὶ τὰ σφέτερ' αὐτῶν πανοπλίᾳ κοσμήσασα· ἐνδεικνυμένη καὶ ἀναμιμνήσκουσα τὰ τοῦ πατρὸς ἐπιτηδεύματα, ὄργανα τῆς πατρῴας ἀρετῆς διδοῦσα· καὶ ἅμα οἰωνοῦ χάριν ἄρχεσθαι ἰέναι ἐπὶ τὴν πατρῴαν ἑστίαν, ἄρξοντα μετ' ἰσχύος, ὅπλοις κεκοσμημένης. Rhetorum more rem tractavit Aeschines. Quod si Vogelius in vita Philippi (Biographie grofser und berühmter Männer des Alterthums Vol. II. p. 235.) affirmat, eorum qui in pugna Chaeronensi ceciderint, liberos Athenienses publicis impensis educandos curasse, hoc ex perperam intellecto Aeschinis loco haustum videtur. Hoc enim ipsum Aeschines Demostheni crimini vertit, quod non suppetias tulerit legi praestantissimae, sed orborum salutem suae ambitioni post habuerit.

νους, ἐκήρυττε τὸ κάλλιστον κήρυγμα καὶ προτρεπτικώτατον πρὸς ἀρετήν· ὅτι τούςδε τοὺς νεανίσκους, ὧν οἱ πατέρες ἐτελεύτησαν ἐν τῷ πολέμῳ, ἄνδρες ἀγαθοὶ γενόμενοι, μέχρι μὲν ἥβης ὁ δῆμος ἔτρεφε, νυνὶ δὲ καθοπλίσας τῇδε τῇ πανοπλίᾳ, ἀφίησιν ἀγαθῇ τύχῃ τρέπεσθαι ἐπὶ τὰ ἑαυτῶν, καὶ καλεῖ εἰς προεδρίαν. 48. τότε μὲν ταῦτ' ἐκήρυττεν, ἀλλ' οὐ νῦν, ἀλλὰ παραστησάμενος τὸν τῆς ὀρφανίας τοῖς παισὶν αἴτιον, τί ποτ' ἀνερεῖ ἢ τί φθέγξεται; καὶ γὰρ ἂν αὐτὰ διεξίῃ τὰ ἐκ τοῦ ψηφίσματος προστάγματα, ἀλλ' οὐ τό γ' ἐκ τῆς ἀληθείας αἰσχρὸν σιωπηθήσεται, ἀλλὰ τἀναντία δόξει τῇ τοῦ κήρυκος φωνῇ φθέγγεσθαι· ὅτι τόνδε τὸν ἄνδρα, εἰ δὴ καὶ οὗτος ἀνήρ, στεφανοῖ ὁ δῆμος ὁ Ἀθηναίων, ἀρετῆς ἕνεκα, τὸν κάκιστον, ἀνδραγαθίας ἕνεκα, τὸν ἄνανδρον καὶ λελοιπότα τὴν τάξιν. μὴ πρὸς τοῦ Διός, καὶ τῶν ἄλλων θεῶν, ἱκετεύω ὑμᾶς, ὦ Ἀθηναῖοι, μὴ τρόπαιον ἵστατε ἀφ' ὑμῶν αὐτῶν ἐν τῇ τοῦ Διονύσου

ἀγαθῇ τύχῃ] Est formula bene ominantis et precantis, ut aliquid bene cedat: quod felix faustumque sit, quod bene vertat. Xenophon Cyrop. IV, 5, 51. s. τούτους λαβὼν ποίει, ὅπως ἄριστόν [illegible] δοκεῖ εἶναι. δέχομαί τε, ἔφη, καὶ ἀγαθῇ τύχῃ ἡμεῖς τε ἱππεῖς γενοίμεθα, καὶ ὑμεῖς διέλοιτε τὰ κοινά.

καλεῖ εἰς προεδρίαν] Populum iis locum principem in theatro assignare ad spectandos ludos promulgat.

48. ἀλλ' οὐ τό γ' ἐκ της ἀληθείας αἰσχρὸν σιωπηθήσεται] Haec est apodosis, et ἀλλὰ vim habet affirmativam, in quo haesitare non oportebat Wolfium. Est enim frequens jam inde ab Homero. Inprimis hoc fit, quum protasis incipiat ab ἐπειδή, ut paullo post hoc ipso capite.

μὴ τρόπαιον ἵστατε ἀφ' ὑμῶν αὐτῶν] Negationem omittunt e h k l, cui repetitae saepe infensi erant librarii. Repetitionem, quae fortis est post quaedam interjecta, satis vindicavi ad Tim. 45. Pro ἀφ' nonnulli codd. supra scriptum habent καθ'. Vere F. A. Wolfius ad Leptin. p. 296. „Frequentissimus est, inquit, usus

γῳδίαις καὶ τοῖς ἡρωϊκοῖς πάθεσι τοῖς μετὰ ταῦτα ἐπεισιοῦσιν, ἢ ἐπὶ τῇ τῆς πόλεως ἀγνωμοσύνῃ; τίς γὰρ οὐκ ἂν ἀλγήσειεν ἄνθρωπος Ἕλλην καὶ παιδευθεὶς ἐλευθέρως, ἀναμνησθεὶς ἐν τῷ θεάτρῳ ἐκεῖνό γε, εἰ μηδὲν ἕτερον, ὅτι ταύτῃ ποτὲ τῇ ἡμέρᾳ μελλόντων, ὥςπερ νυνὶ, τῶν τραγῳδῶν γίνεσθαι, ὅτ' εὐνομεῖτο μᾶλλον ἡ πόλις καὶ βελτιοσι προστάταις ἐχρῆτο, προελθὼν ὁ κήρυξ καὶ παραστησάμενος τοὺς ὀρφανοὺς, ὧν οἱ πατέρες ἦσαν ἐν τῷ πολέμῳ τετελευτηκότες, νεανίσκους πανοπλίᾳ κεκοσμημέ-

---

ἄνθρωπος Ἕλλην καὶ παιδευθεὶς ἐλευθέρως] Vulgo ἢ καί. Bekkerus ἢ delevit auctoritate codd. b e k l m n. Nempe καὶ est explicativum, ut saepe etiam apud Latinos et. Possis etiam reddere et omnino, ut amplificetur Ἕλληνος notio: „non Graecus solum, sed si forte inter ceteros quoque sit homo liberaliter educatus." Vide Hermannum ad Vigerum p. 838.

μελλόντων – τῶν τραγῳδῶν γίνεσθαι] Cf. supra c. 41.

τοὺς ὀρφανοὺς] Laudat Diogenes Laërtius in vita Solonis L. I. §. 55. ejus legem, quae jubet τῶν ἐν πολέμοις τελευτησάντων τοὺς υἱοὺς τρέφεσθαι καὶ παιδεύεσθαι. Commentarii vicem praestat Plato Menex. p. 248. c. τῆς δὲ πόλεως ἴστε που καὶ αὐτοὶ τὴν ἐπιμέλειαν, ὅτι νόμους θεμένη περὶ τῶν ἐν τῷ πολέμῳ τελευτησάντων παῖδάς τε καὶ γεννήτορας ἐπιμελεῖται καὶ διαφερόντως τῶν ἄλλων πολιτῶν προστέτακται φυλάττειν ἀρχῇ ἥπερ μεγίστη ἐστίν, ὅπως ἂν οἱ τούτων μὴ ἀδικῶνται πατέρες τε καὶ μητέρες. τοὺς δὲ παῖδας συνεκτρέφει αὐτὴ προθυμουμένη ὅτι μάλιστα ἄδηλον αὐτοῖς τὴν ὀρφανίαν γενέσθαι· ἐν πατρὸς σχήματι καταστᾶσα αὐτοῖς αὐτὴ ἔτι τε παισὶν οὖσι, καὶ ἐπειδὰν εἰς ἀνδρὸς τέλος ἴωσιν, ἀποπέμπει ἐπὶ τὰ σφέτερ' αὐτῶν πανοπλίᾳ κοσμήσασα· ἐνδεικνυμένη καὶ ἀναμιμνήσκουσα τὰ τοῦ πατρὸς ἐπιτηδεύματα, ὄργανα τῆς πατρῴας ἀρετῆς διδοῦσα· καὶ ἅμα οἰωνοῦ χάριν ἄρχεσθαι ἰέναι ἐπὶ τὴν πατρῴαν ἑστίαν, ἄρξοντα μετ' ἰσχύος, ὅπλοις κεκοσμημένης. Rhetorum more rem tractavit Aeschines. Quod si Vogelius in vita Philippi (Biographie grofser und berühmter Männer des Alterthums Vol. II. p. 235.) affirmat, eorum qui in pugna Chaeronensi ceciderint, liberos Athenienses publicis impensis educandos curasse, hoc ex perperam intellecto Aeschinis loco haustum videtur. Hoc enim ipsum Aeschines Demostheni crimini vertit, quod non suppetias tulerit legi praestantissimae, sed orborum salutem suae ambitioni post habuerit.

νους, ἐκήρυττε τὸ κάλλιστον κήρυγμα καὶ προτρεπτικώτατον πρὸς ἀρετήν· ὅτι τούςδε τοὺς νεανίσκους, ὧν οἱ πατέρες ἐτελεύτησαν ἐν τῷ πολέμῳ, ἄνδρες ἀγαθοὶ γενόμενοι, μέχρι μὲν ἥβης ὁ δῆμος ἔτρεφε, νυνὶ δὲ καθοπλίσας τῇδε τῇ πανοπλίᾳ, ἀφίησιν ἀγαθῇ τύχῃ τρέπεσθαι ἐπὶ τὰ ἑαυτῶν, καὶ καλεῖ εἰς προεδρίαν. 48. τότε μὲν ταῦτ' ἐκήρυττεν, ἀλλ' οὐ νῦν, ἀλλὰ παραστησάμενος τὸν τῆς ὀρφανίας τοῖς παισὶν αἴτιον, τί ποτ' ἀνερεῖ ἢ τί φθέγξεται; καὶ γὰρ ἂν αὐτὰ διεξίῃ τὰ ἐκ τοῦ ψηφίσματος προστάγματα, ἀλλ' οὐ τό γ' ἐκ τῆς ἀληθείας αἰσχρὸν σιωπηθήσεται, ἀλλὰ τἀναντία δόξει τῇ τοῦ κήρυκος φωνῇ φθέγγεσθαι· ὅτι τόνδε τὸν ἄνδρα, εἰ δὴ καὶ οὗτος ἀνήρ, στεφανοῖ ὁ δῆμος ὁ Ἀθηναίων, ἀρετῆς ἕνεκα, τὸν κάκιστον, ἀνδραγαθίας ἕνεκα, τὸν ἄνανδρον καὶ λελοιπότα τὴν τάξιν. μὴ πρὸς τοῦ Διός, καὶ τῶν ἄλλων θεῶν, ἱκετεύω ὑμᾶς, ὦ Ἀθηναῖοι, μὴ τρόπαιον ἵστατε ἀφ' υμῶν αὐτῶν ἐν τῇ τοῦ Διονύσου

ἀγαθῇ τύχῃ] Est formula bene ominantis et precantis, ut aliquid bene cedat: quod felix faustumque sit, quod bene vertat. Xenophon Cyrop. IV, 5, 51. s. τούτους λαβὼν ποίει, ὅπως ἀριστόνησοι δοκεῖ εἶναι. δέχομαί τε, ἔφη, καὶ ἀγαθῇ τύχῃ ἡμεῖς τε ἱππεῖς γενοίμεθα, καὶ ὑμεῖς διέλοιτε τὰ κοινά.

καλεῖ εἰς προεδρίαν] Populum iis locum principem in theatro assignare ad spectandos ludos promulgat.

48. ἀλλ' οὐ τό γ' ἐκ της ἀληθείας αἰσχρὸν σιωπηθήσεται] Haec est apodosis, et ἀλλὰ vim habet affirmativam, in quo haesitare non oportebat Wolfium. Est enim frequens jam inde ab Homero. Inprimis hoc fit, quum protasis incipiat ab ἐπειδή, ut paullo post hoc ipso capite.

μὴ τρόπαιον ἵστατε ἀφ' ὑμῶν αὐτῶν] Negationem omittunt e h k l, cui repetitae saepe infensi erant librarii. Repetitionem, quae fortis est post quaedam interjecta, satis vindicavi ad Tim. 45. Pro ἀφ' nonnulli codd. supra scriptum habent καθ'. Vere F. A. Wolfius ad Leptin. p. 296. „Frequentissimus est, inquit, usus

ὀρχήστρᾳ, μηδ' αἱρεῖτε παρανοίας ἐναντίον τῶν Ἑλλήνων τὸν δῆμον τῶν Ἀθηναίων, μηδ' ὑπομιμνήσκετε τῶν ἀνιάτων καὶ ἀνηκέστων κακῶν τοὺς ταλαιπώρους Θηβαίους, οὓς φυγόντας διὰ τοῦτον, ὑποδέδεχθε τῇ πόλει, ὧν ἱερὰ καὶ τέκνα καὶ τάφους ἀπώλεσεν ἡ Δημοσθένους δωροδοκία, καὶ τὸ βασιλικὸν χρυσίον. ἀλλ' ἐπειδὴ τοῖς σώμασιν οὐ παρεγένεσθε, ἀλλὰ ταῖς γε διανοίαις ἀποβλέψατ' αὐτῶν εἰς τὰς συμφορὰς, καὶ νομίσατε ὁρᾶν ἁλισκομένην τὴν πόλιν, τειχῶν κατασκαφὰς, ἐμπρήσεις οἰκιῶν, ἀγομένας γυναῖκας καὶ παῖδας εἰς δουλείαν, πρεσβύτας ἀνθρώπους, πρεσβύτιδας γυναῖκας, ὀψὲ μεταμανθάνοντας τὴν ἐλευθερίαν, κλαίοντας, ἱκετεύοντας ὑμᾶς, ὀργιζομένους οὐ τοῖς τιμωρουμένοις, ἀλλὰ τοῖς τούτων αἰτίοις, ἐπισκήπτοντας μηδενὶ τρόπῳ τὸν τῆς Ἑλλάδος ἀλιτήριον στεφανοῦν, ἀλλὰ καὶ τὸν δαίμονα καὶ τὴν τύχην τὴν συμπαρακολου-

---

particulae ἀπὸ, ubi tropaei de populo positi mentio fit, fortasse inde ductus, quod armis tropaea ornari solebant, victo hosti detractis. Verum simpliciter quoque dicitur, τρόπαιον στῆσαί τινος vel κατά τινος."

μηδ' αἱρεῖτε παρανοίας - τὸν δῆμον] Αἱρεῖν cum accusativo personae et genitivo rei est, convincere aliquem vitii, criminis. Cf. Astium ad Plat. de Legg. VI, 9. Xenophon Memm. I, 2, 49. φάσκων κατὰ νόμον ἐξεῖναι παρανοίας ἑλόντι καὶ τὸν πατέρα δῆσαι. Aristoph. Nubb. 842. s.

οἴμοι· τί δράσω παραφρονοῦντος τοῦ πατρός;
πότερον παρανοίας αὐτὸν εἰσαγαγὼν ἕλω;

Accuratius etiam Plato de Legg. XI, 3. p. 928 c. πατέρας ὑπὸ νόσων ἢ γήρως διατιθεμένους αἰσχρῶς ἐξεῖναι παρανοίας γράφεσθαι.

ταῖς γε διανοίαις cet.] Hanc descriptionem et antiquos rhetores laudasse et Romanos oratores imitatos esse, non mirum. Per partes enim ita persequitur Thebanorum calamitates et miserias, ut etiam rudis animus commoveri et misericordia perfundi debeat. Cf. Muretum Varr. Lectt. VIII, 10., qui Ciceronem saepius hunc locum imitatum esse ostendit. Homericae imagines complures videntur obversatae esse Aeschinis animo.

θοῦσαν τῷ ἀνθρώπῳ φυλάξασθαι. οὔτε γὰρ πόλις, οὔτ' ἀνὴρ ἰδιώτης οὐδεὶς πώποτε καλῶς ἀπήλλαξε Δημοσθένει συμβούλῳ χρησάμενος. ὑμεῖς δ', ὦ Ἀθηναῖοι, οὐκ αἰσχύνεσθε, εἰ ἐπὶ μὲν τοὺς πορθμέας τοὺς εἰς Σαλαμῖνα πορθμεύοντας νόμον ἔθεσθε, ἐάν τις αὐτῶν ἄκων ἐν τῷ πόρῳ πλοῖον ἀνατρέψῃ, τούτῳ μὴ ἐξεῖναι πάλιν πορθμεῖ γενέσθαι, ἵνα μηδεὶς αὐτοσχεδιάζῃ εἰς τὰ τῶν Ἑλλήνων σώματα· τὸν δὲ τὴν Ἑλλάδα καὶ τὴν πόλιν ἄρδην ἀνατετροφότα, τοῦτον ἐάσετε πάλιν ἀπευθύνειν τὰ κοινά; 49. Ἵνα δ' εἴπω καὶ περὶ τοῦ τετάρτου καιροῦ, καὶ τῶν νυνὶ καθεστηκότων πραγμάτων, ἐκεῖνο ὑμᾶς ὑπομνῆσαι βούλομαι, ὅτι Δημοσθένης οὐ τὴν ἀπὸ στρατοπέδου μόνον τάξιν ἔλιπεν, ἀλλὰ

καλῶς ἀπήλλαξε] Ἀπαλλάττειν cum adverbio de exitu dicitur, qualem quis habuerit, quae ad finem fuerit sors. Καλῶς ἀπαλλάττειν prospera fortuna discedere, αἰσχρῶς ἀπαλλάττειν turpem exitum habere.

πορθμέας τοὺς εἰς Σαλαμῖνα πορθμεύοντας] Legem cognoscimus ex hoc nostro loco, quae facile fidem meretur, quoniam nautas Athenis Salamina vehentes cuncta, quae cursum in tam propinquum locum periculosum facere poterant, cognoscere et facile evitare oportebat, quum distantia locorum nonnisi διστάδιος esset.

ἵνα μηδεὶς αὐτοσχεδιάζῃ] Αὐτοσχεδιάζειν derivatur a σχεδία, quae, explicante Euripidis scholiasta ad Hec. 113., est ναῦς ἀκατασκεύαστος, ἀπὸ ξύλων μόνον ἀπερίττως συντεθειμένη. Hinc σχεδιάζειν tropice de verbis dicitur, quae temere effunduntur, et de factis, quae negligenter et inconsulto conficiuntur. Compositum αὐτοσχεδιάζειν item dicitur de temeritate quum dictorum tum factorum. Ἐρωτ., qui tribuitur Demostheni p. 1414. οὐ γὰρ αὐτοσχεδιάζειν, ἀλλ' ἐπίστασθαί σε δεῖ περὶ τῶν μεγίστων. Accurate de verbi significationibus exposuit Piersonus ad Moerin p. 46. s.

ἀνατετροφότα] Bekkerus ex d e f g k scripsit ἀνατετραφότα. Sed quum plurimi et boni codd. alteram lectionem habeant, eam retinui, motus iis, quae dixi ad Tim. 76, et re denuo discussa, ad singulorum scriptorum usum in hoc quoque maxime attendendum esse opinor.

καὶ τὴν ἐκ τῆς πόλεως, τριήρη προςλαβὼν ὑμῶν, καὶ τοὺς Ἕλληνας ἠργυρολόγησε. καταγαγούσης δὲ αὐτὸν εἰς τὴν πόλιν τῆς ἀπροςδοκήτου σωτηρίας, τοὺς μὲν πρώτους χρόνους ὑπότρομος ἦν ἄνθρωπος, καὶ παριὼν ἡμιθνὴς ἐπὶ τὸ βῆμα, εἰρηνοφύλακα ὑμᾶς ἐκέλευεν αὐτὸν χειροτονεῖν. ὑμεῖς δὲ κατὰ μὲν τοὺς πρώτους χρόνους, οὐδ' ἐπὶ τὰ ψηφίσματα εἰᾶτε τὸ Δημοσθένους ἐπιγράφειν ὄνομα, ἀλλὰ Ναυσικλεῖ τοῦτο προςετάττετε· νυνὶ δ' ἤδη καὶ στεφανοῦσθαι ἀξιοῖ. ἐπειδὴ δὲ ἐτελεύτησε μὲν Φίλιππος,

---

49. καὶ τὴν ἐκ τῆς πόλεως] Reiskio videtur aliquid deesse, cui non assentior. Idem, quod antecedenti membro, huic quoque aptum, τάξιν ἔλιπεν. Nempe dicitur λιπεῖν τὴν τάξιν ἐκ τῆς πόλεως, quoniam τοὺς Ἕλληνας ἠργυρολόγησε, quod minime erat ei mandatum, sed quod suo arbitrio faciebat. Ἀργυρολογεῖν est verbum proprium de iis, qui a sociis vel, ut vera dicamus, a tributariis praesertim insulis pecunias publico nomine colligerent. Br. — Ἔλιπε καὶ τὴν ἐκ τῆς πόλεως τάξιν, quatenus post cladem Chaeronensem, pericula sibi imminentia reformidans, populiscito perlato, quo' pecuniae a stipendiariis cogendae munus sibi demandaretur, (id quod, ut opinor, inest in verbis τριήρη προςλαβὼν ὑμῶν) hanc per caussam Athenis excesserat itaque stationem domi sibi, ut ceteris civibus, a republica commissam non magis tuitus erat, quam militarem apud Chaeroneam. Mox autem, quum propter insperatam urbis salutem, ipsi quoque nihil jam esset pertimescendum, propere redire cunctatus non est. Orellius.

εἰρηνοφύλακα] Hoc in invidiam nomen adhibuisse videtur Aeschines. Quum scilicet post pugnam Chaeronensem amentes quidam et temerarii instarent, non cedendum esse Philippo, Demosthenes, calamitatem patriae perspiciens, earum videtur partium fuisse, ut lenitati Philippi obtemperetur, et pax, civitati tam necessaria, fideliter servetur.

ἐπιγράφειν] Haec ita narrat Plutarchus in vita Demosth. p. 855. c. 21. τοῖς ψηφίσμασιν οὐχ ἑαυτὸν, ἀλλ' ἐν μέρει τῶν φίλων ἕκαστον ἐπέγραφεν, ἐξοιωνιζόμενος τὸν ἴδιον δαίμονα καὶ τὴν τύχην, ἕως αὖθις ἀνεθάῤῥησε, Φιλίππου τελευτήσαντος. Nausicles erat aequalis et familiaris Demostheni, populo gratus, saepius coronatus ob liberalitatem, qua erga rempublicam usus erat.

Ἀλέξανδρος δ' εἰς τὴν ἀρχὴν κατέστη, πάλιν αὖ τερατευόμενος, ἱερὰ μὲν ἱδρύσατο Παυσανίου, εἰς αἰτίαν δὲ εὐαγγελίων θυσίας τὴν βουλὴν κατέστησεν, ἐπωνυμίαν δ' Ἀλεξάνδρῳ Μαργίτην ἐτίθετο, ἀπετόλμα δὲ λέγειν, ὡς οὐ κινηθήσεται ἐκ Μακεδονίας. ἀγαπᾷν γὰρ αὐτὸν ἔφη ἐν Πέλλῃ περιπατοῦντα, καὶ τὰ σπλάγχνα φυλάττοντα. καὶ ταῦτα λέγειν ἔφη οὐκ εἰκάζων, ἀλλ' ἀκρι-

---

πάλιν αὖ τερατευόμενος] De verbo *τερατεύεσθαι* vide ad παραπρ. 14. *Πάλιν αὖ* familiaris est Atticis parallelismus. Componunt adeo triplex *αὖθις αὖ πάλιν*, ut Sophocles Philoct. 252., ubi vide Brunckium. Morem hunc nemo copiosius illustravit Henr. Stephano de dialecto Attica p. 69—74.

εὐαγγελίων θυσίας] *Εὐαγγέλια* laetus nuntius, eine freudige Nachricht (plerumque numero plurali) celebrabatur sacrificiis, quum praesertim res annuntiata gravioris erat momenti. Xenophon Hellen. I, 6, 36. *αὐτὸς δ' (Ἐτεόνικος) — ἔθυε τὰ εὐαγγέλια.* IV, 3, 14. *Ἀγησίλαος ἐβουθύτει ὡς εὐαγγέλια, καὶ πολλοῖς διέπεμπε τῶν τεθυμένων.* In hac re non segnis videtur fuisse Demosthenes; populus tamen ipse hoc modo suam laetitiam expressit, ut refert Plutarchus p. 855. c. 22. *εὐθὺς οὖν ἔθυον τὰ εὐαγγέλια, καὶ στεφανοῦν ἐψηφίσαντο Παυσανίαν. Εἰς αἰτίαν δὲ βουλὴν κατέστησε,* culpam senatui contraxit. Br. — E Plutarchi loco praeterea discimus, quid sibi velint ista: *ἱερὰ μὲν ἱδρύσατο Παυσανίου*, scil. statuam coronatam (cum ara fortasse) poni jussit tyrannicidae, ut tanquam alter Harmodius atque Aristogiton sancte coleretur. Orellius.

Μαργίτην] Harpocration: *ἐκάλουν δὲ τοὺς ἀνοήτους οὕτω διὰ τὸν εἰς Ὅμηρον ἀναφερόμενον Μαργίτην, ὅπερ ποίημα Καλλίμαχος θαυμάζειν ἔοικεν.* Erat poëma satyricum in stultum, inscriptum *Μαργίτης ὃς πολλὰ μὲν ἠπίστατο ἔργα, κακῶς δ' ἠπίστατο πάντα.* Br. Ceterum *Μαργείτης* habet Aristot. Poet. c. 4. pag. 7. ed. Graefenhan. quem vide. O.

τὰ σπλάγχνα φυλάττοντα] Interpretum plerique hoc intelligunt eum exta victimarum diligenter inspicere, ut divinare possit, num audendum sit: quod erat timidi et nimium superstitiosi, ejus instar, de quo narrat Polybius L. VII, 3. *Κατὰ δὲ τὸν ἐθισμὸν ἐκ τῶν τυθέντων ἱερείων προσενεχθέντων αὐτῷ τῶν σπλάγχνων, δεξάμενος*

βῶς εἰδὼς, ὅτι αἵματός ἐστιν ἡ ἀρετὴ ὠνία, αὐτὸς οὐκ ἔχων αἷμα, καὶ θεωρῶν τὸν Ἀλέξανδρον οὐκ ἐκ τῆς Ἀλεξάνδρου φύσεως, ἀλλ' ἐκ τῆς ἑαυτοῦ ἀνανδρίας. ἤδη δ' ἐψηφισμένων Θετταλῶν ἐπιστρατεύειν ἐπὶ τὴν ὑμετέραν πόλιν, καὶ τοῦ νεανίσκου τὸ πρῶτον παροξυνθέντος εἰκότως, ἐπειδὴ περὶ Θήβας ἦν τὸ στρατόπεδον, πρεσβευτὴς

εἰς τὰς χεῖρας καὶ βραχὺ διακλίνας, ἤρετο προτείνων τοῖς περὶ τὸν Ἄρατον, τί δοκεῖ τὰ ἱερεῖα σημαίνειν; πότερον ἐκχωρεῖν τῆς ἄκρας ἢ κρατεῖν αὐτῆς; ὁ μὲν οὖν Δημήτριος — εἰ μὲν μάντεως φρένας ἔχεις, ἔφη, ἐκχωρεῖν τὴν ταχίστην· εἰ δὲ βασιλέως πραγματικοῦ, τηρεῖν αὐτὴν, ἵνα μὴ, νῦν ἀφεὶς, ζητῇς ἕτερον ἐπιτήδειον καιρόν. Wolfius tamen vertit vitam conservare, isque nactus est defensorem Gisb. Wakefield. Sylvv. Critt. P. IV. p. 214., qui vertit Alexandrum de sua vita timere, inprimis ob sequens ὅτι αἵματός ἐστιν ἡ ἀρετὴ ὠνία. Nempe σπλάγχνα tropice dicuntur res amatissima, pretiosissima, ut Latinorum viscera. Est tamen hic tropus poesi aptior quam prosae. Alteram igitur interpretationem ut simpliciorem praefero. — Nisi forte Graeca phrasis ita sit accipienda, ut apud nos pinguiter in sermone vulgari dicitur: zu seinen Kutteln Sorge tragen. Br. — Simili quidem adagio populari Itali quoque dicunt: salvar la pancia pei fichi. Sed praestare utique videtur prior interpretatio, quum istius, quam h. l. hebraismo septuagintavirali forsitan decepti quaerunt, significationis aliud apud probatos scriptores exemplum vix reperiatur. Neque obstat τοῦ αἵματος in seqq. mentio; nam qui exta curiosius consulit, vel hoc ipso satis testatur, quantum sibi caveat, ne in acie sanguinem effundat. Orellius.

αἵματος] Videtur Aeschines ludere in duplici αἵματος significatione. Quum enim dicit, αἵματος εἶναι ὠνίαν ἀρετήν, hoc vult: „qui veram fortitudinem sectetur, huic non esse vulnera reformidanda, nec mortem ipsam, idemque est, quod cum Menandro Fragm. Ὀργῆς I. v. 2. dici possit θανάτου γὰρ ἐστιν ὁ ἀγών. In illo autem αὐτὸς οὐκ ἔχων αἷμα, αἷμα significat robur. A copia enim et sinceritate sanguinis pendere robur arbitrabantur veteres. Exposuit hoc P. Victorius Varr. Lectt. XXV, 21. Eadem significatio etiam in priore membro locum habere possit; sed praefero alterum.

τοῦ νεανίσκου] Erat quidem Alexander eo tempore, quo hoc accidebat., Ol. CXI, 2., annos natus duo et viginti.

ὑφ' ὑμῶν χειροτονηθεὶς, ἀποδρὰς ἐκ μέσου τοῦ Κιθαιρῶνος ἧκεν ὑποστρέψας, οὔτ' ἐν εἰρήνῃ, οὔτ' ἐν πολέμῳ χρήσιμον ἑαυτὸν παρέχων. καὶ, τὸ πάντων δεινότατον, ὑμεῖς μὲν τοῦτον οὐ προὔδοτε, οὐδ' εἰάσατε κριθῆναι ἐν τῷ τῶν Ἑλλήνων συνεδρίῳ· οὗτος δ' ὑμᾶς νῦν προδέδωκεν, εἴπερ ἀληθῆ ἐστιν, ἃ λέγεται· 50. ὡς γάρ φασιν οἱ πάραλοι, καὶ οἱ πρεσβεύσαντες πρὸς Ἀλέξανδρον (καὶ τὸ πρᾶγμα

ἀποδρὰς ἐκ μέσου τοῦ Κιθαιρῶνος] Commentarii loco est, quod narrat Plutarchus in v. Demosth. p. 856. c. 23. *ἐπεὶ μέντοι τὰ περὶ τὴν χώραν θέμενος* (pacatis rebus domesticis) *παρῆν αὐτὸς* (ὁ *Ἀλέξανδρος*) *εἰς τὴν Βοιωτίαν, ἐξεκέκοπτο μὲν ἡ θρασύτης τῶν Ἀθηναίων, καὶ ὁ Δημοσθένης ἀπεσβήκει. Θηβαῖοι δὲ, προδοθέντες ὑπ' ἐκείνων, ἠγωνίσαντο καθ' αὐτοὺς, καὶ τὴν πόλιν ἀπέβαλον. Θορύβου δὲ μεγάλου τοὺς Ἀθηναίους περιεστῶτος, ἀπεστάλη μὲν ὁ Δημοσθένης αἱρεθεὶς μεθ' ἑτέρων πρεσβευτὴς πρὸς Ἀλέξανδρον, δείσας δὲ τὴν ὀργὴν, ἐκ τοῦ Κιθαιρῶνος ἀνεχώρησεν ὀπίσω, καὶ τὴν πρεσβείαν ἀφῆκεν. Εὐθὺς ὁ Ἀλέξανδρος ἐξῄτει τῶν δημαγωγῶν δέκα μὲν, ὡς Ἰδομενεὺς καὶ Δοῦρις εἰρήκασιν· ὀκτὼ δ', ὡς οἱ πλεῖστοι καὶ δοκιμώτατοι τῶν συγγραφέων, ἐν οἷς δημαγωγοῖς καὶ Δημοσθένης ἦν. Ὅτε καὶ τὸν περὶ τῶν προβάτων λόγον ὁ Δημοσθένης, ὡς τοῖς λύκοις τοὺς κύνας ἐξέδωκε, διηγησάμενος, αὑτὸν μὲν εἴκασε καὶ τοὺς σὺν αὑτῷ κυσὶν ὑπὲρ τοῦ δήμου μαχομένοις, Ἀλέξανδρον δὲ, τὸν Μακεδόνα, μονόλυκον προσηγόρευσεν. Ἔτι δ', Ὥς, ἔφη, τοὺς ἐμπόρους ὁρῶμεν, ὅταν ἐν τρυβλίῳ δεῖγμα περιφέρωσι, δι' ὀλίγων πυρῶν τοὺς πολλοὺς πιπράσκοντας, οὕτως ἐν ἡμῖν λανθάνετε πάντας αὐτοὺς συνεκδιδόντες. Ταῦτα μὲν οὖν Ἀριστόβουλος ὁ Κασσανδρεὺς ἱστόρηκε. Βουλευθέντων δὲ Ἀθηναίων καὶ διαπορούντων, ὁ Δημάδης λαβὼν πέντε τάλαντα παρὰ τῶν ἀνδρῶν, ὡμολόγησε πρεσβεύσειν καὶ δεήσεσθαι τοῦ βασιλέως ὑπὲρ αὐτῶν. — — ἔπεισε δ' οὖν καὶ παρῃτήσατο τοὺς ἄνδρας ὁ Δημάδης, καὶ διήλλαξεν αὐτῷ τὴν πόλιν.*

ἐν τῷ τῶν Ἑλλήνων συνεδρίῳ] Videtur hic senatus Amphictyonum intelligendus. Certe ex Demosthenis oratione *περὶ στεφ.* p. 331. intelligitur, adversarios ipsi *ἀμφικτυονικὰς δίκας* intendisse, et hoc ipsum nomen *τὸ κοινὸν τῶν Ἑλλήνων συνέδριον* sibi in dogmate tribuit hoc consilium. Atque etiam Alexander, quum tradi sibi postularet demagogos, id videtur voluisse, ut caussam apud Amphictyonas dicerent. Cf. etiam Tittmann über den Bund der Amphiktyonen p. 62. et p. 128. s.

50. *οἱ πάραλοι*] Sic dedit Bekkerus ex a g m n. Vulgo *παρα-*

εἰκότως πιστεύεται) ἔστι τις Ἀριστίων Πλαταϊκὸς, ὁ τοῦ Ἀριστοβούλου τοῦ φαρμακοπώλου υἱὸς, εἴ τις ἄρα καὶ ὑμῶν γινώσκει. οὗτός ποτε ὁ νεανίσκος, ἑτέρων τὴν ὄψιν διαφέρων γενόμενος, ᾤκησε πολὺν χρόνον ἐν τῇ Δημοσθένους οἰκίᾳ, ὅ τι δὲ πράττων ἢ πάσχων, ἀμφίβολος ἡ αἰτία, καὶ τὸ πρᾶγμα οὐδαμῶς εὔσχημον ἐμοὶ λέγειν. οὗτος, ὡς ἐγὼ ἀκούω, ἠγνοημένος ὅστις ποτέ ἐστι καὶ πῶς βεβιωκὼς, τὸν Ἀλέξανδρον ὑποτρέχει καὶ πλησιάζει ἐκείνῳ. διὰ τούτου γράμματα πέμψας ὡς

λιοι. Harpocration: Πάραλος μία τῶν παρ' Ἀθηναίων πρὸς τὰς δημοσίας χρείας διαπεμπομένων τριηρῶν ἀπό τινος ἥρωος τοὔνομα λαβοῦσα Παράλου· οἱ δὲ ἐπιβεβηκότες αὐτῆς ἐκαλοῦντο πάραλοι, οἳ διὰ ταύτην τὴν ὑπηρεσίαν τέτταράς τε ὀβολοὺς ἐλάμβανον, καὶ τὸ πλεῖστον μέρος ἐνιαυτοῦ οἴκοι ἔμενον· ἄλλα τέ τινα ὑπῆρχον αὐτοῖς παρὰ τῆς πόλεως. — Quod H. Valesius in Harpocratione restituendum censet παράλιοι, eo non opus. Non enim solum antiqui Grammatici hoc nomen ita scribunt (Pollux VIII, 116. οὐ μόνον πάραλοι ἀλλὰ καὶ παραλῖται), verum etiam apud optimos scriptores hanc formam codd. constanter tenent, ut apud Thucyd. VIII, 73. et 74. Quod autem Reiskius opinatur, παράλους hic locum non habere, sed scribendum esse Φαρσάλιοι, in eo nimirum fallitur. Nam legati in ea, quae πάραλος nominabatur, navi vehebantur et vectores appellabantur πάραλοι. — Ceterum Graecum est idioma constructio ὥς φασιν — ἐστι cet. Nos quidem diceremus φασὶν εἶναι cet.

Ἀριστίων] Harpocration s. v. οὗτος Σάμιος μέν ἐστιν ἢ Πλαταιεὺς, ὡς Δίυλλός φησιν, ἐκ μειρακυλλίου ἑταῖρος Δημοσθένους. ἐπέμφθη δὲ ὑπ' αὐτοῦ πρὸς Ἡφαιστίωνα ἕνεκα διαλλαγῶν, ὥς φησι Μαρσύας ἐν πέμπτῳ τῶν περὶ Ἀλέξανδρον.

διαφέρων γενόμενος] Hanc participiorum conjunctionem satis vindicavi supra c. 3. ad κλέπται ὄντες ἐξελεγχόμενοι. Marklandus pro γενόμενος conjicit πενόμενος. d omittit plane γενόμενος.

τὸν Ἀλέξανδρον ὑποτρέχει] Ὑποτρέχειν τινὰ tropice dicitur se insinuare, sich bey einem einschleichen. Plato de Legg. XI, 6. p. 923 b. ἐάν τις ὑμᾶς θωπείαις ὑποδραμὼν — πείθῃ, ubi vide Astium.

Ἀλέξανδρον ἄδειάν τινα εὕρηται καὶ διαλλαγάς, καὶ πολλὴν κολακείαν πεποίηται. ἐκεῖθεν δὲ θεωρήσατε, ὡς ὅμοιόν ἐστι τὸ πρᾶγμα τῇ αἰτίᾳ. εἰ γάρ τι τούτων ἐφρόνει Δημοσθένης καὶ πολεμικῶς εἶχεν, ὥσπερ καὶ φησὶ, πρὸς Ἀλέξανδρον, τρεῖς αὐτῷ καιροὶ κάλλιστοι παραγεγόνασιν, ὧν οὐδενὶ φαίνεται κεχρημένος. 51. εἷς μὲν ὁ πρῶτος, ὅτ' εἰς τὴν ἀρχὴν οὐ πάλαι καθεστηκὼς Ἀλέξανδρος, ἀκατασκεύων αὐτῷ τῶν ἰδίων ὄντων, εἰς τὴν Ἀσίαν διέβη, ἤκμαζε δ' ὁ τῶν Περσῶν βασιλεὺς καὶ ναυσὶ καὶ χρήμασι καὶ πεζῇ στρατιᾷ, ἄσμενος δ' ἂν ὑμᾶς εἰς τὴν συμμαχίαν προσεδέξατο διὰ τοὺς ἐπιφερομένους ἑαυτῷ κινδύνους. εἶπάς τινα ἐνταῦθα λόγον Δημόσθενες, ἢ

πολλὴν κολακείαν] Haud displicet lectio Codd. e h k l. πολλὴν τὴν κολακείαν. O.

καιροὶ κάλλιστοι] Infensum scilicet regi animum factis probandi, non verbis.

51. ἀκατασκεύων αὐτῷ τῶν ἰδίων ὄντων] Sic dedit Bekkerus ex h k l pro vulgato ἀπαρασκεύων. Atque ἀκατασκεύων multo aptius videtur de turbato ordine rerum domesticarum, quum contra ἀπαρασκεύων defectum significet copiarum, quas paratas esse oportet adversus externorum conatus. Idem est, quod Alexander ipse apud Lucianum Dialogg. mort. XII sic exprimit, τεταραγμένην ἀρχὴν κατέσχον. De his tamen haec narrat Diodor. Sic. XVII, 2. μετὰ ταῦτα τῆς ταφῆς τοῦ γονέως τὴν ἐνδεχομένην ἐπιμέλειαν ποιησάμενος κατέστησε τὰ περὶ τὴν ἀρχὴν πολὺ κάλλιον ἢ πάντες προσεδόκησαν. Νέος γὰρ ὢν παντελῶς καὶ διὰ τὴν ἡλικίαν ὑπό τινων καταφρονούμενος πρῶτον μὲν τὰ πλήθη οἰκείοις λόγοις περιεστήσατο πρὸς εὔνοιαν. ἔφη γὰρ ὄνομα μόνον διηλλάχθαι βασιλέως, τὰς δὲ πράξεις χειρισθήσεσθαι μηδὲν καταδεέστερον τῆς ἐπὶ τοῦ πατρὸς γενομένης οἰκονομίας. ἔπειτα ταῖς πρεσβείαις χρηματίσας φιλανθρώπως παρεκάλεσε τοὺς Ἕλληνας τηρεῖν τὴν πρὸς αὐτὸν πατροπαράδοτον εὔνοιαν. τῶν δὲ στρατιωτῶν πυκνὰς ποιησάμενος ἐξοπλισίας, μελέτας τε καὶ γυμνασίας πολεμικὰς, εὐπειθῆ κατεσκεύασε τὴν δύναμιν. Hinc apparet hunc καιρὸν non tam opportunum fuisse, quam eum fingit Aeschines.

εἰς τὴν Ἀσίαν διέβη] Primum non Alexander ipse trajecit, sed Attalum et Parmenionem misit. Quae vero quis per alios fieri jubebat, ea non solum poëtae, sed ipsi etiam oratores tribuunt jubenti.

ἔγραψας τι ψήφισμα; βούλει σε θῶ φοβηθῆναι, καὶ χρήσασθαι τῷ ἑαυτοῦ τρόπῳ; καίτοι ῥητορικὴν δειλίαν δημόσιος καιρὸς οὐκ ἀναμένει. ἀλλ᾽ ἐπειδὴ πάσῃ τῇ δυνάμει Δαρεῖος καταβεβήκει, ὁ δ᾽ Ἀλέξανδρος ἦν ἀπειλημμένος ἐν Κιλικίᾳ, πάντων ἐνδεής, ὡς ἔφησθα σύ, αὐτίκα δὲ μάλα ἤμελλεν, ὡς ἦν ὁ παρὰ σοῦ λόγος, συμπατηθήσεσθαι ὑπὸ τῆς Περσικῆς ἵππου, τὴν δὲ σὴν ἀηδίαν ἡ πόλις οὐκ ἐχώρει, καὶ τὰς ἐπιστολάς, ἃς ἐξηρτημένος ἐκ τῶν δακτύλων περιῄεις, ἐπιδεικνύων τισὶ τὸ ἐμὸν πρόσωπον,

---

τῷ ἑαυτοῦ τρόπῳ] Bekkerus ex e et ex correctione in g h, dedit σεαυτοῦ. Ego vero plurimorum codicum lectionem retinui, iis rationibus motus, quas exposui ad Tim. 34.

ῥητορικὴν δειλίαν οὐκ ἀναμένει] Non exspectat, dum oratoris ignavia in animositatem ascenderit.

ἀπειλημμένος ἐν Κιλικίᾳ] Videtur intelligere pugnam ad Issum, Ciliciae urbem. Ibi ingentem Darius exercitum et acerrimum equitatum congregaverat, et anceps aliquamdiu erat proelium. Magna utrarumque partium strages acciderat; ipse etiam Alexander, cum suis Darium ipsum ejusque satellites petens, in femine sauciabatur. Tandem Persae, quum regem ipsum trepidantem videbant, fugam capessunt. Sed quum fuga per angustias locorum fieret, mutuo semet ipsi concursu proculcant et interficiunt. De hac pugna Alexander apud Lucianum Diall. mort. XII, 5. τὸ ἀπὸ τούτων, Μίνως, ἴστε ὅσους ὑμῖν νεκροὺς ἐπὶ μιᾶς ἡμέρας κατέπεμψα. φησὶ γοῦν ὁ πορθμεὺς μὴ διαρκέσαι αὐτῷ τότε τὸ σκάφος, ἀλλὰ σχεδίας διαπηξαμένους τοὺς πολλοὺς αὐτῶν διαπλεῦσαι. Pugnam describit Diodorus Sic. XVII, 33. s.

ἐξηρτημένος ἐκ τῶν δακτύλων] Epistolas cum gravitate ubique ostentans, quasi a locupletibus testibus, rerum conditionis optime gnaris et certum eventum indicantibus profectas. Br. — Ceterum in verbo ἐξηρτημένος cogita de vinculis, quibus Graeci colligare solebant epistolas (Corn. Nep. Paus. 4) Haec igitur digitis circum volvebat Demosthenes. Orellius.

περιῄεις] Lobeck. ad Phryn. p. 237. hanc formam dubiam esse existimat. Sed quum eam Mss. omnes teneant, quumque eadem pluribus locis ab omnibus codd. firmetur, cum Bekkero eam retinui, quum praesertim similes formae, in quibus Atticos θα apposuisse

ὡς ἐκπεπληγμένου καὶ ἀθυμοῦντος, καὶ χρυσόκερων ἀποκαλῶν, καὶ κατεστέφθαι φάσκων, εἴ τι πταῖσμα συμβήσεται Ἀλεξάνδρῳ, οὐδ' ἐνταῦθα ἔπραξας οὐδὲν, ἀλλ' εἴς τινα καιρὸν ἀνεβάλλου κάλλιω. ὑπερβὰς τοίνυν ἅπαντα ταῦτα, ὑπὲρ τῶν νυνὶ καθεστηκότων λέξω. 52. Λακεδαιμόνιοι μὲν καὶ τὸ ξενικὸν ἐπέτυχον μάχῃ, καὶ διέφθειραν τοὺς περὶ Κόῤῥαγον στρατιώτας· Ἠλεῖοι δ' αὐτοῖς συμ-

---

affirmant Grammatici, apud oratores inveniantur sine lectionis varietate, ut ᾔδεις Isaeus p. 42. εἰ ᾔδεις ἐξ αὐτῆς. ib. ἢ οὐκ ᾔδεις ἐν τῇ ἐπιδικασίᾳ. Antiphon p. 712. εὖ γὰρ ᾔδεις.

χρυσόκερων - - κατεστέφθαι] Per haec vocabula significatur victima immolationi consecrata, quippe cujus cornibus aurum inducebatur, et capiti corona imponebatur. Vide interpretes, inprimis Grotium, ad Acta Apost. XIV, 13. Huc pertinet oraculum, quod dedit Pythia consulenti de expeditione in regem Persarum Philippo, servatum a Diodor. Sic. XVI, 91., et Pausania VIII, 7, 4.

ἔστεπται μὲν ὁ ταῦρος, ἔχει τέλος, ἔστιν ὁ θύσων.

τοῦτο μὲν δὴ οὐ μετὰ πολὺ ἐδήλωσεν οὐκ ἐς τὸν Μῆδον, ἀλλὰ ἐς αὐτὸν ἔχον Φίλιππον. — Ceterum adjectiva in quibus κέρας est ultima pars compositionis, terminationem apud Atticos habent, ως, ως, ων vel ω.

52. Λακεδαιμόνιοι] De hac re locuti sumus supra c. 42. in nota ad vocabulum ὁμηρεύσοντες. Per τὸ ξενικὸν, quo nomine non solent sociorum copiae auxiliares significari, hic forsitan intelliguntur copiae, quae post pugnam ad Issum amissam ex Persarum exercitu, ipso instigante Dario, in Peloponnesum trajecerant, seditionem hujus regionis adjuturae. Primum Λακεδαιμόνιοι ἐπέτυχον μάχῃ, prospere res iis cessit (ἐπιτυγχάνειν significatione bona interdum appropinquat ad notionem verbi εὐτυχεῖν v. c. Thucyd. 3, 32.) et pessum dederunt milites, quorum dux erat Κόῤῥαγος. Dubitant interpretes, utrum Κόρραγος sit nomen ducis, an castelli, nec antiquitas unum alterumve decernit. Mihi videtur ducis nomen esse, quum addita sit praepositio περί. Nam στρατιῶται περί τινα sunt copiae sub alicujus imperio militantes. Corragus autem is fuisse videtur, qui primum Antipatri agmen ducebat.

Ἠλεῖοι] Occidentalem Peloponnesi regionem incolebant fructuosam, populus parum bellicosus, qui calliditate suam plerumque salutem et utilitatem quaerebat.

μετεβάλοντο καὶ Ἀχαιοὶ πάντες, πλὴν Πελληναίων, καὶ Ἀρκαδία πᾶσα, πλὴν Μεγάλης πόλεως, αὕτη δὲ ἐπολιορκεῖτο, καὶ καθ' ἑκάστην ἡμέραν ἐπίδοξος ἦν ἁλῶναι· ὁ δὲ Ἀλέξανδρος ἔξω τῆς ἄρκτου καὶ τῆς οἰκουμένης ὀλίγου δεῖν πάσης μεθειστήκει· ὁ δὲ Ἀντίπατρος πολὺν χρόνον συνῆγε στρατόπεδον, τὸ δ' ἐσόμενον ἄδηλον ἦν. ἐνταῦθ' ἡμῖν ἀπόδειξιν ποίησαι, ὦ Δημόσθενες, τί ποτ' ἦν ἃ ἔπραξας, καὶ τί ποτ' ἦν ἃ ἔλεγες, καί, εἰ βούλει, παραχωρῶ σοι τοῦ βήματος, ἕως ἂν εἴπῃς. ἐπειδὴ δὲ σιγᾷς, ὅτι μὲν ἀπορεῖς, συγγνώμην ἔχω σοι· ἃ δὲ τότ' ἔλεγες, ἐγὼ νυνὶ λέξω. οὐ μέμνησθε αὐτοῦ τὰ μιαρὰ καὶ ἀπίθανα

Ἀχαιοὶ πάντες] Vide supra c. 29. — Πελλήνη est duodecim Achajae urbium ea, quae maxime versus Orientem sita erat, in saxo praerupto, incolarum paucitate laborans. Stephanus quidem Byz. s. v. Πελλήνη, ἡ μὲν Πελλήνη, inquit, δύο μόνα ἐθνικὰ ἔχει, τὸ εἰς ευς καὶ τὸ διὰ τοῦ ιος; et notandum, in h esse Πελληνέων. Utraque forma a librariis etiam confusa apud Diodorum Sic. XV, 68., ubi Wesselingius Πελληνέων praefert, atque etiam Pausanias eos ubique appellat Πελληνέας praeter II, 12, 2., ubi est Πελληναίων.

τῆς Μεγάλης πόλεως] Pausanias L. IX, 14, 2. Ἐπαμινώνδας τὰ πολίσματα τῶν Ἀρκάδων, ὁπόσα εἶχεν ἀσθενῶς, καταλῦσαι πείσας πάσας τοὺς Ἀρκάδας, πατρίδα ἐν κοινῷ σφισὶν ᾤκισεν, ἣ Μεγάλη καὶ ἐς ἡμᾶς ἔτι καλεῖται πόλις. Hoc evenit post pugnam Leuctricam in molestiam et aegritudinem Lacedaemoniorum, Ol. CII, 2., et exstructio erat perfecta Ol. CIII, 1. Quadraginta κῶμαι eo congregatae fuerunt, teste Diodoro XV, 75. Μεγάλη πόλις Atticis vocatur, seriori tempore nomen Μεγαλόπολις usurpari coepit, ut hanc urbem nominant Romani.

ἐπίδοξος ἦν ἁλῶναι] Constructionem aoristi post ἐπίδοξος vindicavi ad Tim. 13.

τί ποτ' ἦν, ἃ ἔπραξας]· Marklandus conjecit ὅ, quo non opus. Nam post τί plerumque ponitur pluralis relativi, quamquam in eo saepe offenderunt viri docti et librarii, et vel τίνα reposuerunt vel ὅ. Vide Heindorf. ad Plat. Gorgiam §. 136.

ῥήματα, ἃ πῶς ποθ' ὑμεῖς, ὦ σιδήρεοι, ἐκαρτερεῖτε ἀκροώμενοι; ὅτ' ἔφη παρελθών· ἀμπελουργοῦσί τινες τὴν πόλιν, ἀνατετμήκασί τινες τὰ κλήματα τοῦ δήμου, ὑποτέτμηται τὰ νεῦρα τῶν πραγμάτων, φορμορῥαφούμεθα ἐπὶ τὰ στενά, τινὲς πρῶτον ὥςπερ

ὦ σιδήρεοι] Phrynichus p. 207. χρύσεα, ἀργύρεα, χάλκεα, κυάνεα, ταῦτα Ἰακά. Χρὴ οὖν λέγειν χρυσᾶ, ἀργυρᾶ, χαλκᾶ, κυανᾶ τὸν Ἀττικίζοντα. Noster quidem ubique habet χρυσοῦς et χαλκοῦς contracta. Σιδήρεος nonnisi hoc loco legitur; et quum Mss. constanter formam solutam teneant, eam mutare non ausim. Quamquam etiam in scriptoribus aliis vulgo obtinuit soluta, bonorum vero codicum auctoritate nunc contracta restituta est, ut apud Xenophontem Cyrop. VI, 1, 30. Atque etiam Lobeck ad Phryn. ut Bekkerus in Aeschinis editionibus vulgatam lectionem toleravit. Ceterum σιδήρεος, ut Latinorum ferreus, hominem significat durum, qui nulla re afficitur, cuncta tolerat.

ἀμπελουργοῦσι] Tropus, cujus nullum in Demosthenis scriptis vestigium, a cultura vitium desumtus. Et ἀμπελουργεῖν totum quidem vinitoris opus complectitur, cujus tamen praecipua laus versatur in sollertia vitium putandarum, ἐν τῷ ἀνατέμνειν τὰ κλήματα. Qui vero inscite opus hoc perficiunt, incrementum impediunt vitium, aut eas prorsus destruunt. Sic tropice haec verba intelligenda: „Sunt, qui barbarorum vinitorum instar civitatem putandam susceperunt, et ut illi bonos vitium palmites dissecant, sic hi fortes cives et patriae amantes exterminant et deiiciunt.“

ὑποτέτμηται τὰ νεῦρα τῶν πραγμάτων] Pollux L. II, 234. Νεῦρα δέ ἐστι σύνδεσμος ὀστῶν, εἴκων τε καὶ τεινόμενος, ἀφ' ὧν καὶ νευραὶ κέκληνται. τεμνεύουσι δὲ μάλιστα τὰς κώλων συγκάμψεις τε καὶ ἐκτάσεις καὶ τὰς τῶν ἄρθρων συγκαμπάς. ὅθεν καὶ τὸ ἰσχύειν νεῦρα ἔχειν λέγουσι καὶ τὰ χρήματα τῶν πραγμάτων νεῦρα Δημοσθένης φησίν, ὡς ἐκνενευρισμένοι καὶ περιῃρημένοι χρήματα καὶ συμμάχους. Olynth. III. p. 27. R. Cf. interpretes ad Gregor. Corinth. p. 53. Fortasse nostrum locum respexit Cicero de lege Agrar. c. Rull. 33, 91. fin. nervis urbis omnibus exsectis urbem ipsam solutam et debilem relinqunnt.

φορμορῥαφούμεθα ἐπὶ τὰ στενά, τινὲς πρῶτον ὥςπερ τὰς βελόνας διείρουσι] Hunc locum depravatissimum esse clamant viri docti. Difficilem esse ejus interpretationem verum est, nec mirum, quum locutiones hae tanquam portenta loquendi afferantur. Φορμός ἐστι

τὰς βελόνας διείρουσι. ταῦτα δὲ τί ἐστιν, ὦ κίναδος;

[illegible] Bekkeri Anecd. p. [illegible] [illegible] [illegible] [illegible] Quamvis [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] Digna tamen, quae legatur Wunderlichii annotatio. „Primum in tanto dissensu virorum doctorum in explanandis vel emendandis his verbis [illegible] mirabor, non quid [illegible], si libri non consentirent. Sed loci, manifesto depravati, verba sunt certissima ἐπὶ τὰ στενά τινες ὥσπερ τὰς βελόνας ne lectori taedium afferrent. lectionem libri Bern. ἐπὶ τὰ στενά ὥσπερ τὰς βελόνας, articulo de conjectura addito, recipere non dubitavi, e vestigiis tamen scripturae Ms. Heinsii ἐπὶ τὰ στενά τινες ὥσπερ aliquid ante ὥσπερ excidisse conjiciens. Nobis in mentem venit legendum esse, τινὰς ἐπὶ τὰ στενά τῶν Ἀθηναίων ὥσπερ τὰς βελόνας διείρουσι. Emendationem vero probare non potui, quam vir acuti ingenii Toup Emendat. in Suid. t. 2. p. 356. ut verisimam proponere sibi visus est, τινὲς τῶν γλωττῶν ὥσπερ τὰς βελόνας διείρουσι, quibus indicat rhetor, ut Toupii verbis rem explicem, omnia sibi imposita esse et in angustias coacta, poplices succisos, manus constrictas, linguae denique usum et potestatem praereptam. Ut enim alia, quae me male habent, praetermittam, Demosthenes ita disserendo non de se, sed de populo A. viribus ad bella gerenda necessariis exhausto, quem tamen nonnulli ad arma stimulent, agere putandus est. Qui vero linguae usus in bellis tolerandis? Nec id agendum esse censeo, ut ἐπιλυ illa, quam et verba reliqua Demostheni tributa arguunt, et supra §. 61. acerbe vituperaverat Aeschines, conjectando molliatur vel tollatur. Wunderlich.

ὦ κίναδος] Κίναδος et κίναδος, quae frequenter in Mss. confunduntur, et genere et significatione sunt diversa. Κίναδος, ὁ, ἀρσενικῶς ὁ κόπρος· κίναδος τὸ οἰδήπερ ὡς θηρίον τι, οὗ τὸ δέρμα εἰς περικεφαλαίας κατασκευὴν εὐκολείτο. Σικελιῶται δὲ τὸ κίναδος ἀλώπεκα ἐκάλουν. Unus locus, ex quo affertur κίναδος genere masculino. Theocr. V, 25.

καὶ πῶς, ὦ κίναδ', οὐ τάδε γ' ἔσσεται ἐξ ἴσου ἄμμιν; videtur corruptus et scribendum uno vocabulo κινάδευ, tanquam vocabulum

ῥήματα ἢ θαύματα; καὶ πάλιν, ὅτε κύκλῳ περιδινῶν σεαυτὸν ἐπὶ τοῦ βήματος, ἔλεγες ὡς ἀντιπράττων Ἀλεξάνδρῳ· ὁμολογῶ τὰ Λακωνικὰ συστήσασθαι, ὁμολογῶ Θετταλοὺς καὶ Πεῤῥαιβοὺς ἀφιστάναι· σὺ γὰρ ἂν κώμην ἀποστήσαις; σὺ γὰρ ἂν προςέλθοις μὴ ὅτι πρὸς πόλιν, ἀλλὰ πρὸς οἰκίαν, ὅπου κίνδυνος πρόςεστιν; ἀλλ' εἰ μέν που χρήματα ἀναλίσκεται, προςκαθιζήσει, πρᾶξιν δὲ ἀνδρὸς οὐ πράξεις· ἐὰν δ' αὐτόματόν

Doricum. Graecis est convicium usitatum: *improbe*, *vafer*. Referre huc licebit, quae Demosthenes ipse *περὶ στεφ.* p. 301. s. dicit *ὁ τὸν ῥήτορα βουλόμενος δικαίως ἐξετάζειν καὶ μὴ συκοφαντεῖν, οὐκ ἄν, οἷα σὺ νῦν ἔλεγες, τοιαῦτα κατηγόρει, παραδείγματα πλάττων, καὶ ῥήματα καὶ σχήματα μιμούμενος.*

ῥήματα ἢ θαύματα] Hunc locum respiciens Cicero *Orat.* 8, 26. *In hoc ipso (Demosthene) inquit, diligenter examinante verborum omnium pondera, reprehendit Aeschines quaedam et exagitat illudensque dira, odiosa, intolerabilia esse dicit. Quin etiam quaerit ab ipso, quum quidem eum belluam appellet, utrum illa verba an portenta sint, ut Aeschini ne Demosthenes quidem videatur Attice dicere.*

Πεῤῥαιβοὺς] Cf. notam ad *παραπρ.* 32.

μὴ ὅτι] Cf. ad Tim. 49.

προςκαθιζήσει] Sic dedit Bekkerus ex Lobeckii conjectura ad Phryn. p. 269., quo ducit k, qui habet *προςκαθίζεις εἰς* et e h l, qui habent *προςκαθίζειν εἰς*. Vulgo *προςκαθεσθήσῃ*. de quo Phrynichus, *ἐκαθέσθη, καθεσθεὶς, καθεσθήσομαι καὶ τὰ πληθυντικὰ καθεσθήσονται ἔκφυλα. Λέγε οὖν καθέζομαι καθεδοῦμαι, καθεδεῖται, καθεδοῦνται, καθεδούμενος.* — Ceterum tropus, qui est in *καθίζεσθαι*, sumtus a palaestra et athletarum certamine, quum duobus certantibus assidebat tertius, *ἔφεδρος*, qui certamine duorum finito, cum victore congrediebatur, cujus vires priori certamine erant defatigatae. Possis igitur vertere *insidiari*.

ἐὰν δ' αὐτόματόν τι συμβῇ] *Συμβαίνει* vocabulum est medium et nexu aut addita determinatione in bonam vel malam partem definitur. *Ἄν τι συμβαίνῃ* absolute positum est euphemismus, similis Latino *si quid acciderit*. Hoc loco *αὐτόματον* indicat, sensu bono accipiendum: *si quid casu, forte fortuna contigerit.*

τι συμβῇ, προςποιήσῃ, καὶ σαυτὸν ἐπὶ τὸ γεγενημένον ἐπιγράψεις; ἂν δ' ἔλθῃ φόβος τις, ἀποδράσῃ· ἐὰν δὲ θαῤῥήσωμεν, δωρεὰς αἰτήσεις, καὶ χρυσοῖς στεφάνοις στεφανοῦσθαι; 53. Ναί· ἀλλὰ δημοτικός ἐστιν. ἐὰν μὲν τοίνυν πρὸς τὴν εὐφημίαν αὐτοῦ τῶν λόγων ἀποβλέπητε, ἐξαπατηθήσεσθε, ὥςπερ καὶ πρότερον· ἐὰν δ' εἰς τὴν φύσιν καὶ τὴν ἀλήθειαν, οὐκ ἐξαπατηθήσεσθε. ἐκείνως δὲ ἀπολάβετε παρ' αὐτοῦ τὸν λόγον. ἐγὼ μὲν μεθ' ὑμῶν λογιοῦμαι, ἃ δεῖ ὑπάρξαι ἐν τῇ φύσει τῷ δημοτικῷ ἀνδρὶ καὶ σώφρονι, καὶ πάλιν ἀντιθήσω, ποῖόν τινα εἰκός ἐστιν εἶναι τὸν ὀλιγαρχικὸν ἄνθρωπον καὶ φαῦλον. ὑμεῖς δ' ἀντιθέντες ἑκάτερα τούτων, θεωρήσατ' αὐτὸν, μὴ ὁποτέρου τοῦ λόγου, ἀλλ' ὁποτέρου τοῦ βίου ἐστίν. οἶμαι

προςποιήσῃ] Προςποιεῖσθαι est in genere sibi acquirere, quod non oportet, sibi arrogare. Xenophon Anab. II, 1, 7. καὶ γὰρ προςεποιεῖτο ἐπιστήμων εἶναι τῶν περὶ τὰς τάξεις τε καὶ ὁπλομαχίαν: cum qua saepe conjuncta est vel simulandi vel mentiendi significatio.

σαυτὸν ἐπὶ τὸ γεγενημένον ἐπιγράψεις] Ἐπιγράφειν ἐπὶ phrasis est propria eorum, qui honoris caussa nomina inscribunt in donaria; hinc tropica significatio eadem, quam explicuimus ad verbum προςποιεῖσθαι.

δωρεὰς αἰτήσεις καὶ χρυσοῖς στεφάνοις στεφανοῦσθαι] e h k l, ἀξιώσεις στεφανοῦσθαι. Librarii videntur offendisse in constructionis variatione, quum αἰτήσεις primo constructum sit cum accusativo substantivi, dein cum infinitivo verbi. Sed interdum sic antiqui. Aeschylus Agam. 1413. s.

Νῦν μὲν δικάζεις ἐκ πόλεως φυγὴν ἐμοὶ
καὶ μῖσος ἐχθρῶν δημόθρους τ' ἀρὰς ἔχειν. Vide ad παραπρ. 38.

53. φαῦλον] Ut δημοτικῷ ἀνδρὶ explicativum σώφρονι addidit, sic τὸν ὀλιγαρχικὸν explicat per φαῦλον, qui idem est cum κακῷ, δολίῳ. Ut enim οἱ ὀλιγαρχικοὶ ex natura rei proni sunt ad superbiam et importunitatem, sic Atheniensibus, δημοκρατίας ne dicam ὀχλοκρατίας studiosissimis, ὀλιγαρχικὸς et φαῦλος idem erat.

τοίνυν ἅπαντας ἂν ὑμᾶς ὁμολογήσειν τάδε δεῖν ὑπάρξαι τῷ δημοτικῷ. πρῶτον μὲν, ἐλεύθερον αὐτὸν εἶναι καὶ πρὸς πατρὸς καὶ πρὸς μητρός· ἵνα μὴ διὰ τὴν περὶ τὸ γένος ἀτυχίαν δυσμενὴς ᾖ τοῖς νόμοις, οἳ σώζουσι τὴν δημοκρατίαν. δεύτερον δ᾽, ἀπὸ τῶν προγόνων εὐεργεσίαν τινὰ αὐτῷ πρὸς τὸν δῆμον ὑπάρχειν, ἤ, τό γ᾽ ἀναγκαιότατον, μηδεμίαν ἔχθραν· ἵνα μὴ βοηθῶν τοῖς τῶν προγόνων ἀτυχήμασι κακῶς ἐπιχειρῇ ποιεῖν τὴν πόλιν. τρίτον, σώφρονα καὶ μέτριον χρὴ πεφυκέναι αὐτὸν πρὸς τὴν καθ᾽ ἡμέραν δίαιταν· ὅπως μὴ διὰ τὴν ἀσέλγειαν τῆς δαπάνης δωροδοκῇ κατὰ τοῦ δήμου. τέταρτον, εὐγνώμονα καὶ δυνατὸν εἰπεῖν. καλὸν γὰρ τὴν μὲν διάνοιαν προαιρεῖσθαι τὰ βέλτιστα, τὴν δὲ παιδείαν τὴν τοῦ ῥήτορος καὶ τὸν λόγον πείθειν τοὺς ἀκούοντας· εἰ δὲ μή, τήν γ᾽ εὐγνωμοσύνην ἀεὶ προτακτέον τοῦ λόγου. πέμπτον, ἀνδρεῖον εἶναι τὴν

ἅπαντας ἂν ὑμᾶς ὁμολογήσειν] Bekkerus dedit *ὁμολογῆσαι* ex e h k l. Nos quidem *ἂν* cum futuro vindicavimus jam ad *παραπρ.* c. 3. Hic autem *ἂν* jungendum cum *ἅπαντας* ad mitigandam generis notionem, ut observavi ad Tim. 59.

βοηθῶν τοῖς τῶν προγόνων ἀτυχήμασι] Vindicans ea, quae, ut opinatur, injuste passi sunt majores. De vi *τοῦ βοηθεῖν* vide supra ad c. 31.

διὰ τὴν ἀσέλγειαν τῆς δαπάνης] *Ἀσέλγεια* h. l. improba facta et lasciviam, ut caussam profusionis notat, per profusionem ex lascivia natam, per sumtus libidinosos.

τὴν μὲν διάνοιαν προαιρεῖσθαι τὰ βέλτιστα cet.] Perperam Taylor Lambinum secutus ut subjectum infinitivi supplet *τὸν ῥήτορα*, et *διάνοιαν* pro *κατὰ διάνοιαν* dictum putat. Immo *τὴν διάνοιαν* est subjectum; *τὴν διάνοιαν τοῦ ῥήτορος*, consilium, probitatem oratoris, ut in altero membro *τὴν δὲ παιδείαν τοῦ ῥήτορος καὶ λόγον*, quae per *ἓν διὰ δυοῖν* dicta sunt *τὸν πεπαιδευμένον λόγον* vel *τὸν λόγον πεπαιδευμένου ῥήτορος*, ein gebildeter Vortrag, der Vortrag eines gebildeten Redners.

ψυχήν· ἵνα μὴ παρὰ τὰ δεινὰ καὶ τοὺς κινδύνους ἐγκαταλίπῃ τὸν δῆμον. τὸν δ' ὀλιγαρχικὸν, πάντα δεῖ τἀναντία τούτων ἔχειν. τί γὰρ δεῖ πάλιν διεξιέναι; σκέψασθε δὴ, τί τούτων ὑπάρχει Δημοσθένει· ὁ δὲ λογισμὸς ἔστω ἐπὶ πᾶσι δικαίοις. 54. Τούτῳ πατὴρ μὲν ἦν Δημοσθένης ὁ Παιανιεὺς, ἀνὴρ ἐλεύθερος· οὐ γὰρ δεῖ ψεύδεσθαι· τὰ δὲ ἀπὸ τῆς μητρὸς καὶ τοῦ πάππου τοῦ πρὸς μητρὸς, πῶς ἔχει αὐτῷ; ἐγὼ φράσω. Γύλων ἦν ἐκ Κεραμέων. οὗτος προδοὺς τοῖς πολεμίοις Νύμφαιον τὸ ἐν Πόντῳ, τότε

παρὰ τὰ δεινὰ καὶ τοὺς κινδύνους] Παρὰ cum accusativo saepe temporis notionem habet et singula rerum momenta exprimit vertique potest **in ipsis** periculis, momento periculi. Subtiliter praepositionem illustravit Buttmannus in ind. Orat. in Mid. s. v.

54. ἐπὶ πᾶσι δικαίοις] Toupius conjecit δίκαιος, ut adjectivum referatur ad λογισμὸς, quo non opus. Nam ἐπὶ saepe **conditionem** notat et ἐπὶ πᾶσι δικαίοις est sub ea conditione, ut veritas plane observetur. Demosthenes κατὰ Στεφ. ψευδομ. B. p. 1134. ἣν ἂν ἐγγυήσῃ ἐπὶ δικαίοις δάμαρτα εἶναι πατήρ, conditione ea, ut fruatur juribus legitimae uxoris.

πῶς ἔχει αὐτῷ; ἐγὼ φράσω] Interrogandi signum, quod vulgo deest, apposuit Bekkerus. Et gravior quidem est ista separatio enuntiationum. Hoc inprimis faciendum, quum responsio sit ἐγὼ φράσω, ἐγὼ λέξω, ἐγὼ ἐρῶ, ἐγὼ διδάξω: quod solet esse affectantis gravitatis, ut monuit Wyttenbach. ad Plutarchi Morr. p. 94. Oxon. Infra 65. τίς οὖν ἀποδέδεικται λόγος ἀνδρὶ δικαίῳ συνηγόρῳ καὶ σώφρονι; 67. τίς οὖν ἐστιν ἀποτροπὴ τῶν τοιούτων λόγων; ἐγὼ ἐρῶ. Demosthenes περὶ στεφ. p. 233. τί δὲ τοῦτ' ἠδύνατο, ὦ ἄνδρες Ἀθηναῖοι; ἐγὼ διδάξω.

ἐκ Κεραμέων] Harpocration: Κεραμεῖς, δῆμός ἐστι φυλῆς τῆς Ἀκαμαντίδος, ὥς φησι Διόδωρος. Φησὶ δὲ Φιλόχορος ἐν τῇ τρίτῃ, εἰληφέναι τούτους τοὔνομα ἀπὸ τῆς κεραμευτικῆς τέχνης, καὶ τοῦ θύειν Κεράμῳ τινὶ ἥρωι. Fortasse duplex erat δῆμος hoc nomine appellatus, ut duo erant Κεραμεικοί, alter intra urbem, alter extra eam, ubi sepeliebantur et celebrabantur ii, qui in bello ceciderant.

Νύμφαιον τὸ ἐν Πόντῳ] Stephanus Byz. s. v. Νύμφαιον, πόλις Ταυρική (urbs Chersonesi Tauricae) μεταξὺ Παντικαπαίου τῆς μητροπόλεως καὶ Θεοδοσίας, ὥς φησι Στράβων. Locus Strabonis, quem respicit, est L. VII, 4, 4. p. 309. Cas. Παντικάπαιον ἡ μη-

τῆς πόλεως ἐχούσης τὸ χωρίον τοῦτο, φυγὰς ἀπ᾽ εἰςαγγελίας ἐκ τῆς πόλεως ἐγένετο, θανάτου καταγνωσθέντος αὐτοῦ, τὴν κρίσιν οὐχ ὑπομείνας, καὶ ἀφικνεῖται εἰς Βόςπορον, κἀκεῖ λαμβάνει δωρεὰν παρὰ τῶν τυράννων τοὺς ὠνομασμένους Κήπους, καὶ γαμεῖ γυναῖκα πλουσίαν μὲν, νὴ Δία, καὶ χρυσίον ἐπιφερομένην πολὺ, Σκύθιν δὲ τὸ γένος. ἐξ

τρόπολίς ἐστιν ἱδρυμένη ἐπὶ τῷ στόματι τῆς λίμνης τῆς Μαιώτιδος· Ἔστι δὲ τὸ μεταξὺ τῆς Θεοδοσίας καὶ τοῦ Παντικαπαίου στάδιοι περὶ πεντακοσίους καὶ τριάκοντα. Χώρα πᾶσα σιτοφόρος, κώμας ἔχουσα καὶ πόλιν εὐλίμενον τὸ Νύμφαιον καλούμενον. Harpocration s. v. addit: Κρατερὸς δὲ ἐν ἐννάτῃ τῶν Ψηφισμάτων φησὶν, ὅτι Ἀθηναίοις τὸ Νύμφαιον ἐτέλει τάλαντον.

φυγὰς - ἐγένετο - τὴν δίκην οὐχ ὑπομείνας] Nempe reorum cuique licebat ἐν αὐτῇ τῇ δίκῃ e patria excedere; sin vero accusator persisteret in accusatione et judicium reum condemnaret, φυγὰς ἐγένετο ὁ τὴν δίκην οὐχ ὑπομείνας i. e. numquam ei redire in patriam licebat.

εἰς Βόςπορον] Βόςπορος urbs Ponti ad fretum lacus Maeotidis, quod in Pontum Euxinum ducit. Non diversam esse hanc urbem a Panticapaeo ostendit Fr. A. Wolfius ad Demosth. Leptin. p. 255.

παρὰ τῶν τυράννων] Chersonesus Taurica ἐμοναρχεῖτο πολὺν χρόνον ὑπὸ δυναστῶν τῶν περὶ Λεύκωνα (Cf. Demosthenis Lept. p. 466. R. § 25. et F. A. Wolfium p. 249. ss.) καὶ Σάγαυρον καὶ Παιρισάδην· αὕτη τε καὶ αἱ πλησιόχωροι κατοικίαι πᾶσαι, αἱ περὶ τὸ στόμα τῆς Μαιώτιδος ἑκατέρωθεν μέχρι Παιρισάδου, τοῦ Μιθριδάτῃ παραδόντος τὴν ἀρχήν. Ἐκαλοῦντο δὲ τύραννοι, καίπερ οἱ πλείους ἐπιεικεῖς γεγονότες, ἀρξάμενοι ἀπὸ Παιρισάδου καὶ Λεύκωνος. Strabo VII, 4, 4. Br. — Omnem horum regulorum seriem nuperrime pertexuit St. Allais l'Art de vérifier les dates avant l'ère Chrétienne. Paris 1819. T. 3. p. 28. O.

τοὺς ὠνομασμένους Κήπους] Harpocration: Κῆποι (ut recte Valesius rescribit pro Κῆπος) πόλις ἐστὶ κατὰ Βόςπορον. Diodorus Sic. XX, 24. φυγὼν εἰς τοὺς καλουμένους Κήπους. Urbs erat haud exigua, ab hortis amoenis appellata, Milesiorum colonia. Harduinus ad Plinium Hist. Nat. VI., 6.

χρυσίον ἐπιφερομένην πολὺ] Medium ἐπιφέρεσθαι interdum adhibetur de uxore, quae affert dotem, ut hoc loco. Lysias περὶ τῶν Ἀριστοφ. χρημ. p. 621. τὴν ἐμὴν μητέρα ἔλαβεν οὐδὲν ἐπιφερομένην, quod p. 623. dicitur ἄνευ χρημάτων ἔγημε. Hinc patet, minime opus esse contra libros cum Wolfio scribere εἰςφερομένην.

ἧς γίνονται αὐτῷ θυγατέρες δύο, ἃς ἐκεῖνος δεῦρο μετὰ πολλῶν χρημάτων ἀποστείλας, συνῴκισε τὴν μὲν ἑτέραν ὅτῳ δήποτε, ἵνα μὴ πολλοῖς ἀπεχθάνωμαι, τὴν δὲ ἑτέραν ἔγημε, παριδὼν τοὺς τῆς πόλεως νόμους, Δημοσθένης ὁ Παιανιεύς· ἐξ ἧς ἡμῖν ὁ περίεργος καὶ συκοφάντης γεγένηται Δημοσθένης. οὐκοῦν ἀπὸ μὲν τοῦ πάππου τοῦ πρὸς μητρὸς, πολέμιος ἂν εἴη τῷ δήμῳ· (θάνατον γὰρ αὐτοῦ τῶν προγόνων κατέγνωτε·) τὰ δὲ ἀπὸ τῆς μητρὸς Σκύθης, βάρβαρος ἑλληνίζων τῇ φωνῇ. ὅθεν καὶ τὴν πονηρίαν οὐκ ἐπιχώριός ἐστι. 55. περὶ δὲ τὴν καθ' ἡμέραν δίαιταν, τίς ἐστιν; ἐκ τριηράρχου λογογράφος ἀνεφάνη, τὰ πατρῷα

ὅτῳ δήποτε] Nonnemini, cujus nomen non afferam. Ejus tamen nomen cognoscimus ex ipso Demosthene κατὰ Ἀφόβου Α p. 818. Δημοχάρης δὲ ὁ Λευκονεὺς, ὁ τὴν τηθίδα τὴν ἐμὴν ἔχων p. 836. Δημοχάρης, ἔχων τὴν ἀδελφὴν τῆς ἐμῆς μητρὸς, θυγατέρα δὲ Γύλωνος. Quae de eo ex antiquitate narrantur, collegit Ruhnkenius ad Rutil. Lupum p. 7. ss. Scripsit orationes aliquot et historiam rerum.

παριδὼν τοὺς τῆς πόλεως νόμους] Quae jubebant γαμεῖν ἀστήν; et ἀστῆς tantum uxoris liberi erant γνήσιοι. Mulieres enim peregrinae inhonestae atque meretrices habebantur. Pollux III, 21. γνήσιος (υἱὸς) ὁ ἐκ γυναικὸς ἀστῆς καὶ γαμετῆς. Habemus legem severam apud auctorem orationis Demosthenicae κατὰ Νεαίρας p. 1363. ἐὰν δέ τις ἐκδιδῷ ξένην γυναῖκα ἀνδρὶ Ἀθηναίῳ ὡς ἑαυτῷ προσήκουσαν, ἄτιμος ἔστω, καὶ ἡ οὐσία αὐτοῦ δημοσία ἔστω, καὶ τοῦ ἑλόντος τὸ τρίτον μέρος. Alia lex huc pertinens, quae ostendit, qua severitate cuncta ad hoc genus pertinentia tractaverint, legitur ibidem p. 1350. ἐὰν δὲ ξένος ἀστῇ συνοικῇ τέχνῃ ᾗ μηχανῇ ᾑτινιοῦν, γραφέσθω πρὸς τοὺς θεσμοθέτας Ἀθηναίων ὁ βουλόμενος, οἷς ἔξεστιν. ἐὰν δε ἁλῷ, πεπράσθω καὶ αὐτὸς καὶ ἡ οὐσία αὐτοῦ· καὶ τὸ τρίτον μέρος ἔστω τοῦ ἑλόντος.

τῶν προγόνων] Pluralis positus est ratione sententiae. Proprie unus respicitur avus Gylon.

55. λογογράφος - ἀνεπήδησεν ἐπὶ τὸ βῆμα] Λογογράφου notionem dedimus ad Tim. 38., tum quidem ratione discriminis inter λογογράφον et λογοποιόν. H. l. oppositio est inter λογογράφον et τὸν εἰς τὸ βῆμα ἀναβαίνοντα, ut hyperbolicum ἀναπηδᾷν vulgari vocabulo exprimam. Λογογράφος igitur etiam hic est caussidicus, qui orationes

καταγελάστως προέμενος. ἄπιστος δὲ καὶ περὶ ταῦτα δόξας εἶναι, καὶ τοὺς λόγους ἐκφέρων τοῖς ἀντιδίκοις, ἀνεπήδησεν ἐπὶ τὸ βῆμα. πλεῖστον δ' ἐκ τῆς πολιτείας εἰληφὼς ἀργύριον, ἐλάχιστα περιεποιήσατο. νῦν μέντοι τὸ βασιλικὸν χρυσίον ἐπικέκλυκε τὴν δαπάνην αὐτοῦ. ἔσται δ' οὐδὲ τοῦθ' ἱκανόν· οὐδεὶς γὰρ πώποτε πλοῦτος τρόπου πονηροῦ περιεγένετο. καί, τὸ κεφάλαιον, τὸν βίον οὐκ ἐκ τῶν ἰδίων προσόδων πορίζεται, ἀλλ' ἐκ τῶν ὑμετέρων κινδύνων. περὶ δ' εὐγνωμοσύνην καὶ λόγου δύναμιν, πῶς πέφυκε; δεινῶς λέγειν, κακῶς βιῶναι. οὕτω γὰρ κέχρηται καὶ τῷ ἑαυτοῦ σώματι καὶ παιδοποιΐᾳ, ὥςτε με μὴ βούλεσθαι λέγειν, ἃ τούτῳ πέπρακται. ἤδη γάρ ποτε εἶδον μισηθέντας τοὺς τὰ τῶν πλησίον αἰσχρὰ λίαν σαφῶς λέγοντας. ἔπειτα, τί συμβαίνει τῇ πόλει; οἱ μὲν λόγοι καλοί, τὰ δ'.

---

judiciales vel ipse habet, vel scriptas aliis tradit; ὁ ἀναβαίνων ἐπὶ τὸ βῆμα, qui suggestum ascendit tamquam demagogus, orator et consultor in rebus publicis.

καταγελάστως] Hoc vocabulum saepe idem significat quod ἀσελγῶς. Tim. 13. ἀνθρώπου βδελυροῦ καὶ καταγελάστως μὲν κεχρημένου τῷ σώματι, αἰσχρῶς δὲ τὴν πατρῴαν οὐσίαν κατεδηδοκότος. ib. 19. πολλὰ μὲν οὖν καὶ ἄλλα καταγέλαστα πέπρακται Τιμάρχῳ. 31. fin. οὐ γὰρ ἔχω, τίνα τρόπον εὐφημότερον μνησθῶ τῶν σοι καταγελάστως πεπραγμένων ἔργων.

ἐπικέκλυκε] Hunc locum laudat Diodorus Sic. XVII, 4. ita: Νῦν μέντοι τὴν δαπάνην ἐπικέκλυκε τὸ βασιλικὸν χρυσίον. Et ἐπικλύζειν quidem tropice de pecuniis saepe dicitur, quae abunde affluunt, ut patet ex exemplis, quae attulit Wesselingius l. l. Suidas s. v. ἐπικλύσουσα· ἐπιδαψιλεύσασα. Τὸ βασιλικὸν χρυσίον est aurum a rege Persarum datum, ut Macedonum consiliis obsisteret.

πῶς πέφυκε; δεινῶς λέγειν, κακῶς βιῶναι] Brachylogice hoc dictum, ita intelligendum; πῶς πέφυκεν; οὕτως ὥςτε δεινῶς λέγειν, οἷος δεινῶς λέγειν.

παιδοποιΐα] Apparet Aeschinem ex obliquo Demostheni objicere procreationem liberorum ex ἑταίραις.

[illegible] 56. [illegible] ὑμεῖς αἰ[illegible] ἐπειδὴ δὲ [illegible], καὶ ὑμεῖς στεφανοῦτε. [illegible] ἐπιλαθέσθαι τοὺς περὶ τούτων κειμένους νόμους. ὁ γὰρ Σόλων ὁ παλαιὸς νομοθέτης, ἐν τοῖς αὐτοῖς ἐπιτιμίοις ᾤετο δεῖν ἐνέχεσθαι τὸν ἀστράτευτον, καὶ τὸν λελοιπότα τὴν τάξιν, καὶ τὸν δειλὸν ὁμοίως· εἰσὶ γὰρ καὶ δειλίας γραφαί. καίτοι θαυμάσειεν ἄν τις ὑμῶν, εἰ εἰσὶ φύσεως γραφαί. εἰσί. τίνος ἕνεκα; ἵνα ἕκαστος ἡμῶν τὰς ἐκ τῶν νόμων ζημίας φοβούμενος μᾶλλον, ἢ τοὺς πολεμίους, ἀμείνων ἀγωνιστὴς ὑπὲρ τῆς πατρίδος ὑπάρχῃ. ὁ μὲν τοίνυν νομοθέτης τὸν ἀστράτευτον, καὶ τὸν δειλόν, καὶ τὸν λιπόντα τὴν τάξιν, ἔξω τῶν περιρραντηρίων τῆς

---

56. ἀστράτευτον] [illegible] ad Demosthenis Olynth. III. p. [illegible] [illegible] Bekkerus [illegible], [illegible] affirmant, [illegible] esse, qui in catalogum militum relati, militiae se subtraxerant. [illegible] utraque significatione [illegible], et is, qui catalogo se [illegible] scribebat, et is, qui quamvis in catalogum relatus erat, [illegible] tamen militiae se subtraxerat; [illegible] autem [illegible] dicebatur in genere is, qui non militavit. Locus classicus est in Lysiae oratione [illegible], ut restitutus est in editione Bekkeri ex codicibus § 7. [illegible] Legis poena [illegible] Quid sint περιρραντήρια, expositum est ad Tim. 11. Quod si quis, unius trium horum criminum convictus, legi non obtemperabat, rapiebatur ab Undecimviris ad Heliastarum tribunal, ut ei poena aut multa irrogaretur. Demosthenes κατὰ Τιμοκρ. p. [illegible]33. — Ceterum ὁμοίως jungendum cum ἐνέχεσθαι.

[illegible]] Sic scripsit Bekkerus, nulla notata varietate. Quum id eum suorum codicum auctoritate fecisse existimem, id retinui. Vide supra c. 3.

ἀγορᾶς ἐξείργει, καὶ οὐκ ἐᾷ στεφανοῦσθαι, οὐδὲ εἰσιέναι εἰς τὰ ἱερὰ τὰ δημοτελῆ· σὺ δὲ τὸν ἀστεφάνωτον ἐκ τῶν νόμων κελεύεις ἡμᾶς στεφανοῦν, καὶ τῷ σαυτοῦ ψηφίσματι τὸν οὐ προσήκοντα εἰσκαλεῖς τοῖς τραγῳδοῖς εἰς τὴν ὀρχήστραν, εἰς τὸ ἱερὸν τοῦ Διονύσου, τὸν τὰ ἱερὰ διὰ δειλίαν προδεδωκότα; ἵνα δὲ μὴ ἀποπλανῶ ὑμᾶς ἀπὸ τῆς ὑποθέσεως, ἐκεῖνο μέμνησθε, ὅταν φῇ δημοτικὸς εἶναι, θεωρεῖτ' αὐτοῦ μὴ τὸν λόγον, ἀλλὰ τὸν βίον, καὶ σκοπεῖτε μὴ τίς φησὶν εἶναι, ἀλλὰ τίς ἐστιν. 57. Ἐπεὶ δὲ στεφάνων ἀνεμνήσθην καὶ δωρεῶν, ἕως ἔτι μέμνημαι, προλέγω ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ μὴ καταλύσετε τὰς ἀφθόνους ταύτας δωρεὰς, καὶ τοὺς εἰκῇ διδομένους στεφάνους, οὔθ' οἱ τιμώμενοι χάριν ὑμῖν εἴσονται, οὔτε τὰ τῆς πόλεως πράγματα ἐπανορθωθήσεται. τοὺς μὲν γὰρ πονηροὺς οὐ μή ποτε βελτίους ποιήσετε, τοὺς δὲ χρηστοὺς εἰς τὴν ἐσχάτην ἀθυμίαν ἐμβαλεῖτε. ὅτι δ' ἀληθῆ λέγω, μεγάλα τούτων οἶμαι σημεῖα δείξειν ὑμῖν. εἰ γάρ τις ὑμᾶς ἐρωτήσειε, πότερον ὑμῖν ἐνδοξοτέρα δοκεῖ ἡ πόλις εἶναι ἐπὶ τῶν νυνὶ καιρῶν, ἢ ἐπὶ τῶν προγόνων, ἅπαντες ἂν ὁμολογήσαιτε, ὅτι ἐπὶ τῶν προγόνων. ἄνδρες δὲ πότερον τότε ἀμείνους ἦσαν, ἢ νυνί; τότε μὲν διαφέροντες, νυνὶ δὲ πολλῷ καταδεέστεροι. δωρεαὶ δὲ καὶ στέφανοι καὶ κηρύγματα

τοῖς τραγῳδοῖς] Non erat, quod Reiskius ex Helmst. ἐν τοῖς τραγῳδοῖς rescriberet. Construotionem imitantur Latini. Cicero Philipp. I, 15, 36. Quid enim gladiatoribus clamores innumerabilium civium? ubi vide interpretes. Wunderlich. In ipsa Aeschinis παρανόμων γραφῇ, quam servavit Demosthenes περὶ στεφ. p. 243., legitur absolute τραγῳδοῖς καινοῖς.

τὰ ἱερὰ τὰ δημοτελῆ] Cf. ad Tim. 10.

57. δωρεαὶ δὲ cet.] Hoc idem auctor vitarum, quae sub Cornelii Nepotis nomine feruntur, Miltiad. VI, 2. Ut enim populi nostri honores quondam fuerunt rari et tenues, ob eamque caussam gloriosi, nunc autem effusi et obsoleti, sic olim apud Athenienses fuisse reperimus.

καὶ σιτήσεις ἐν πρυτανείῳ, πότερον τότε ἦσαν πλείους, ἢ νυνί; τότε μὲν ἦν σπάνια τὰ καλὰ παρ' ἡμῖν, καὶ τὸ τῆς ἀρετῆς ὄνομα τίμιον· νῦν δ' ἤδη καταπέπλυται τὸ πρᾶγμα, καὶ τὸ στεφανοῦν ἐξ ἔθους ἀλλ' οὐκ ἐκ προνοίας ποιεῖσθε. οὔκουν ἄτοπον οὑτωσὶ διαλογιζομένοις, τὰς μὲν δωρεὰς νῦν πλείους εἶναι, τὰ δὲ πράγματα τῆς πόλεως τότε μᾶλλον ἢ νῦν ἰσχύειν, καὶ τοὺς ἄνδρας νῦν μὲν χείρους εἶναι, τότε δὲ ἀμείνους; ἐγὼ δὲ τοῦθ' ὑμᾶς ἐπιχει-

---

σιτήσεις] Male Reiskius ex cod. Helmst. *σιτίσεις* scripsit: nam si de honore illo, civibus praeclare de republica meritis publice victum quotidianum praebendi sermo est, non adhibetur *σίτισις*. Verbum enim est *σιτεῖσθαι*, et poëtarum loca veritatem satis ostendunt. Aristoph. Ran. v. 96.

Σίτησιν αὐτὸν ἐν Πρυτανείῳ λαμβάνειν.

Thomas M. s. v. *πρυτανεῖον· τὸ κοινὸν ταμιεῖον, ὅθεν καὶ αἱ εὐεργεσίαι καὶ σιτήσεις ἐδίδοντο.* Infra c. 64. scriptura *σιτήσεις* a nemine tentabatur. Qui in perpetuum illo praemio ornati erant, *ἀείσιτοι* dicebantur, alii honoris caussa semel ad coenam in Prytaneo invitabantur, velut legati post administratam legationem domum reversi.

καταπέπλυται τὸ πρᾶγμα] Pollux VII, 38. *πλύνειν καὶ τὸ λοιδορεῖν καὶ* π λ ύ ν ο ν *με* π ο ι ε ῖ ς *ἡ κωμῳδία φησὶν, ἤγουν ὀνειδίζεις ἢ αἰσχύνεις. καὶ τὸ οὐδενὸς ἄξιόν τι ἀποπεφάνθαι ὁ ῥήτωρ ἔφη Αἰσχίνης.* Aristophanes Acharn. 379.

Διέβαλλε καὶ ψευδῆ κατεγλώττιζέ μου
κἀκυκλοβόρει, κἄπλυνεν.

ubi Scholiastes: *κατέμιξε τὴν κωμῳδιακὴν χάριν καὶ τὰ δικαστικὰ ῥήματα. τὸ μὲν γὰρ διαβάλλειν καὶ πλύνειν εἴποι τις ἂν περὶ τὰ δικαστήρια ταῦτα λέγειν δεῖν· τὸ δὲ κυκλοβορεῖν καὶ καταγλωττίζειν χαριεντίσματά ἐστι κωμῳδίας.*

τότε μᾶλλον ἢ νῦν ἰσχύειν] Si diversorum temporum particulae sunt in eadem enuntiatione, interque eas particula praesentis temporis, verbum plerumque in tempore praesenti ponitur. Demosthenes *περὶ στεφ.* p. 236. *ὑπὲρ οὗ καὶ τότε καὶ νῦν καὶ ἀεὶ ὁμολογῶ πολιτεύειν.* Br. — Bekkerus habet *τότε μᾶλλον ἰσχύειν*, omisso *ἢ νῦν*, quod tamen septem ejus codd. retinent. O.

ρήσω διδάσκειν, 58. οἴεσθ᾽ ἄν ποτε, ὦ Ἀθηναῖοι, ἐθελῆσαί τινα ἐπασκεῖν εἰς τὰ Ὀλύμπια, ἢ εἰς ἄλλον τινὰ τῶν στεφανιτῶν ἀγώνων, παγκράτιον ἢ καὶ ἄλλο τι τῶν βαρυτέρων ἄθλων, εἰ ὁ στέφανος ἐδίδοτο μὴ τῷ κρατίστῳ ἀλλὰ τῷ διαπραξαμένῳ; οὐδεὶς ἄν ποτ᾽ ἠθέλησεν ἐπασκεῖν. νῦν δ᾽, οἶμαι, διὰ τὸ σπάνιον καὶ τὸ περιμάχητον καὶ τὸ καλὸν καὶ τὸ ἀείμνηστον ἐκ τῆς νίκης, ἐθέλουσί τινες τὰ σώματα παρακαταθέμενοι καὶ τὰς μεγίστας ταλαιπωρίας ὑπομείναντες διακινδυνεύειν. ὑπολάβετε τοίνυν ὑμᾶς αὐτοὺς εἶναι ἀγωνοθέτας πολιτικῆς ἀρετῆς, κἀκεῖνο ἐκλογίσασθε, ὅτι ἐὰν μὲν τὰς δωρεὰς ὀλίγοις καὶ ἀξίοις καὶ κατὰ τοὺς νόμους διδῶτε, πολλοὺς ἀγωνιστὰς ἕξετε τῆς ἀρετῆς· ἐὰν δὲ τῷ βουλομένῳ καὶ τοῖς διαπραξαμένοις

58. Οἴεσθ᾽ ἄν ποτε] Vulgo Οἴεσθέ ποτε ἐθελῆσαι. Equidem defendi aoristum infinitivi post οἴεσθαι et similia Tim. 13. Quum autem ex b e h k l, ἄν addiderit Bekkerus, et Wunderlich moneat, agi de re, sumta tantum, quam noveris vere non evenisse nec esse, de hoc loco sententiam mutavi.

παγκράτιον] Teste Plutarcho Sympos. T. II. p. 638. μέμικται τὸ παγκράτιον ἔκ τε πυγμῆς καὶ πάλης. Quintilianus Institt. II, 8, 13. Si quis exercendi corpora peritus docendum pancratiasten susceperit, non pugno ferire vel calce tantum, aut nexus modo, atque in his certos aliquos docebit, sed omnia, quae sunt ejus certaminis. Pugno ferire et calce erat pugilum, nexus luctatorum (συμπλοκαί), utraque pancratiastarum. Verum quum pugiles caestibus dimicandi jus haberent, pancratiastis nonnisi pugnis non armatis videtur licuisse certare.

ἀγωνοθέται] Moeris quidem p. 97. ἀθλοθέτης, inquit, Ἀττικῶς, ἀγωνοθέτης Ἑλληνικῶς: in quo eum falli docuerunt interpretes. Atque etiam illud discrimen, quod nonnulli inter ἀθλοθέτας et ἀγωνοθέτας statuunt, illos μόνα γυμνικά, hos τὰ μουσικὰ ἀκροάματα direxisse, refutatur praestantissimorum scriptorum usu. Hesychius ἀγωνοθέτης, ἀρχῆς ὄνομα Ἀθήνησι. Pollux VIII, 94. ἀθλοθέται δέκα μὲν εἰσιν, εἷς κατὰ φυλήν. Latini munerarios dicunt, quo vocabulo primum Augustum usum esse testatur Quintilianus VIII, 3, 34., quum antea vel domini ludorum vel editores nominarentur.

χαρίζησθε, καὶ τὰς ἐπιεικεῖς φύσεις διαφθείρετε. ὅτι δὲ ὀρθῶς λέγω, ἔτι μικρῷ σαφέστερον ὑμᾶς βούλομαι διδάξαι. πότερον ὑμῖν ἀμείνων ἀνὴρ εἶναι δοκεῖ Θεμιστοκλῆς ὁ στρατηγήσας, ὅτ᾽ ἐν τῇ περὶ Σαλαμῖνα ναυμαχίᾳ τὸν Πέρσην ἐνικᾶτε, ἢ Δημοσθένης ὁ τὰς τάξεις λιπών; Μιλτιάδης δὲ ὁ τὴν ἐν Μαραθῶνι μάχην τοὺς βαρβάρους νικήσας, ἢ οὗτος; ἔτι δ᾽ οἱ ἀπὸ Φυλῆς φεύγοντα τὸν δῆμον καταγαγόντες; Ἀριστείδης δ᾽ ὁ δίκαιος ἐπικαλούμενος, ὁ τὴν ἀνόμοιον ἔχων ἐπωνυμίαν Δημοσθένει; ἀλλ᾽ ἔγωγε, μὰ τοὺς θεοὺς τοὺς Ὀλυμπίους, οὐδ᾽ ἐν ταῖς αὐταῖς ἡμέραις ἄξιον ἡγοῦμαι μεμνῆσθαι τοῦ θηρίου τούτου καὶ ἐκείνων τῶν ἀνδρῶν. 59. ἐπιδειξάτω τοίνυν Δημοσθένης ἐν τῷ αὑτοῦ λόγῳ, εἴ που γέγραπταί τινα τούτων τῶν ἀνδρῶν στεφανῶσαι. ἀχάριστος ἄρ᾽ ἦν ὁ δῆμος; οὐκ, ἀλλὰ μεγαλόφρων, κἀκεῖνοί γε οἱ μὴ τετιμημένοι, τῆς πόλεως ἄξιοι. οὐ γὰρ ᾤοντο δεῖν ἐν τοῖς γράμμασι

Ἀριστείδης δὲ] H. Wolfius Ἀριστείδης θ᾽. Perperam. Singula exempla in progressu enumerantur per particulam δὲ, nonnunquam cum indignatione. Demosthenes περὶ παραπρ. p. 398. ἀποδοῦναι δὲ καὶ Κερσοβλέπτῃ τοὺς ὅρκους, μὴ μετέχειν δὲ τῶν ἐν Ἀμφικτύοσιν, ἐπανορθώσεσθαι δὲ τὴν εἰρήνην.

59. κἀκεῖνοί γε οἱ μὴ τετιμημένοι τῆς πόλεως ἄξιοι] Taylor quum in Mead. reperisset ἀνάξιοι, conjecit: κἀκεῖνοι δὲ – ἀνάξιοι; „Quum Themistocles, inquit, Aristides, Thrasybulus, non coronarentur, aut civitas immemor et ingrata, aut illi imerentes erant. Ἀχάριστος ἄρ᾽ ἦν ὁ δῆμος; οὐκ· ἀλλὰ μεγαλόφρων. Id erat prius. Sequitur κἀκεῖνοι δὲ – οὐκ ἀνάξιοι; similiter cum interrogatione." — Tum ante γὰρ negativa responsio supplenda esset, de quo locuti sumus supra c. 6. οὐδὲ γὰρ πάτριόν ἐστιν αὐτοῖς. Non tamen videtur a lectione vulgata recedendum, quamvis ἀνάξιοι sit etiam in c d f. Nempe Aeschines in responsione utrosque conjungit et populum et cives de republica bene meritos, adjuncto suo alterutris praedicato. Populus enim erat μεγαλόφρων, qui non parva magnis virtutibus praemia convenire judicabat; et ii ipsi, qui non parvis praemiis honorabantur, digni erant generosa civitate. Particula autem γε huic

τιμᾶσθαι, ἀλλ' ἐν τῇ μνήμῃ τῶν εὖ πεπονθότων, ἣ ἀπ' ἐκείνου τοῦ χρόνου μέχρι τῆςδε τῆς ἡμέρας ἀθάνατος οὖσα διαμένει. δωρεὰς δὲ τίνας ἐλάμβανον; ὧν ἄξιόν ἐστι μνησθῆναι. ἦσάν τινες κατὰ τοὺς τότε καιροὺς, οἳ πολὺν πόνον ὑπομείναντες καὶ μεγάλους κινδύνους, ἐπὶ τῷ Στρυμόνι ποταμῷ ἐνίκων μαχόμενοι Μήδους. οὗτοι δεῦρο ἀφικόμενοι, τὸν δῆμον ᾔτησαν δωρεὰν, καὶ ἔδωκεν αὐτοῖς ὁ δῆμος τιμὰς μεγάλας, ὡς τότ' ἐδόκει, τρεῖς λιθίνους Ἑρμᾶς στῆσαι ἐν τῇ στοᾷ τῇ τῶν Ἑρμῶν, ἐφ' ᾧ τε μὴ ἐπιγράφειν τὰ ὀνόματα τὰ ἑαυτῶν, ἵνα μὴ τῶν στρατηγῶν ἀλλὰ τοῦ δήμου δοκῇ εἶναι τὸ ἐπίγραμμα. 60. ὅτι δ' ἀληθῆ λέγω, ἐξ αὐτῶν τῶν ποιημάτων εἴσεσθε. ἐπιγέγραπται γὰρ ἐπὶ μὲν τῷ πρώτῳ τῶν Ἑρμῶν·

---

loco aptissima. Est quod nos dicimus gerade, eben. Hanc particulae vim illustravit Hermannus ad Viger. p. 826.

ἐπὶ τῷ Στρυμόνι] Intelligitur Cimonis expeditio in Thracia, cujus regionis flumen erat Strymon, quo cum valido exercitu eum trajicere jubebant Athenienses, ut sociis urbibus auxilium ferret, et quae Persicis adhuc praesidiis tenebantur, in libertatem vindicaret. Primum igitur Ejonem (Ἠϊόνα) Persarum jugo adhuc pressam dolo cepit, et terra marique pari fortuna usus est. Exponit haec Diodorus Sic. XI, 60. sqq. Plutarch. Cim. p. 482. c. 7.—10., tetigit Thucydides L. I, 98. Contigerunt haec Ol. LXXVII, 3. et 4. Qui labores erant Atheniensibus tolerandi, perspicitur ex Herod. VII, 107.

ἐν τῇ στοᾷ τῇ τῶν Ἑρμῶν] Porticus quaedam in foro, de qua Harpocration s. v. Ἑρμαῖ. Μενεκλῆς ἢ Καλλίστρατος ἐν τῷ περὶ Ἀθηναίων γράφει ταυτί. Ἀπὸ τῆς ποικίλης καὶ τῆς τοῦ βασιλέως στοᾶς (vide intpp. ad Platonis Eutyphr. 1.) εἰσὶν οἱ Ἑρμαῖ καλούμενοι. διὰ γὰρ τὸ πολλοὺς κεῖσθαι καὶ ὑπὸ ἰδιωτῶν καὶ ὑπὸ ἀρχόντων ταύτην εἰληφέναι τὴν προςηγορίαν συμβέβηκεν. Praestantium virorum laudes aliaque epigrammata Hermis inscribi solebant, quorum tria exempla noster laudat c. seq. eademque habet Plutarchus in Cimone l. l. Demosthenes in Lept. §. 93. Wolf. ἔστι τοίνυν τις πρόχειρος λόγος, ὡς ἄρα καὶ παρ' ἡμῖν ἐπὶ τῶν προγόνων πολλὰ ἀγαθὰ εἰργασμένοι τινὲς οὐδενὸς ἠξιοῦντο τοιούτου, ἀλλ' ἀγαπητῶς ἐπιγράμματος ἐν τοῖς Ἑρμαῖς ἐτύγχανον.

Ἦν ἄρα κἀκεῖνοι ταλακάρδιοι, οἵ ποτε Μήδων
Παισὶν ἐπ' Ἠϊόνι, Στρυμόνος ἀμφὶ ῥοάς,
Λιμόν τ' αἴθωνα κρατερόν τ' ἐπάγοντες Ἄρηα,
Πρῶτοι δυσμενέων εὗρον ἀμηχανίην.

---

60. ἦν ἄρα cet. Tria haec epigrammata laudantur etiam in Anthologia Graeca T. IV. p. 148. ed. Jacobs inter ἐπιγράμματα ἀδέσποτα. — De ἦν hoc habet Choeroboscus p. 1293. Anecdd. Bekk. ἦν εὑρέθη καὶ πρώτου προσώπου πληθυντικοῦ, οἷον ἦν ἡμεῖς ἀντὶ τοῦ ἦμεν. εἰκότως οὖν καὶ τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν οὐκ ἐνήλλαξε πρὸς τὸ ἴδιον πρόσωπον, ἀλλ' ἐγίνετο καὶ αὐτὸ ἦν διὰ τοῦ η

τῆς δ' ἦν τρεῖς κεφαλαί

ἀντὶ τοῦ ἦσαν. ἵνα, ὥσπερ ἐν τοῖς ἑνικοῖς τὸ πρῶτον καὶ τρίτον ὁμοφωνοῦσι, τὸν αὐτὸν τρόπον καὶ ἐν τοῖς πληθυντικοῖς τὸ πρῶτον καὶ τρίτον ὁμοφωνῶσιν. Uberius haec ibi tractantur. e h k l glossam habent ἦσαν.

Λιμόν τ' αἴθωνα] Apud Homerum inter alia αἴθων est epitheton leonis, quod alii de fulvo colore, alii de ferocia et violentia interpretantur. Quicquid sit, αἴθω proprie habet calefaciendi notionem, et inde derivata est notio incendendi, urendi et similes. Λιμὸς αἴθων id est, quod in nonnullis regionibus ein brennender, in aliis ein grimmiger Hunger vocatur. Athenaeus L. X. c. IX. p. 416. Cas. Ἑλλάνικος ἐν πρώτῳ Δευκαλιωνείας, Ἐρυσίχθονα, φησί, τὸν Μυρμιδόνος, ὅτι ἦν ἄπληστος βορᾶς, Αἴθωνα καλεῖσθαι. Hinc Suidas s. v. Αἴθων, ὁ βίαιος λιμός. Ovidius Metamorph. VIII, 827.

furit ardor edendo.

837. sqq.

Utque rapax ignis non umquam alimenta recusat
Innumerasque trabes cremat, et quo copia major
Est data, plura petit, turbaque voracior ipsa est:
Sic epulas omnes Erisichthonis ora profani
Accipiunt, poscuntque simul. — — —
— — — — — — — — — —
Tum quoque dira fames, implicataeque vigebat
Flamma gulae.

Cf. Ez. Spanhemium ad Callimachi H. in Cer. v. 67.

πρῶτοι δυσμενέων εὗρον ἀμηχανίην] „Primi omnium viam et rationem invenerunt, qua hostes in consilii inopiam conjicerent." Jacobs.

ἐπὶ δὲ τῷ δευτέρῳ·

Ἡγεμόνεσσι δὲ μισθὸν Ἀθηναῖοι τάδ᾽ ἔδωκαν,
Ἀντ᾽ εὐεργεσίης καὶ μεγάλης ἀρετῆς.
Μᾶλλόν τις τάδ᾽ ἰδὼν καὶ ἐπεσσομένων ἐθελήσει
Ἀμφὶ ξυνοῖσι πράγμασι μόχθον ἔχειν.

ἐπὶ δὲ τῷ τρίτῳ ἐπιγέγραπται Ἑρμῇ·

Ἔκ ποτε τῆσδε πόληος ἅμ᾽ Ἀτρείδῃσι Μενεσθεὺς
Ἡγεῖτο ζάθεον Τρωϊκὸν ἀμπεδίον, ἀν'πεδίον
Ὅν ποθ᾽ Ὅμηρος ἔφη Δαναῶν πύκα χαλκοχιτώνων

μισθὸν] Praemium, honorem.

ἀμφὶ ξυνοῖσι πράγμασι] In Anthologia legitur ἀμφὶ περὶ ξυνοῖς, quod ex Plutarcho primum venit in Brunckii Analecta. Sed quando in Homero ἀμφὶ περὶ legitur, ἀμφὶ adverbialiter positum est. Pleonasmus autem cujuscujus praepositionis nonnisi in certis formulis legitur, ut monuit Hermannus ad Vigerum p. 834. Ἀμφὶ autem interdum, inprimis apud poëtas, significat, quod attinet ad, ratione. Vide Matthiae Gr. Gr. §. 583. Ξυνοῖσι Etymologicon M. p. 611. ξυνὸς ὁ κοινός. οἶμαι, ὅτι συνὸς, ὁ συνὼν τινι, ἢ ξύνιος παρὰ τοῦ συνιέναι τινί. ἢ παρὰ τὴν σὺν πρόθεσιν παρῆκται· τὸ γὰρ σὺν ξὺν φασιν οἱ Ἀττικοί. Forsitan tamen ξυνὸς nonnisi erat ex alia dialecto idem vocabulum, quod Attici pronuntiabant κοινόν. Wunderlich autem scripsit ξυνοῖσιν, quod hac aetate media syllaba pentametri Graecorum elegiaci semper producitur, ut docuit in singulari dissertatione Fried. Traug. Friedemannus. Hic tamen sequens vocabulum a πρ incipiens tolerabilem facit codicum lectionem.

μόχθον ἔχειν] Plutarchus habet δῆριν ἔχειν. Videtur tamen laboris et molestiae notio aptior, quam litis et contentionis.

Μενεσθεὺς] Respicitur ad Homerum Il. II, 552, qui sic de Menestheo:

τῷ οὔπω τις ὁμοῖος ἐπιχθόνιος γένετ᾽ ἀνὴρ
κοσμῆσαι ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας.

χαλκοχιτώνων] Plutarchus habet θωρηκτάων, quod offert etiam Bern., et habet g h m, supra versum, et in editione hujus orationis edidit Wunderlich, adnotans, adverbium πύκα unice favere lectioni θωρηκτάων, non vero vocabulo χαλκοχιτώνων convenire, atque etiam Homerum, qui saepe πύκα θωρηκτ. usurpaverit, nusquam habere

ἔργα φαῦλα. 56. πρὸς δ᾽ ἀνδρίαν βραχύς μοι λείπεται λόγος. εἰ μὲν γὰρ ἠρνεῖτο μὴ δειλὸς εἶναι, ἢ ὑμεῖς μὴ συνῄδειτε αὐτῷ, διατριβὴν ὁ λόγος ἄν μοι παρεῖχεν· ἐπειδὴ δὲ καὶ αὐτὸς ὁμολογεῖ ἐν ταῖς ἐκκλησίαις, καὶ ὑμεῖς σύνιστε, λοιπὸν ὑπομνῆσαι τοὺς περὶ τούτων κειμένους νόμους. ὁ γὰρ Σόλων, ὁ παλαιὸς νομοθέτης, ἐν τοῖς αὐτοῖς ἐπιτιμίοις ᾤετο δεῖν ἐνέχεσθαι τὸν ἀστράτευτον, καὶ τὸν λελοιπότα τὴν τάξιν, καὶ τὸν δειλὸν ὁμοίως· εἰσὶ γὰρ καὶ δειλίας γραφαί. καίτοι θαυμάσειεν ἄν τις ὑμῶν, εἴ εἰσι φύσεως γραφαί. εἰσίν. τίνος ἕνεκα; ἵνα ἕκαστος ἡμῶν τὰς ἐκ τῶν νόμων ζημίας φοβούμενος μᾶλλον, ἢ τοὺς πολεμίους, ἀμείνων ἀγωνιστὴς ὑπὲρ τῆς πατρίδος ὑπάρχῃ. ὁ μὲν τοίνυν νομοθέτης τὸν ἀστράτευτον, καὶ τὸν δειλὸν, καὶ τὸν λιπόντα τὴν τάξιν, ἔξω τῶν περιῤῥαντηρίων τῆς

---

56. ἀστράτευτον] Ulpianus ad Demosthenis Olynth. III. p. 22. ἀστράτευτον explicat τὸν μηδέποτε ἐγγραφέντα εἰς τὸν κατάλογον τῶν στρατιωτῶν. Heraldus contra, Wesselingius aliique affirmant, ἀστρατεύτους dictos esse, qui in catalogum militum relati, militiae se subtraxerant. Mihi videtur ἀστράτευτος utraque significatione dici, et is, qui catalogo se subducere omnino sciebat, et is, qui quamvis in catalogum relatus erat, ipsi tamen militiae se subtraxerat; ἀστρατείας autem ἁλῶναι dicebitur in genere is, qui non militavit. Locus classicus est in Lysiae oratione κατὰ Ἀλκιβ. λειποταξίου, ut restitutus est in editione Bekkeri ex codicibus §. 7. ἡγοῦμαι δ᾽, ὦ ἄνδρες δικασταί, ἕνα τῷ νόμῳ μόνον αὐτὸν τῶν πολιτῶν ἔνοχον εἶναι. ἀστρατείας μὲν γὰρ δικαίως ἂν αὐτὸν ἁλῶναι, ὅτι οὐ κατελέγη, λειποταξίου δὲ, ὅτι οὐκ ἐπεξῆλθε μεθ᾽ ὑμῶν στρατοπέδῳ μόνος, οὐδὲ παρέσχε μετὰ τῶν ἄλλων ἑαυτὸν τάξαι· δειλίας δὲ, ὅτι δεῖν ἕκαστον μετὰ τῶν ὁπλιτῶν κινδυνεύειν, ὁ δ᾽ ἱππεύειν εἵλετο. Legis poena ἐξείργει τοιοῦτον ἔξω τῶν περιῤῥαντηρίων Quid sint περιῤῥαντήρια, expositum est ad Tim. 10. Quod si quis, unius trium horum criminum convictus, legi non obtemperabat, rapiebatur ab Undecimviris ad Heliastarum tribunal, ut ei poena aut multa irrogaretur. Demosthenes κατὰ Τιμοκρ. p. 733. — Ceterum ὁμοίως jungendum cum ἐνέχεσθαι.

εἰσίν] Sic scripsit Bekkerus, nulla notata varietate. Quum id eum suorum codicum auctoritate fecisse existimem, id retinui. Vide supra c. 3.

ἀγορᾶς ἐξείργει, καὶ οὐκ ἐᾷ στεφανοῦσθαι, οὐδὲ εἰςιέναι εἰς τὰ ἱερὰ τὰ δημοτελῆ· σὺ δὲ τὸν ἀστεφάνωτον ἐκ τῶν νόμων κελεύεις ἡμᾶς στεφανοῦν, καὶ τῷ σαυτοῦ ψηφίσματι τὸν οὐ προςήκοντα εἰςκαλεῖς τοῖς τραγῳδοῖς εἰς τὴν ὀρχήστραν, εἰς τὸ ἱερὸν τοῦ Διονύσου, τὸν τὰ ἱερὰ διὰ δειλίαν προδεδωκότα; ἵνα δὲ μὴ ἀποπλανῶ ὑμᾶς ἀπὸ τῆς ὑποθέσεως, ἐκεῖνο μέμνησθε, ὅταν φῇ δημοτικὸς εἶναι, θεωρεῖτ᾽ αὐτοῦ μὴ τὸν λόγον, ἀλλὰ τὸν βίον, καὶ σκοπεῖτε μὴ τίς φησὶν εἶναι, ἀλλὰ τίς ἐστιν. 57. Ἐπεὶ δὲ στεφάνων ἀνεμνήσθην καὶ δωρεῶν, ἕως ἔτι μέμνημαι, προλέγω ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ μὴ καταλύσετε τὰς ἀφθόνους ταύτας δωρεὰς, καὶ τοὺς εἰκῇ διδομένους στεφάνους, οὔθ᾽ οἱ τιμώμενοι χάριν ὑμῖν εἴσονται, οὔτε τὰ τῆς πόλεως πράγματα ἐπανορθωθήσεται. τοὺς μὲν γὰρ πονηροὺς οὐ μή ποτε βελτίους ποιήσετε, τοὺς δὲ χρηστοὺς εἰς τὴν ἐσχάτην ἀθυμίαν ἐμβαλεῖτε. ὅτι δ᾽ ἀληθῆ λέγω, μεγάλα τούτων οἶμαι σημεῖα δείξειν ὑμῖν. εἰ γάρ τις ὑμᾶς ἐρωτήσειε, πότερον ὑμῖν ἐνδοξοτέρα δοκεῖ ἡ πόλις εἶναι ἐπὶ τῶν νυνὶ καιρῶν, ἢ ἐπὶ τῶν προγόνων, ἅπαντες ἂν ὁμολογήσαιτε, ὅτι ἐπὶ τῶν προγόνων. ἄνδρες δὲ πότερον τότε ἀμείνους ἦσαν, ἢ νυνί; τότε μὲν διαφέροντες, νυνὶ δὲ πολλῷ καταδεέστεροι. δωρεαὶ δὲ καὶ στέφανοι καὶ κηρύγματα

τοῖς τραγῳδοῖς] Non erat, quod Reiskius ex Helmst. ἐν τοῖς τραγῳδοῖς rescriberet. Constructionem imitantur Latini. Cicero Philipp. I, 15, 36. Quid enim gladiatoribus clamores innumerabilium civium? ubi vide interpretes. Wunderlich. In ipsa Aeschinis παρανόμων γραφῇ, quam servavit Demosthenes περὶ στεφ. p. 243., legitur absolute τραγῳδοῖς καινοῖς.

τὰ ἱερὰ τὰ δημοτελῆ] Cf. ad Tim. 10.

57. δωρεαὶ δὲ cet.] Hoc idem auctor vitarum, quae sub Cornelii Nepotis nomine feruntur, Miltiad. VI, 2. Ut enim populi nostri honores quondam fuerunt rari et tenues, ob eamque caussam gloriosi, nunc autem effusi et obsoleti, sic olim apud Athenienses fuisse reperimus.

καὶ σιτήσεις ἐν πρυτανείῳ, πότερον τότε ἦσαν πλείους, ἢ νυνί; τότε μὲν ἦν σπάνια τὰ καλὰ παρ' ἡμῖν, καὶ τὸ τῆς ἀρετῆς ὄνομα τίμιον· νῦν δ' ἤδη καταπέπλυται τὸ πρᾶγμα, καὶ τὸ στεφανοῦν ἐξ ἔθους ἀλλ' οὐκ ἐκ προνοίας ποιεῖσθε. οὔκουν ἄτοπον οὑτωσὶ διαλογιζομένοις, τὰς μὲν δωρεὰς νῦν πλείους εἶναι, τὰ δὲ πράγματα τῆς πόλεως τότε μᾶλλον ἢ νῦν ἰσχύειν, καὶ τοὺς ἄνδρας νῦν μὲν χείρους εἶναι, τότε δὲ ἀμείνους; ἐγὼ δὲ τοῦθ' ὑμᾶς ἐπιχει-

---

σιτήσεις] Male Reiskius ex cod. Helmst. *σιτίσεις* scripsit: nam si de honore illo, civibus praeclare de republica meritis publice victum quotidianum praebendi sermo est, non adhibetur *σίτισις*. Verbum enim est *σιτεῖσθαι*, et poëtarum loca veritatem satis ostendunt. Aristoph. Ran. v. 96.

Σίτησιν αὐτὸν ἐν Πρυτανείῳ λαμβάνειν.

Thomas M. s. v. *πρυτανεῖον· τὸ κοινὸν ταμιεῖον, ὅθεν καὶ αἱ εὐεργεσίαι καὶ σιτήσεις ἐδίδοντο.* Infra c. 64. scriptura *σιτήσεις* a nemine tentabatur. Qui in perpetuum illo praemio ornati erant, *ἀείσιτοι* dicebantur, alii honoris caussa semel ad coenam in Prytaneo invitabantur, velut legati post administratam legationem domum reversi.

καταπέπλυται τὸ πρᾶγμα] Pollux VII, 38. *πλύνειν καὶ τὸ λοιδορεῖν καὶ πλῦνον με ποιεῖς ἡ κωμῳδία φησὶν, ἤγουν ὀνειδίζεις ἢ αἰσχύνεις. καὶ τὸ οὐδενὸς ἄξιόν τι ἀποπεφάνθαι ὁ ῥήτωρ ἔφη Αἰσχίνης.* Aristophanes Acharn. 379.

Διέβαλλε καὶ ψευδῆ κατεγλώττιζέ μου
κἀκυκλοβόρει, κἄπλυνεν.

ubi Scholiastes: *κατέμιξε τὴν κωμῳδιακὴν χάριν καὶ τὰ δικαστικὰ ῥήματα. τὸ μὲν γὰρ διαβάλλειν καὶ πλύνειν εἴποι τις ἂν περὶ τὰ δικαστήρια ταῦτα λέγειν δεῖν· τὸ δὲ κυκλοβορεῖν καὶ καταγλωττίζειν χαριεντίσματά ἐστι κωμῳδίας.*

τότε μᾶλλον ἢ νῦν ἰσχύειν] Si diversorum temporum particulae sunt in eadem enuntiatione, interque eas particula praesentis temporis, verbum plerumque in tempore praesenti ponitur. Demosthenes *περὶ στεφ.* p. 236. *ὑπὲρ οὗ καὶ τότε καὶ νῦν καὶ ἀεὶ ὁμολογῶ πολεμεῖν.* Br. — Bekkerus habet *τότε μᾶλλον ἰσχύειν*, omisso *ἢ νῦν*, quod tamen septem ejus codd. retinent. O.

ρήσω διδάσκειν, 58. οἴεσθ᾽ ἄν ποτε, ὦ Ἀθηναῖοι, ἐθελῆσαί τινα ἐπασκεῖν εἰς τὰ Ὀλύμπια, ἢ εἰς ἄλλον τινὰ τῶν στεφανιτῶν ἀγώνων, παγκράτιον ἢ καὶ ἄλλο τι τῶν βαρυτέρων ἄθλων, εἰ ὁ στέφανος ἐδίδοτο μὴ τῷ κρατίστῳ ἀλλὰ τῷ διαπραξαμένῳ; οὐδεὶς ἄν ποτ᾽ ἠθέλησεν ἐπασκεῖν. νῦν δ᾽, οἶμαι, διὰ τὸ σπάνιον καὶ τὸ περιμάχητον καὶ τό καλὸν καὶ τὸ ἀείμνηστον ἐκ τῆς νίκης, ἐθέλουσί τινες τὰ σώματα παρακαταθέμενοι καὶ τὰς μεγίστας ταλαιπωρίας ὑπομείναντες διακινδυνεύειν. ὑπολάβετε τοίνυν ὑμᾶς αὐτοὺς εἶναι ἀγωνοθέτας πολιτικῆς ἀρετῆς, κἀκεῖνο ἐκλογίσασθε, ὅτι ἐὰν μὲν τὰς δωρεὰς ὀλίγοις καὶ ἀξίοις καὶ κατὰ τοὺς νόμους διδῶτε, πολλοὺς ἀγωνιστὰς ἕξετε τῆς ἀρετῆς· ἐὰν δὲ τῷ βουλομένῳ καὶ τοῖς διαπραξαμένοις

---

58. Οἴεσθ᾽ ἄν ποτε] Vulgo Οἴεσθέ ποτε ἐθελῆσαι. Equidem defendi aoristum infinitivi post οἴεσθαι et similia Tim. 13. Quum autem ex b e h k l, ἄν addiderit Bekkerus, et Wunderlich moneat, agi de re, sumta tantum, quam noveris vere non evenisse nec esse, de hoc loco sententiam mutavi.

παγκράτιον] Teste Plutarcho Sympos. T. II. p. 638. μέμικται τὸ παγκράτιον ἔκ τε πυγμῆς καὶ πάλης. Quintilianus Institt. II, 8, 13. Si quis exercendi corpora peritus docendum pancratiasten susceperit, non pugno ferire vel calce tantum, aut nexus modo, atque in his certos aliquos docebit, sed omnia, quae sunt ejus certaminis. Pugno ferire et calce erat pugilum, nexus luctatorum (συμπλοκαί), utraque pancratiastarum. Verum quum pugiles caestibus dimicandi jus haberent, pancratiastis nonnisi pugnis non armatis videtur licuisse certare.

ἀγωνοθέται] Moeris quidem p. 97. ἀθλοθέτης, inquit, Ἀττικῶς, ἀγωνοθέτης Ἑλληνικῶς: in quo eum falli docuerunt interpretes. Atque etiam illud discrimen, quod nonnulli inter ἀθλοθέτας et ἀγωνοθέτας statuunt, illos μόνα γυμνικά, hos τὰ μουσικὰ ἀκροάματα direxisse, refutatur praestantissimorum scriptorum usu. Hesychius ἀγωνοθέτης, ἀρχῆς ὄνομα Ἀθήνησι. Pollux VIII, 94. ἀθλοθέται δέκα μέν εἰσιν, εἷς κατὰ φυλήν. Latini munerarios dicunt, quo vocabulo primum Augustum usum esse testatur Quintilianus VIII, 3, 34., quum antea vel domini ludorum vel editores nominarentur.

χαρίζησθε, καὶ τὰς ἐπιεικεῖς φύσεις διαφθείρετε. ὅτι δὲ ὀρθῶς λέγω, ἔτι μικρῷ σαφέστερον ὑμᾶς βούλομαι διδάξαι. πότερον ὑμῖν ἀμείνων ἀνὴρ εἶναι δοκεῖ Θεμιστοκλῆς ὁ στρατηγήσας, ὅτ' ἐν τῇ περὶ Σαλαμῖνα ναυμαχίᾳ τὸν Πέρσην ἐνικᾶτε, ἢ Δημοσθένης ὁ τὰς τάξεις λιπών; Μιλτιάδης δὲ ὁ τὴν ἐν Μαραθῶνι μάχην τοὺς βαρβάρους νικήσας, ἢ οὗτος; ἔτι δ' οἱ ἀπὸ Φυλῆς φεύγοντα τὸν δῆμον καταγαγόντες; Ἀριστείδης δ' ὁ δίκαιος ἐπικαλούμενος, ὁ τὴν ἀνόμοιον ἔχων ἐπωνυμίαν Δημοσθένει; ἀλλ' ἔγωγε, μὰ τοὺς θεοὺς τοὺς Ὀλυμπίους, οὐδ' ἐν ταῖς αὐταῖς ἡμέραις ἄξιον ἡγοῦμαι μεμνῆσθαι τοῦ θηρίου τουτου καὶ ἐκείνων τῶν ἀνδρῶν. 59. ἐπιδειξάτω τοίνυν Δημοσθένης ἐν τῷ αὑτοῦ λόγῳ, εἴ που γέγραπταί τινα τούτων τῶν ἀνδρῶν στεφανῶσαι. ἀχάριστος ἄρ' ἦν ὁ δῆμος; οὐκ, ἀλλὰ μεγαλόφρων, κἀκεῖνοί γε οἱ μὴ τετιμημένοι, τῆς πόλεως ἄξιοι. οὐ γὰρ ᾤοντο δεῖν ἐν τοῖς γράμμασι

Ἀριστείδης δὲ] H. Wolfius Ἀριστείδης θ'. Perperam. Singula exempla in progressu enumerantur per particulam δὲ, nonnumquam cum indignatione. Demosthenes περὶ παραπρ. p. 398. ἀποδοῦναι δὲ καὶ Κερσοβλέπτῃ τοὺς ὅρκους, μὴ μετέχειν δὲ τῶν ἐν Ἀμφικτύοσιν, ἐπανορθώσεσθαι δὲ τὴν εἰρήνην.

59. κἀκεῖνοί γε οἱ μὴ τετιμημένοι τῆς πόλεως ἄξιοι] Taylor quum in Mead. reperisset ἀνάξιοι, conjecit: κἀκεῖνοι δὲ – ἀνάξιοι; „Quum Themistocles, inquit, Aristides, Thrasybulus, non coronarentur, aut civitas immemor et ingrata, aut illi imerentes erant. Ἀχάριστος ἄρ' ἦν ὁ δῆμος; οὐκ· ἀλλὰ μεγαλόφρων. Id erat prius. Sequitur κἀκεῖνοι δὲ – οὐκ ἀνάξιοι; similiter cum interrogatione.“ — Tum ante γὰρ negativa responsio supplenda esset, de quo locuti sumus supra c. 6. οὐδὲ γὰρ πάτριόν ἐστιν αὐτοῖς. Non tamen videtur a lectione vulgata recedendum, quamvis ἀνάξιοι sit etiam in c d f. Nempe Aeschines in responsione utrosque conjungit et populum et cives de republica bene meritos, adjuncto suo alterutris praedicato. Populus enim erat μεγαλόφρων, qui non parva magnis virtutibus praemia convenire judicabat; et ii ipsi, qui non parvis praemiis honorabantur, digni erant generosa civitate. Particula autem γε huic

τιμᾶσθαι, ἀλλ' ἐν τῇ μνήμῃ τῶν εὖ πεπονθότων, ἥ ἀπ' ἐκείνου τοῦ χρόνου μέχρι τῆςδε τῆς ἡμέρας ἀθάνατας οὖσα διαμένει. δωρεὰς δὲ τίνας ἐλάμβανον; ὧν ἄξιόν ἐστι μνησθῆναι. ἦσάν τινες κατὰ τοὺς τότε καιροὺς, οἳ πολὺν πόνον ὑπομείναντες καὶ μεγάλους κινδύνους, ἐπὶ τῷ Στρυμόνι ποταμῷ ἐνίκων μαχόμενοι Μήδους. οὗτοι δεῦρο ἀφικόμενοι, τὸν δῆμον ᾔτησαν δωρεὰν, καὶ ἔδωκεν αὐτοῖς ὁ δῆμος τιμὰς μεγάλας, ὡς τότ' ἐδόκει, τρεῖς λιθίνους Ἑρμᾶς στῆσαι ἐν τῇ στοᾷ τῇ τῶν Ἑρμῶν, ἐφ' ᾧ τε μὴ ἐπιγράφειν τὰ ὀνόματα τὰ ἑαυτῶν, ἵνα μὴ τῶν στρατηγῶν ἀλλὰ τοῦ δήμου δοκῇ εἶναι τὸ ἐπίγραμμα. 60. ὅτι δ' ἀληθῆ λέγω, ἐξ αὐτῶν τῶν ποιημάτων εἴσεσθε. ἐπιγέγραπται γὰρ ἐπὶ μὲν τῷ πρώτῳ τῶν Ἑρμῶν

---

loco aptissima. Est quod nos dicimus gerade, eben. Hanc particulae vim illustravit Hermannus ad Viger. p. 826.

ἐπὶ τῷ Στρυμόνι] Intelligitur Cimonis expeditio in Thracia, cujus regionis flumen erat Strymon, quo cum valido exercitu cum trajicere jubebant Athenienses, ut sociis urbibus auxilium ferret, et quae Persicis adhuc praesidiis tenebantur, in libertatem vindicaret. Primum igitur Ejonem (Ἠϊόνα) Persarum jugo adhuc pressam dolo cepit, et terra marique pari fortuna usus est. Exponit haec Diodorus Sic. XI, 60. sqq. Plutarch. Cim. p. 482. c. 7.—10., tetigit Thucydides L. I, 98. Contigerunt haec Ol. LXXVII, 3. et 4. Qui labores erant Atheniensibus tolerandi, perspicitur ex Herod. VII, 107.

ἐν τῇ στοᾷ τῇ τῶν Ἑρμῶν] Porticus quaedam in foro, de qua Harpocration s. v. Ἑρμαῖ. Μενεκλῆς ἢ Καλλίστρατος ἐν τῷ περὶ Ἀθηναίων γράφει ταυτί. Ἀπὸ τῆς ποικίλης καὶ τῆς τοῦ βασιλέως στοᾶς (vide intpp. ad Platonis Eutyphr. 1.) εἰσὶν οἱ Ἑρμαῖ καλούμενοι. διὰ γὰρ τὸ πολλοὺς κεῖσθαι καὶ ὑπὸ ἰδιωτῶν καὶ ὑπὸ ἀρχόντων ταύτην εἰληφέναι τὴν προσηγορίαν συμβέβηκεν. Praestantium virorum laudes aliaque epigrammata Hermis inscribi solebant, quorum tria exempla noster laudat c. seq. eademque habet Plutarchus in Cimone l. l. Demosthenes in Lept. §. 93. Wolf. ἔστι τοίνυν τις πρόχειρος λόγος, ὡς ἄρα καὶ παρ' ἡμῖν ἐπὶ τῶν προγόνων πολλὰ ἀγαθὰ εἰργασμένοι τινὲς οὐδενὸς ἠξιοῦντο τοιούτου, ἀλλ' ἀγαπητῶς ἐπιγράμματος ἐν τοῖς Ἑρμαῖς ἐτύγχανον.

Ἦν ἄρα κἀκεῖνοι ταλακάρδιοι, οἵ ποτε Μήδων
Παισὶν ἐπ᾽ Ἠϊόνι, Στρυμόνος ἀμφὶ ῥοάς,
Λιμόν τ᾽ αἴθωνα κρατερόν τ᾽ ἐπάγοντες Ἄρηα,
Πρῶτοι δυσμενέων εὗρον ἀμηχανίην.

---

60. ἦν ἄρα cet. Tria haec epigrammata laudantur etiam in Anthologia Graeca T. IV. p. 118. ed. Jacobs inter ἐπιγράμματα ἀδέσποτα. — De ἦν hoc habet Choeroboscus p. 1293. Anecdd. Bekk. ἦν εὑρέθη καὶ πρώτου προσώπου πληθυντικοῦ, οἷον ἦν ἡμεῖς ἀντὶ τοῦ ἦμεν. εἰκότως οὖν καὶ τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν οὐκ ἐνήλλαξε πρὸς τὸ ἴδιον πρόσωπον, ἀλλ᾽ ἐγίνετο καὶ αὐτὸ ἦν διὰ τοῦ η

τῆς δ᾽ ἦν τρεῖς κεφαλαί

ἀντὶ τοῦ ἦσαν. ἵνα, ὥσπερ ἐν τοῖς ἑνικοῖς τὸ πρῶτον καὶ τρίτον ὁμοφωνοῦσι, τὸν αὐτὸν τρόπον καὶ ἐν τοῖς πληθυντικοῖς τὸ πρῶτον καὶ τρίτον ὁμοφωνῶσιν. Uberius haec ibi tractantur. e h k l glossam habent ἦσαν.

Λιμόν τ᾽ αἴθωνα] Apud Homerum inter alia αἴθων est epitheton leonis, quod alii de fulvo colore, alii de ferocia et violentia interpretantur. Quicquid sit, αἴθω proprie habet calefaciendi notionem, et inde derivata est notio incendendi, urendi et similes. Λιμὸς αἴθων id est, quod in nonnullis regionibus ein brennender, in aliis ein grimmiger Hunger vocatur. Athenaeus L. X. c. IX. p. 416. Cas. Ἑλλάνικος ἐν πρώτῳ Δευκαλιωνείας, Ἐρυσίχθονα, φησὶ, τὸν Μυρμιδόνος, ὅτι ἦν ἄπληστος βορᾶς, Αἴθωνα καλεῖσθαι. Hinc Suidas s. v. Αἴθων, ὁ βίαιος λιμός. Ovidius Metamorph. VIII, 827.

furit ardor edendo.

837. sqq.

Utque rapax ignis non umquam alimenta recusat
Innumerasque trabes cremat, et quo copia major
Est data, plura petit, turbaque voracior ipsa est:
Sic epulas omnes Erisichthonis ora profani
Accipiunt, poscuntque simul. — — —
— — — — — — — — — —
Tum quoque dira fames, implicataeque vigebat
Flamma gulae.

Cf. Ez. Spanhemium ad Callimachi H. in Cer. v. 67.

πρῶτοι δυσμενέων εὗρον ἀμηχανίην] „Primi omnium viam et rationem invenerunt, qua hostes in consilii inopiam conjicerent." Jacobs.

ἐπὶ δὲ τῷ δευτέρῳ·

Ἡγεμόνεσσι δὲ μισθὸν Ἀθηναῖοι τάδ' ἔδωκαν,
Ἀντ' εὐεργεσίης καὶ μεγάλης ἀρετῆς.
Μᾶλλόν τις τάδ' ἰδὼν καὶ ἐπισσομένων ἐθελήσει
Ἀμφὶ ξυνοῖσι πράγμασι μόχθον ἔχειν.

ἐπὶ δὲ τῷ τρίτῳ ἐπιγέγραπται Ἑρμῇ·

Ἔκ ποτε τῆσδε πόληος ἅμ' Ἀτρείδῃσι Μενεσθεὺς
Ἡγεῖτο ζάθεον Τρωϊκὸν ἀμπεδίον,
Ὅν ποθ' Ὅμηρος ἔφη Δαναῶν πύκα χαλκοχιτώνων

μισθὸν] Praemium, honorem.

ἀμφὶ ξυνοῖσι πράγμασι] In Anthologia legitur *ἀμφὶ περὶ ξυνοῖς*, quod ex Plutarcho primum venit in Brunckii Analecta. Sed quando in Homero *ἀμφὶ περὶ* legitur, *ἀμφὶ* adverbialiter positum est. Pleonasmus autem cujuscujus praepositionis nonnisi in certis formulis legitur, ut monuit Hermannus ad Vigerum p. 8[illegible]4. *Ἀμφὶ* autem interdum, inprimis apud poëtas, significat, quod attinet ad, ratione. Vide Matthiae Gr. Gr. §. 583. *Ξυνοῖσι* Etymologicon M. p. 611. *ξυνὸς ὁ κοινός. οἶμαι, ὅτι συνός, ὁ συνὼν τινι, ἢ ξένιος παρὰ τοῦ συνιέναι τινί. ἢ παρὰ τὴν σὺν πρόθεσιν παρῆκται· τὸ γὰρ σὺν ξὺν φασιν οἱ Ἀττικοί.* Forsitan tamen *ξυνὸς* nonnisi erat ex alia dialecto idem vocabulum, quod Attici pronuntiabant *κοινόν*. Wunderlich autem scripsit *ξυνοῖσιν*, quod hac aetate media syllaba pentametri Graecorum elegiaci semper producitur, ut docuit in singulari dissertatione Fried. Traug. Friedemannus. Hic tamen sequens vocabulum a *πρ* incipiens tolerabilem facit codicum lectionem.

μόχθον ἔχειν] Plutarchus habet *δῆριν ἔχειν*. Videtur tamen laboris et molestiae notio aptior, quam litis et contentionis.

Μενεσθεὺς] Respicitur ad Homerum Il. II, 552, qui sic de Menestheo:

τῷ οὔπω τις ὁμοῖος ἐπιχθόνιος γένετ' ἀνὴρ
κοσμῆσαι ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας.

χαλκοχιτώνων] Plutarchus habet *θωρηκτάων*, quod offert etiam Bern., et habet g h m, supra versum, et in editione hujus orationis edidit Wunderlich, adnotans, adverbium *πύκα* unice favere lectioni *θωρηκτάων*, non vero vocabulo *χαλκοχιτώνων* convenire, atque etiam Homerum, qui saepe *πύκα θωρηκτ.* usurpaverit, nusquam habere

Κοσμητῆρα μάχης ἔξοχον ἄνδρα μολεῖν.
Οὕτως οὐδὲν ἀεικὲς Ἀθηναίοισι καλεῖσθαι
Κοσμητὰς πολέμου τ' ἀμφὶ καὶ ἠνορέης.

Ἔστι που τὸ τῶν στρατηγῶν ὄνομα; οὐδαμοῦ, ἀλλὰ τὸ τοῦ δήμου. 61. προςέλθετε δὴ τῇ διανοίᾳ καὶ εἰς τὴν στοὰν τὴν ποικίλην· ἁπάντων γὰρ ὑμῖν τῶν καλῶν ἔργων τὰ ὑπομνήματα ἐν τῇ ἀγορᾷ ἀνάκειται. τί οὖν ἐστιν, ὦ Ἀθηναῖοι, ὃ ἐγὼ λέγω; ἐνταῦθα ἡ ἐν Μαραθῶνι μάχη γέγραπται. τίς οὖν ἦν ὁ στρατηγός; οὑτωσὶ μὲν ἐρωτηθέντες ἅπαντες ἀποκρίναισθε ἄν, ὅτι Μιλτιάδης. ἐκεῖ δὲ οὐκ ἐπιγέγραπται. πῶς; οὐκ ᾔτησε τὴν δωρεὰν ταύτην; ᾔτησεν, ἀλλ' ὁ δῆμος οὐκ ἔδωκεν, ἀλλ' ἀντὶ τοῦ ὀνόματος συνεχώρησεν αὐτῷ πρώτῳ γραφῆναι παρακαλοῦντι τοὺς

πύκα χαλκοχ. Quod quamquam concedimus, seriore tamen tempore synonymis idem adverbium addi poterat. Mss. igitur codices secutus sum.

κοσμητῆρα] Sic dedit Bekkerus ex e h k l. Idem supra scriptum in a g m. Vulgo legitur κοσμήτωρα, quod est in nullo Bekkeri codice, nisi quod supra scriptum sit in n. Ceteri contra metrum κοσμήτορα. Et in casibus obliquis Homerus ubique habet o breve. Formam quidem κοσμητὴρ nescio an usquam legatur; sed derivationis regulis non minus convenit quam κοσμήτωρ. Eadem forma est in Plutarcho et Anthologia. Versu ultimo habemus formam κοσμητής.

61. εἰς τὴν στοὰν τὴν ποικίλην] Pausanias L. I, 15, 1. ποικίλην ὀνομάζουσιν ἀπὸ τῶν γραφῶν, ubi picturas, quae inerant in hac porticu, accurate describit. Plutarchus Cim. p. 480. fin. tradit priori tempore eam Πεισιανάκτειον στοὰν appellatam esse, quocum consentit Diogenes Läertius L. VII, 5. Ab hac στοὰ nomen habent Στωϊκοί, quoiam in hac porticu Zeno docebat.

ἐν τῷ Μητρῴῳ] Pausanias L. I, 3, 4. ᾠκοδόμηται δὲ καὶ μητρὸς Θεῶν ἱερὸν, ἣν Φειδίας εἰργάσατο, καὶ πλησίον τῶν πεντακοσίων καλουμένων βουλευτήριον, οἳ βουλεύουσιν ἐνιαυτὸν Ἀθηναίοις. Aedificandi hujus templi caussa haec traditur. Metragyrtes quidam quum in Atticam venisset, mulierésque Matri deûm initiasset, in barathrum eum praecipitem egerunt Athenienses occideruntque. Ea de caussa mox orta peste oraculum acceperunt, expiandos esse interfecti manes. Ita

στρατιώτας. ἐν τοίνυν τῷ Μητρῴῳ παρὰ τὸ βουλευτήριον ἣν ἔδοτε δωρεὰν τοῖς ἀπὸ Φυλῆς φεύγοντα τὸν δῆμον καταγαγοῦσιν, ἔστιν ἰδεῖν. ἦν μὲν γὰρ ὁ τὸ ψήφισμα γράψας καὶ νικήσας Ἀρχῖνος ὁ ἐκ Κοίλης, εἷς τῶν καταγαγόντων τὸν δῆμον. ἔγραψε δὲ πρῶτον μὲν αὐτοῖς εἰς θυσίαν καὶ ἀναθήματα δοῦναι χιλίας δραχμάς, (καὶ τοῦτ' ἔστιν ἔλαττον ἢ δέκα δραχμαὶ κατ' ἄνδρα ἕκαστον) ἔπειτα κελεύει στεφανῶσαι θαλλοῦ στεφάνῳ αὐτῶν ἕκαστον, ἀλλ' οὐ χρυσῷ. τότε μὲν γὰρ ἦν ὁ τοῦ θαλλοῦ στέφανος τίμιος, νυνὶ δὲ καὶ ὁ χρυσοῦς καταπεφρόνηται. καὶ οὐδὲ τοῦτο εἰκῇ πρᾶξαι κελεύει, ἀλλ' ἀκριβῶς τὴν βουλὴν σκεψαμένην, ὅσοι αὐτῶν ἐπὶ Φυλῆς ἐπολιορκήθησαν, ὅτε Λακεδαιμόνιοι καὶ οἱ τριάκοντα προσέβαλλον τοῖς καταλαβοῦσι Φυλήν, οὐχ ὅσοι τὴν τάξιν ἔλιπον ἐν Χαιρωνείᾳ τῶν πολεμίων ἐπιόντων. ὅτι δ' ἀληθῆ λέγω, ἀναγνώσεται ὑμῖν τὸ ψήφισμα. „Ψήφισμα περὶ δωρεᾶς τοῖς ἀπὸ Φυλῆς." 62. Παραναγνῶθι καὶ ὃ γέγραφε Κτησιφῶν Δημοσθένει, τῷ τῶν μεγίστων κακῶν αἰτίῳ. „Ψήφισμα." Τούτῳ τῷ ψηφίσματι ἐξαλείφεται ἡ τῶν καταγαγόντων τὸν δῆμον δωρεά. εἰ τοῦτ' ἔχει καλῶς, ἐκεῖνο αἰσχρῶς.

---

curiam aedificaverunt eo loco, ubi eum occiderant, matrique deûm templum consecrarunt. Hoc autem templo utebantur Athenienses reconditorio tabularum publicarum et legum. Praepositus iis erat scriba publicus, et clavis erat penes Epistatam.

Ἀρχῖνος ὁ ἐκ Κοίλης] Κοίλη demus Atticus, cujus tribus ignoratur. Sponius tamen ex marmore refert eum tribus Hippothoontidis fuisse. Erat autem prope urbem, et sepulcrum ibi Thucydidis historici. Archinum hunc ita laudat Demosthenes κατὰ Τιμοκρ. p. 741. Ἀρχίνου τοῦ καταλαβόντος Φυλὴν καὶ μετά γε τοὺς θεοὺς αἰτιωτάτου ὄντος τῆς καθόδου τῷ δήμῳ, καὶ ἄλλα πολλὰ καὶ καλὰ πεπολιτευμένου καὶ ἐστρατηγηκότος πολλάκις.

θαλλοῦ στεφάνῳ] Vide ad παραπρ. 13.

οὐχ ὅσοι τὴν τάξιν ἔλιπον ἐν Χαιρωνείᾳ] Eo acerbior, quo magis inopinatus et quo remotior ab re tractata impetus.

εἰ ἐκεῖνοι κατὰ ἀξίαν ἐτιμήθησαν, οὗτος ἀνάξιος ὢν στεφανοῦται. καίτοι πυνθάνομαι γ᾽ αὐτὸν μέλλειν λέγειν, ὡς οὐ δίκαια ποιῶ, παραβάλλων αὐτῷ τὰ τῶν προγόνων ἔργα. οὐδὲ γὰρ Φιλάμμωνα φήσει τὸν πύκτην Ὀλύμπιασι στεφανωθῆναι, νικήσαντα Γλαῦκον τὸν παλαιὸν ἐκεῖνον πύκτην, ἀλλὰ τοὺς καθ᾽ ἑαυτὸν ἀγωνιστάς· ὥσπερ ὑμᾶς ἀγνοοῦντας, ὅτι τοῖς μὲν πύκταις ἐστὶν ὁ ἀγὼν πρὸς ἀλλήλους, τοῖς δ᾽ ἀξιοῦσι στεφανοῦσθαι, πρὸς αὐτὴν τὴν ἀρετήν, ἧς καὶ ἕνεκα στεφανοῦνται. δεῖ γὰρ τὸν κήρυκα ἀψευδεῖν, ὅταν τὴν ἀνάῤῥησιν ἐν τῷ θεάτρῳ ποιῆται, πρὸς τοὺς Ἕλληνας. μὴ οὖν ἡμῖν, ὡς Παταικίωνος ἄμεινον

---

62. παραβάλλων αὐτῷ τὰ τῶν προγόνων ἔργα] Demosthenes περὶ στεφ. p. 330. s. πρὸς τοὺς ζῶντας, ὦ χρηστέ, ἵνα μηδὲν ἄλλο εἴπω, τὸν ζῶντα ἐξέταζε, καὶ τοὺς καθ᾽ αὑτόν, ὥσπερ τἄλλα πάντα, τοὺς ποιητάς, τοὺς χορούς, τοὺς ἀγωνιστάς. ὁ Φιλάμμων, οὐχ ὅτι Γλαύκου τοῦ Καρυστίου καί τινων ἑτέρων πρότερον γεγενημένων ἀθλητῶν ἀσθενέστερος ἦν, ἀστεφάνωτος ἐκ τῆς Ὀλυμπίας ἀπῄει, ἀλλ᾽ ὅτι τῶν εἰσελθόντων πρὸς αὐτὸν ἄριστα ἐμάχετο, καὶ νικῶν ἀνηγορεύετο. — Φιλάμμων (nam sic scribendum, non Φιλάμων) πύκτης ἦν Ἀθηναῖος, ὃς πάντα τὸν χρόνον ἐνίκα τοὺς ἀντιπάλους, Glauco quidem Carystio, qui Olympionices incertae Olympiadis est, junior, sed antiquior Ol. CX. De Glauco haec narrat Pausanias L. VI, 10. εἶναί φασι Γλαῦκον ἐξ Ἀνθηδόνος τῶν Βοιωτῶν ἄνωθεν αὐτὸν γένος ἀπὸ τοῦ Γλαύκου τοῦ ἐν θαλάσσῃ δαίμονος. Πατρὸς δὲ οὗτος ὁ Καρύστιος ἦν Δημύλου, καὶ γῆν φασὶν αὐτὸν κατ᾽ ἀρχὰς ἐργάζεσθαι. ἐκπεσοῦσαν ἐκ τοῦ ἀρότρου τὴν ὕνιν (Pflugschar) πρὸς τὸ ἄροτρον συνήρμοσε τῇ χειρὶ ἀντὶ σφύρας χρώμενος. καί πως ἐθεάσατο ὁ Δήμυλος τὸ ὑπὸ τοῦ παιδὸς ποιούμενον, καὶ ἐπὶ τούτῳ πυκτεύσοντα ἐς Ὀλυμπίαν αὐτὸν ἀπήγαγεν. ἔνθα δὴ ὁ Γλαῦκος, ἅτε οὐκ ἐμπείρως ἔχων τῆς μάχης, ἐτιτρώσκετο ὑπὸ τῶν ἀνταγωνιζομένων, καὶ ἡνίκα πρὸς τὸν λειπόμενον ἐξ αὐτῶν ἐπύκτευεν, ἀπαγορεύειν ὑπὸ τοῦ πλήθους τῶν τραυμάτων ἐνομίζετο. καί οἱ τὸν πατέρα βοῆσαί φασιν· ὦ παῖ, τὴν ἀπ᾽ ἀρότρου. (sc. παῖε πληγήν) οὕτω βιαιοτέραν ἐς τὸν ἀνταγωνιστὴν ἐνεγκὼν τὴν πληγὴν αὐτίκα εἶχε τὴν νίκην.

Παταικίωνος ἄμεινον] Suidas s. v. Παττακίων. ἀνὴρ ἀπὸ συκοφαντίας τὸν βίον ποιούμενος, καὶ προσκρούειν ἐπιτηδεύων τοῖς εὐδοκιμοῦσι τῶν νέων. διεβάλλετο δὲ καὶ ὡς κλέπτης καὶ τοιχωρύχος, ὥστε καὶ κωμῳδεῖσθαι ἐπὶ τούτοις.

πεπολίτευσαι, δίεξιθι, ἀλλ' ἐφικόμενος τῆς ἀνδραγαθίας, οὕτω τὰς χάριτας τὸν δῆμον ἀπαίτει. ἵνα δὲ μὴ ἀποπλανῶ ὑμᾶς ἀπὸ τῆς ὑποθέσεως, ἀναγνώσεται ὑμῖν ὁ γραμματεὺς τὸ ἐπίγραμμα, ὃ ἐπιγέγραπται τοῖς ἀπὸ Φυλῆς τὸν δῆμον καταγαγοῦσι. „Ἐπίγραμμα."

Τούσδ' ἀρετῆς ἕνεκα στεφάνοις ἐγέραιρε παλαίχθων
 Δῆμος Ἀθηναίων, οἵ ποτε τοὺς ἀδίκοις
Θεσμοῖς ἄρξαντας πόλιος πρῶτοι καταπαύειν
 Ἦρξαν, κίνδυνον σώμασιν ἀράμενοι.

Ὅτι τοὺς παρὰ τοὺς νόμους ἄρξαντας κατέλυσαν, διὰ τοῦτ' αὐτούς φησιν ὁ ποιητὴς τιμηθῆναι. ἔναυλον γὰρ ἦν ἔτι τότε πᾶσιν, ὅτι τηνικαῦτα ὁ δῆμος κατελύθη, ἐπειδή τινες τὰς γραφὰς τῶν παρανόμων ἀνεῖλον. 63. καὶ γάρ τοι, ὡς ἐγὼ τοῦ πατρὸς τοῦ ἐμαυτοῦ ἐπυνθανόμην, ὃς ἔτη βιοὺς ἐνενήκοντα καὶ πέντε ἐτελεύτησεν, ἁπάντων μετασχὼν τῶν πόνων τῇ πόλει, ὃς πολλάκις πρὸς ἐμὲ διεξῄει ἐπὶ σχολῆς. ἔφη γάρ, ὅτε ἀρτίως κατεληλύθει ὁ δῆμος, εἴ τις εἰσίοι

ἐφικόμενος τῆς ἀνδραγαθίας] Sine caussa interpretes offendunt in generali hac enuntiatione: quando fortia facta perfeceris. Consulto omittit genitivum ἐκείνων aut similem, ne videatur postulare, ut illorum antiquorum fortitudinem aequet, sed eum vult fortitudinis in se spectatae documenta edere.

ἔναυλον] Vocabulum subtiliter adhibetur tum de sermone, quo tamquam tibiae sono aures personant, tum de re qualibet, cujus adhuc recens est memoria. Accurate exposuit de vocabulo Ruhnkenius ad Tim. Lex. p. 100.

63. πολλάκις-διεξῄει] Διεξιέναι, oratione persequi, enarrare, solet junctum habere accusativum rei, quae enarratur. Hinc Marklandus conjecit οὓς sc. πόνους pro ὅς. Sed animo Aeschinis obversabatur sequens enuntiatio ἔφη γὰρ cet. tamquam objectum: quasi dictum sit διεξῄει τόδε.

εἴ τις εἰσίοι γραφὴν] Codicibus obsecutus sic edidit Bekkerus. In editis est γραφῇ. Utramque constructionem Atticis usitatam esse monui supra ad c. 36.

γραφὴν παρανόμων εἰς δικαστήριον, εἶναι ὅμοιον τὸ ὄνομα καὶ τὸ ἔργον. τί γάρ ἐστιν ἀνοσιώτερον ἀνδρὸς παράνομα λέγοντος καὶ πράττοντος; καὶ τὴν ἀκρόασιν, ὡς ἐκεῖνος ἀπήγγελλεν, ου τον αὐτὸν τρόπον ἐποιοῦντο ὥσπερ νῦν γίνεται, ἀλλ' ἦσαν πολὺ χαλεπώτεροι οἱ δικασταὶ τοῖς τὰ παράνομα γράφουσιν αὐτοῦ τοῦ κατηγόρου, καὶ πολλάκις ἀνεπόδιζον τον γραμματέα, καὶ ἐκέλευον πάλιν ἀναγινώσκειν τοὺς νόμους καὶ τὸ ψήφισμα, καὶ ἡλίσκοντο οἱ παράνομα γράφοντες, οὐκ εἰ πάντας παραπηδήσαιεν τοὺς νόμους, ἀλλ' εἰ μίαν μόνον συλλαβὴν παραλλάξαιεν. τὸ δὲ νυνὶ γινόμενον πρᾶγμα ὑπερκαταγέλαστόν ἐστιν. ὁ μὲν γὰρ γραμματεὺς ἀναγινώσκει τὸ παράνομον, οἱ δὲ δικασταὶ ὥσπερ ἐπῳδὴν ἢ ἀλλότριόν τι πρᾶγμα ἀκροώμενοι πρὸς ἑτέρῳ τινὶ τὴν γνώμην ἔχουσιν. ἤδη δ' ἐκ τῶν τεχνῶν τῶν Δημοσθένους αἰσχρὸν ἔθος ἐν τοῖς δικαστηρίοις παραδέχεσθε· μετενήνεκται γὰρ ὑμῖν

εἶναι ὅμοιον τὸ ὄνομα καὶ τὸ ἔργον] Pari culpa eos fuisse, qui contra leges locuti sint et egerint: veram tenentes sententiam, ex dictis facta nasci, et qui assuescat rebus pravis audiendis, minus eum indignari iis, qui prave agant, et minus etiam ipsum a prave factis abhorrere.

ἀνεπόδιζον τὸν γραμματέα] Jubebant scribam repetere. Pollux II, 196. ἀνεπόδιζον τὸν γραμματέα, Αἰσχίνης εἶπεν ὁ ῥήτωρ ἐπὶ τοῦ πάλιν ἀναγινώσκειν ἐποίουν. καὶ ἀναποδιζόμενα ὁ Ἀντιφῶν τὰ πάλιν ἐξεταζόμενα.

τὸ δὲ νυνὶ γινόμενον πρᾶγμα ὑπερκαταγέλαστόν ἐστιν] Hunc locum ante oculos habuit et imitatus est auctor libelli de puerorum educatione pag. 4 A. ἐπεὶ νῦν γε τὸ γινόμενον πολλοῖς ὑπερκαταγέλαστόν ἐστιν. ubi vide Wyttenbachium. Ὑπερκαταγέλαστον rarum est.

ἐπῳδὴν] Tropicum vocabulum explicat proprio ἢ ἀλλότριόν τι πρᾶγμα, ducta metaphora ab epodis in carminibus lyricis, quae soleat breviores esse strophis, et plerumque stropharum additamenta continent, non res novas.

ἤδη δ' - παραδέχεσθε] Reiskius offensus constructione particulae ἤδη cum praesenti vel aoristum παραδέξασθε vel perfectum παραδέ-

τὰ τῆς πόλεως δίκαια. ὁ μὲν γὰρ κατήγορος ἀπολογεῖται, ὁ δὲ φεύγων τὴν γραφὴν κατηγορεῖ, οἱ δὲ δικασταὶ ἐνίοτε ὧν μέν εἰσι κριταὶ ἐπιλανθάνονται, ὧν δὲ οὐκ εἰσὶ δικασταί, περὶ τούτων ἀναγκάζονται τὴν ψῆφον φέρειν, λέγει δὲ ὁ φεύγων, ἐὰν ἄρα ποτὲ ἅψηται τοῦ πράγματος, οὐχ ὡς ἔννομα γέγραφεν, ἀλλ' ὡς ἤδη ποτὲ καὶ πρότερον ἕτερος τοιαῦτα γράψας ἀπέφυγεν. ἐφ' ᾧ καὶ νυνὶ μέγα φρονεῖν ἀκούω Κτησιφῶντα. 64. ἐτόλμα δ' ἐν ὑμῖν ποτὲ σεμνύνεσθαι Ἀριστοφῶν ἐκεῖνος ὁ Ἀζηνιεὺς λέγων, ὅτι γραφὰς παρανόμων πέφευγεν ἑβδομήκοντα καὶ πέντε. ἀλλ' οὐχὶ ὁ Κέφαλος, ὁ παλαιὸς ἐκεῖνος, ὁ δοκῶν δημοτικώτατος γεγονέναι, οὐχ οὕτως, ἀλλ' ἐπὶ τοῖς ἐναντίοις ἐφιλοτιμεῖτο, λέγων, ὅτι πλεῖστα πάντων γεγραφὼς ψηφίσματα, οὐδεμίαν πώποτε γραφὴν πέφευγε παρανόμων, καλῶς, οἶμαι, σεμνυνόμενος. ἐγράφοντο γὰρ ἀλλήλους παρανόμων οὐ μόνον οἱ διαπολιτευόμενοι, ἀλλὰ καὶ οἱ φίλοι τοὺς

δεχθεὶ substituendum censet. ἤδη h. l. est, ut haud raro legitur, augentis in oratione progrediente quin etiam, atque etiam.

64. Ἀριστοφῶν ἐκεῖνος ὁ Ἀζηνιεὺς]. Vide supra ad c. 43.

Κέφαλος ὁ παλαιὸς ἐκεῖνος] Videtur is esse, de quo Suidas s. v. Κέφαλος Ἀθηναῖος, ῥήτωρ καὶ δημάγωγος, ὃς πρῶτος προοίμιον καὶ ἐπιλόγους συνιέθεικε. γέγονε δὲ ἐπὶ τῆς ἀναρχίας. Cephalum, ut virum probum, patriae amantem, et auctoritate, quam bonis artibus peperisset, pollentem laudat Demosthenes περὶ στεφ. p. 310. s. Dinarchus κατὰ Δημοσθ. p. 31. Tres erant oratores Cephalorum nomine, quos distinguit Taylor in vita Lysiae p. 103. n. 5. Reisk., quos vero Tzetzes confuderat Chil. V, 34. laudem tamen scribens in eum, de quo hic sermo est:

οὗτος καὶ δικαιότατος ἁπάντων ἦν ῥητόρων
παρ' ὅλην τούτου τὴν ζωὴν οὐ σχὼν κατηγορίας
Ἀριστοφῶν δὲ τοὔμπαλιν ὑπῆρχε τῷ Κεφάλῳ
ἀεὶ κατηγορούμενος, νικῶν δ' ἀντιδίκους.

οἱ διαπολιτευόμενοι] Ammonius de aff. vocc. diff. s. v. Διαπολιτεύεσθαι Διαπολιτεύεσθαι, inquit, καὶ ἀντιπολιτεύεσθαι διαφέρει. Διαπολιτεύεσθαι μὲν γὰρ λέγουσι τοὺς ἐκ τῆς αὐτῆς πόλεως. ἀντιπολι-

φίλους, εἴ τι ἐξαμαρτάνοιεν εἰς τὴν πόλιν. ἐκεῖθεν δὲ τοῦτο γνώσεσθε. Ἀρχῖνος γὰρ ὁ ἐκ Κοίλης ἐγράψατο παρανόμων Θρασύβουλον τὸν Στειριέα, γράψαντά τι παρὰ τοὺς νόμους [στεφανοῦν] ἕνα τῶν συγκατελθόντων αὐτῷ ἀπὸ Φυλῆς, καὶ εἷλε, νεωστὶ γεγενημένων αὐτῷ τῶν εὐεργεσιῶν, ἃς οὐχ ὑπελογίσαντο οἱ δικασταί· ἡγοῦντο γάρ, ὥςπερ τότε αὐτοὺς φεύγοντας ἀπὸ Φυλῆς Θρασύ-

---

τεύεσθαι δὲ τοὺς ἐξ ἑτέρας δι' ἑτέρας ἀντιδιαστατοῦντας ἀλλήλοις. Θεόπομπος δὲ καὶ τοὺς ἐν μιᾷ πόλει φιλοτιμουμένους πρὸς ἀλλήλους ἀντιπολιτεύεσθαι ἔφη: undè patet, minime opus esse Wolfii conjectura ἀντιπολιτευόμενοι. Exposuit de hac verbi significatione Casaubonus ad Polyaeni Strategem. I, 21, 3. et recte ad nostrum locum animadvertit Reiskius διὰ in compositione saepe nisum in diversa significare. Respondet Latinorum di, quod est in diversas partes.

Θρασύβουλον τὸν Στειριέα] Cf. supra c. 43.

γράψαντά τι παρὰ τοὺς νόμους [στεφανοῦν] ἕνα cet.] Uncis inclusit Bekkerus στεφανοῦν, quod deest in d f, ut suppositum. Recte, opinor. Nec enim, si Thrasybulus decretum tulisset, ut unus eorum, qui ex Phyle redierant, coronaretur, id in se legibus contrarium fuisset; hoc contrarium fuisset, si v. c. tulisset, ut unus χρυσῷ στεφάνῳ coronaretur: quod si fecisset, diserte hic erat exprimendum. Opinor, respici ad historiolam, quam narrat Pseudo-Plutarchus in vita Lysiae T. II. p. 835 fin. ἐφ' οἷς γράψαντος αὐτῷ (Lysiae, qui bene meritus erat de iis, qui δῆμον κατήγαγον) πολιτείαν Θρασυβούλου μετὰ τὴν κάθοδον ἐπὶ ἀναρχίας τῆς πρὸ Εὐκλείδου, ὁ μὲν δῆμος ἐκύρωσε τὴν δωρεάν, ἀπενεγκαμένου δὲ τοῦ Ἀρχίνου γραφὴν παρανόμων, διὰ τὸ ἀπροβούλευτον εἰςαχθῆναι, ἑάλω τὸ ψήφισμα. Γράφειν cum duplice accusativo est constructum; ut λέγειν τινά τι; Ferre aliquid de aliquo. Τὶ autem hic minuentis est: aliquid parvi pretii, quod formam non rem tangebat. Nempe si verbum legis stricte tenebatur, προβούλευμα senatus erat concipiendum, antequam quid ad populum ferebatur. Quod autem nullum aderat προβούλευμα, decretum Archinus παρανόμων ἐγράψατο. Br. — Sic tamen dubius haereo, an legitima sit constructio γράφειν cum duplice accusat. Certe exempla requiro; quocirca lenissima mutatione legendum conjicio: γράψαντά τι παρὰ τοὺς νόμους ἑνὶ τῶν συγκατελθόντων, quemadmodum est in loco Pseudo-Plutarchi a Bremio laudato. Orellius.

βουλος κατήγαγεν, οὕτω νῦν μένοντας ἐξελαύνειν, παρὰ τοὺς νόμους γράφοντά τι. ἀλλ' οὐ νῦν, ἀλλὰ πᾶν τοὐναντίον γίνεται. οἱ γὰρ ἀγαθοὶ στρατηγοὶ ὑμῶν, καὶ τῶν τὰς σιτήσεις τινὲς εὑρημένων ἐν τῷ πρυτανείῳ, ἐξαιτοῦνται τὰς γραφὰς τῶν παρανόμων, οὓς ὑμεῖς ἀχαρίστους εἶναι δικαίως ἂν ὑπολαμβάνοιτε. εἰ γάρ τις ἐν δημοκρατίᾳ τετιμημένος, ἐν τοιαύτῃ πολιτείᾳ, ἣν οἱ θεοὶ, καὶ οἱ νόμοι σώζουσι, τολμᾷ βοηθεῖν τοῖς παράνομα γράφουσι, καταλύει τὴν πολιτείαν, ὑφ' ἧς τετίμηται. 65. Τίς οὖν ἀποδέδεικται λόγος ἀνδρὶ δικαίῳ συνηγόρῳ καὶ σώφρονι; ἐγὼ λέξω. εἰς τρία μέρη διαιρεῖται ἡ ἡμέρα, ὅταν εἰσίῃ γραφὴ παρανόμων εἰς τὸ δικαστήριον. ἐγχεῖται γὰρ τὸ μὲν πρῶτον ὕδωρ τῷ κατηγόρῳ, καὶ τοῖς νόμοις, καὶ τῇ δημοκρατίᾳ, τὸ δὲ δεύτερον ὕδωρ, τῷ τὴν γραφὴν φεύγοντι, καὶ τοῖς εἰς αὐτὸ τὸ πρᾶγμα λέγουσιν· ἐπειδὰν δὲ τῇ πρώτῃ ψήφῳ μὴ λυθῇ τὸ παράνομον, ἤδη τὸ τρίτον ὕδωρ ἐγχεῖται τῇ

ἐξαιτοῦνται τὰς γραφὰς τῶν παρανόμων] Ἐξαιτεῖσθαι varias habet deposcendi significationes. Hic est veniam rogare, enixe petere, ut ignoscatur, ut poena remittatur. Construitur cum accusativo vel hominis, qui peccavit, et pro quo venia petitur; vel criminis. Demosthenes in Mid. p. 426. §. 27. παιδία γὰρ παραστήσεται, καὶ κλαιήσει, καὶ τούτοις αὐτὸν ἐξαιτήσεται, ubi hunc reorum morem illustrat Buttmannus Euripidis Androm. 53. ss.

> ᾔτησε Φοῖβον, πατρὸς οὗ τίνειν δίκην,
> εἴ πως τὰ πρόσθεν σφάλματ' ἐξαιτούμενος
> θεὸν παράσχοιτ' ἐς τὸ λοιπὸν εὐμενῆ.

65. ἀνδρὶ δικαίῳ συνηγόρῳ καὶ σώφρονι] Nimium aestuat Taylor, ut ἀνδρὶ pro additamento habeat. Ἀνδρὶ δικαίῳ καὶ σώφρονι est dativus objecti, συνηγόρῳ dativus appositionis. „Quaenam oratio attributa est homini justo et sobrio, qui patroni partes suscipit?"

εἰς τρία μέρη] Cf. ad παραπρ. 25. ἐν διαμεμετρημένῃ ἡμέρᾳ.

ἐπειδὰν δὲ τῇ πρώτῃ ψήφῳ μὴ λυθῇ τὸ παράνομον] Nempe absoluta accusatione et defensione primum judices in suffragia ibant, an reus crimine teneretur, nec ne. Si reum innocentem esse plura suffragia testarentur, ab omni poena liber erat, ἀπέφυγε. Sin noxius declarabatur, tum demum poenae fiebat aestimatio.

τιμήσει καὶ τῷ μεγέθει τῆς ὀργῆς τῆς ὑμετέρας. ὅςτις μὲν οὖν ἐν τῇ τιμήσει τὴν ψῆφον αἰτεῖ, τὴν ὀργὴν τὴν ὑμετέραν παραιτεῖται· ὅςτις δὲ ἐν τῷ πρώτῳ λόγῳ τὴν ψῆφον αἰτεῖ, ὅρκον αἰτεῖ, νόμον αἰτεῖ, δημοκρατίαν αἰτεῖ, ὧν οὔτε αἰτῆσαι οὐδὲν ὅσιον οὐδενὶ, οὔτ᾽ αἰτηθέντα ἑτέρῳ δοῦναι. κελεύσατε οὖν αὐτοὺς, ἐάσαντας ὑμᾶς τὴν πρώτην ψῆφον κατὰ τοὺς νόμους διενεγκεῖν, ἀπαντᾶν εἰς τὴν τίμησιν. 66. *ὅλως δ᾽ ἔγωγε, ὦ Ἀθηναῖοι, ὀλίγου δέω εἰπεῖν, ὡς καὶ νόμον δεῖ τεθῆναι ἐπὶ ταῖς γραφαῖς μόνον ταῖς παρανόμων, μὴ ἐξεῖναι μήτε τῷ κατηγόρῳ συνηγόρους παρασχέσθαι, μήτε τῷ τὴν γραφὴν τῶν παρανόμων φεύγοντι· οὐ γὰρ ἀόριστόν ἐστι τὸ δίκαιον, ἀλλ᾽ ὡρισμένον τοῖς νόμοις τοῖς ὑμετέροις. ὥςπερ γὰρ ἐν τῇ τεκτονικῇ, ὅταν εἰδέναι βουλώμεθα τὸ ὀρθὸν καὶ τὸ μὴ, τὸν κανόνα προςφέρομεν, ᾧ διαγινώσκεται, οὕτω καὶ ἐν ταῖς γραφαῖς ταῖς τῶν παρανόμων παράκειται κανὼν τοῦ δικαίου, τουτὶ τὸ σανίδιον, καὶ τὸ ψήφισμα, καὶ οἱ παραγεγραμ-*

ψῆφον αἰτεῖ] Dicitur de eo, qui flagitat, ut in suum favorem contra jus suffragium feratur.

τὴν ὀργὴν τὴν ὑμετέραν παραιτεῖται] Quod nos dicimus: clementiam vestram implorat.

ὅρκον αἰτεῖ] Flagitat, ut sua caussa perjurinm admittatis; *νόμον αἰτεῖ*, flagitat, ut negligatis legem; *δημοκρατίαν αἰτεῖ*, flagitat, ut a rationibus democratiae deficiatis. Hunc locum ut exemplum *ἐπιμονῆς* affert Tiberius rhetor p. 51. Boiss. *ἐπιμονή ἐστιν, ὅταν τις πλείω ῥήματα ὀρθὰ ἀλλήλοις ἐπιβάλλῃ.* Amat rhetoricam hanc figuram Aeschines. c. 66. fin. *κλέπτεις τὴν ἀκρόασιν, βλάπτεις τὴν πόλιν, καταλύεις τὴν δημοκρατίαν.* 67. *ἐπὶ σαυτὸν καλεῖς, ἐπὶ τοὺς νόμους καλεῖς, ἐπὶ τὴν δημοκρατίαν καλεῖς.*

ψῆφον – διενεγκεῖν] *Διαφέρειν ψῆφος* dicitur de pluribus, qui viritim suffragia de eadem re ferunt. Isocrates *περὶ ἀντιδόσεως* p. 9. fin. Orell. *λέγειν ὥσπερ ἐγὼ νῦν περὶ τοὺς μέλλοντας περὶ ἐμαυτοῦ τὴν ψῆφον διοίσειν.* Xenophon Sympos. V, 3. *ἀλλὰ διαφερόντων, ἔφη, τὰς ψήφους.*

66. *τουτὶ τὸ σανίδιον*] Cf. supra c. 10. Quod sequitur *καὶ*, est explicativum id est. Nempe in *σανιδίῳ* inscriptum erat *ψήφισμα καὶ οἱ παραγεγραμμένοι νόμοι.*

μένοι νόμοι. ταῦτα συμφωνοῦντα ἀλλήλοις ἐπιδείξας κατάβαινε, καὶ τί δεῖ σε Δημοσθένην παρακαλεῖν; ὅταν δὲ ὑπερπηδήσας τὴν δικαίαν ἀπολογίαν παρακαλῇς κακοῦργον ἄνθρωπον, καὶ τεχνίτην λόγων, κλέπτεις τὴν ἀκρόασιν, βλάπτεις τὴν πόλιν, καταλύεις τὴν δημοκρατίαν. 67. τίς οὖν ἐστὶν ἀποτροπὴ τῶν τοιούτων λόγων; ἐγὼ ἐρῶ. ἐπειδὰν προςελθὼν ἐνταυθοῖ Κτησιφῶν διεξέλθῃ πρὸς ὑμᾶς τοῦτο δὴ τὸ συντεταγμένον αὐτῷ προοίμιον, ἔπειτ᾽ ἐνδιατρίβῃ καὶ μὴ ἀπολογῆται, ὑπομνήσατ᾽ αὐτὸν ἄνευ θορύβου τὸ σανίδιον λαβεῖν, καὶ τοὺς νόμους τῷ ψηφίσματι παραναγνῶναι· ἐὰν δὲ μὴ προςποιῆται ὑμῶν ἀκούειν, μηδὲ ὑμεῖς ἐκείνου ἐθέλετε ἀκούειν. οὐ γὰρ τῶν φευγόντων τὰς οὐ δικαίας ἀπολογίας εἰςεληλύθατε ἀκροασόμενοι, ἀλλὰ τῶν ἐθελόντων δικαίως ἀπολογεῖσθαι. ἐὰν δὲ ὑπερπηδήσας τὴν δικαίαν ἀπολογίαν Δημοσθένην παρακαλῇ, μάλιστα μὲν μὴ προςδέχεσθε κακοῦργον ἄνθρωπον, οἰόμενον ῥήμασι τοὺς νόμους ἀναιρήσειν, μηδ᾽ ἐν ἀρετῇ τοῦθ᾽ ὑμῶν μηδεὶς καταλογιζέσθω, ὃς ἂν ἐπανερομένου Κτη-

ὑπερπηδήσας τὴν δικαίαν ἀπολογίαν] Ὑπερπηδᾶν levi pede aliquid praeterire et migrare, quasi rem parvi momenti. Demosthenes κατὰ Ἀριστοκρ. p. 644. τηλικαῦτα καὶ τοιαῦτα δικαστήρια καὶ νόμιμα - οὕτως ἀναιδῶς ὑπερπεπήδηκε.

κακοῦργον ἄνθρωπον] „Haec verba arguunt Demosthenem maleficiorum et injuriarum in rempublicam; suo itaque loco sunt posita. Agitur enim de legum περὶ τῶν παρανόμων vi infringenda, et detrimento inde in reipublicae formam redundante. Hujus rei culpa quum in Demosthenem jam supra c. 4. confertur, eodem nomine κακοῦργον σοφιστὴν eum insignitum videas. Ita et κακουργήματα Demosthenis c. 29. explicanda sunt. Non igitur vereor, ne quis alteram lectionem πανοῦργον hoc loco praeferendam ducat.“ Wunderlich.

κλέπτεις τὴν ἀκρόασιν] Quomodo intelligendum sit, apparet ex c. 50., ubi junguntur κλέπτων τὴν ἀκρόασιν καὶ μιμούμενος τοὺς τἀληθῆ λέγοντας, quod Latini dicunt, decipere aures.

67. μάλιστα μὲν μὴ προςδέχεσθε] Optimum fuerit, si aditum ad suggestum ei non concedatis.

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

ὑμῶν καὶ τῶν νόμων καταπεφρονηκότα. καὶ τὰς ἐσομένας πρὸς ταῦτα προφάσεις εἶπον, ἃς ἀξιῶ καὶ ὑμᾶς διαμνημονεύειν. δεύτερον δ' ὑμῖν διεξῆλθον τοὺς περὶ τῶν κηρυγμάτων νόμους· ἐν οἷς διαῤῥήδην ἀπείρηται τὸν ὑπὸ τοῦ δήμου στεφανούμενον μὴ κηρύττεσθαι ἔξω τῆς ἐκκλησίας. ὁ δὲ ῥήτωρ ὁ φεύγων τὴν γραφὴν οὐ τοὺς νόμους μόνον παραβέβηκεν, ἀλλὰ καὶ τὸν καιρὸν τῆς ἀναῤῥήσεως καὶ τὸν τόπον, κελεύων οὐκ ἐν τῇ ἐκκλησίᾳ, ἀλλ' ἐν τῷ θεάτρῳ τὴν ἀνάῤῥησιν γίνεσθαι, οὐδὲ ἐκκλησιαζόντων Ἀθηναίων, ἀλλὰ μελλόντων τραγῳδῶν εἰσιέναι. ταῦτα δ' εἰπὼν μικρὰ μὲν περὶ τῶν ἰδίων εἶπον, τὰ δὲ πλεῖστα περὶ τῶν δημοσίων ἀδικημάτων λέγω. 69. οὕτω δὴ καὶ τὸν Δημοσθένην ἀξιώσατε ἀπολογεῖσθαι, πρὸς τὸν τῶν ὑπευθύνων νόμον πρῶτον, καὶ τὸν περὶ τῶν κηρυγμάτων δεύτερον, τρίτον δὲ τὸ μέγιστον λέγω, ὡς οὐδὲ ἄξιός ἐστι τῆς δωρεᾶς· ἐὰν δ' ὑμῶν δέηται συγχωρῆσαι αὐτῷ περὶ τῆς τάξεως τοῦ λόγου, κατεπαγγελλόμενος ὡς ἐπὶ τῇ τελευτῇ τῆς ἀπολογίας λύσει τὸ παράνομον, μὴ συγχωρεῖτε, μηδ' ἀγνοεῖθ' ὅτι πάλαισμα

τὰ δὲ πλεῖστα περὶ τῶν δημοσίων ἀδικημάτων λέγω] Λέγω, i. e. id jam ago, ut explanem, offendit Marklandum, et omittunt Coisl. et Mead., c d f. At ex eo argumento paullo ante digressus erat. Miram rationem iniit Reiske, distinctione περὶ τῶν δημοσίων, ἀδικημάτων λέγω, de publicis, injuriis inquam, locum sublevans. Quam languida oratio fiat, non necesse est, ut demonstrem." Wunderlich. Vide notam, quae sequitur. — λέγω equidem h. l. simpliciter interpretor: de publicis potissimum injuriis verba facio (in hac ipsa oratione.) Orellius.

69. τρίτον δὲ, τὸ μέγιστον λέγω] Λέγω cum nomine saepissime dicitur, ubi nos ex nostra ratione nonnisi nomen ponimus. Cf. Valckenaër ad Phoen. 994. In Graeco sermone tamen nomen, cui additur, ut grave notatur, reddique potest λέγω, et quidem, ut h. l.

ὅτι πάλαισμα τοῦτ' ἐστὶ δικαστηρίου] Πάλαισμα significat astutam rationem vincendi adversarium, qua utebantur pugiles in certaminibus. Translatum ad alias res significat callidum quodvis consilium et vafrum.

τοῦτ' ἐστὶ δικαστηρίου. οὐ γὰρ εἰςαῦθίς ποτε βούλεται πρὸς τὸ παράνομον ἀπολογεῖσθαι, ἀλλ' οὐδὲν ἔχων δίκαιον εἰπεῖν, ἑτέρων παρεμβολῇ πραγμάτων εἰς λήθην ὑμᾶς βούλεται τῆς κατηγορίας ἐμβαλεῖν. ὥςπερ οὖν ἐν τοῖς γυμνικοῖς ἀγῶσιν ὁρᾶτε τοὺς πύκτας περὶ τῆς στάσεως ἀλλήλοις διαγωνιζομένους, οὕτω καὶ ὑμεῖς ὅλην τὴν ἡμέραν ὑπὲρ τῆς πόλεως περὶ τῆς τάξεως αὐτῷ τοῦ λόγου μάχεσθε, καὶ μὴ ἐᾶτε αὐτὸν εἰς τοὺς ἔξω τοῦ παρανόμου λόγους περιΐστασθαι, ἀλλ' ἐγκαθήμενοι καὶ ἐνεδρεύοντες

Scholiastae explicant *παλαίσματα* τὰ ἀγωνίσματα, οἷς βούλεταί τις καταπαλαῖσαι τὸν ἀντίδικον, **Fechterstreich.** **Exponit haec** Victorius Varr. Lectt. II, 10.

ἑτέρων παρεμβολῇ πραγμάτων] **Cf. ad Tim. 68.**

ἐξηλέγχθης - - ὑφῃρημένος] Demosthenes περὶ στεφ. p. 260. audacter provocat ad suam integritatem, etiamsi multa sibi oblata sint, si destiterit a lege roganda: καίτοι πόσα χρήματα τοὺς ἡγεμόνας τῶν συμμοριῶν, ἢ τοὺς δευτέρους καὶ τρίτους οἴεσθέ μοι διδόναι (obtulisse) ὥστε μάλιστα μὲν μὴ θεῖναι τὸν νόμον τοῦτον, εἰ δὲ μὴ, καταβαλόντα ἐᾶν ἐν ὑπωμοσίᾳ; (aut si tulerim, allata excusatione eam oblivioni tradere) τοσαῦτ', ὦ ἄνδρες Ἀθηναῖοι, ὅσα ὀκνήσαιμ' ἂν ἐγὼ πρὸς ὑμᾶς εἰπεῖν. Dinarchus autem κατὰ Δημοσθ. p. 33. turpis eum venalitatis accusat: εἰσί τινες ἐν τῷ δικαστηρίῳ τῶν ἐν τοῖς τριακοσίοις (intelligit ad functionem trierarchiae delectos) γεγενημένους, ὅθ' οὗτος ἐτίθει τὸν περὶ τριηράρχων νόμον. οὐ φράσετε τοῖς πλησίον, ὅτι τρία τάλαντα λαβὼν μετέγραφε καὶ μετεσκεύασε τὸν νόμον καθ' ἑκάστην

ἢ ὅτε Ἀθηναῖοι τὴν ἐν Νάξῳ ναυμαχίαν Λακεδαιμονίους καὶ Πόλλιν ἐνίκησαν; οὕτω δὲ ταῖς αἰτίαις ἐνέφραξας τὰς κατὰ σαυτοῦ τιμωρίας, ὥστε τὸν κίνδυναν εἶναι μὴ σοὶ

ἐκκλησίαν; Aeschines autem hic Demosthenem affirmat a se convictum esse, civitati suffuratum quinque et sexaginta naves. „Wem soll die Nachwelt glauben, welche ein Urtheil aus den Berichten lügenhafter Redner bilden will? Mich dünkt, für Demosthenes stimmt die Sache selbst, und die öffentliche Meinung über sein ganzes Staatsleben." Boeckh Staatsh. II. p. 116.

Πόλλιν] Diodor. Sic. XV, 34. *Τῶν δὲ ναυτικῶν κατὰ τοὺς αὐτοὺς καιροὺς* (Ol. C, 4.) *ἐγένετο μεγάλη ναυμαχία μεταξὺ Νάξου καὶ Πάρου διὰ τοιαύτας αἰτίας. Πόλλις ὁ τῶν Λακεδαιμονίων ναύαρχος, πυθόμενος σίτων πλῆθος ἐν ὁλκάσι παρακομίζεσθαι τοῖς Ἀθηναίοις, ἐφήδρευε καὶ παρετήρει τὸν κατάπλουν τῆς κομιζομένης ἀγορᾶς, διανοούμενος ἐπιθέσθαι ταῖς ὁλκάσιν. ἃ δὴ πυθόμενος ὁ δῆμος τῶν Ἀθηναίων ἐξέπεμψε στόλον παραφυλάξοντα τὴν σιτοπεμπίαν, καὶ διέπεμψεν εἰς τὸν Πειραιέα τὴν κομιζομένην ἀγοράν. μετὰ δὲ ταῦτα Χαβρίας μὲν ὁ τῶν Ἀθηναίων ναύαρχος μετὰ στόλου παντὸς πλεύσας ἐπὶ τὴν Νάξον, συνεστήσατο πολιορκίαν, προςαγαγὼν δὲ τοῖς τείχεσι μηχανὰς καὶ διὰ τούτων σαλεύσας τὰ τείχη, σπουδὴν εἰςεφέρετο βίᾳ κρατῆσαι τῆς πόλεως. ἅμα δὲ τούτοις πραττομένοις Πόλλις ὁ τῶν Λακεδαιμονίων ναύαρχος, κατέπλευσε βοηθήσων τοῖς Ναξίοις. γενομένης δὲ φιλοτιμίας ἀμφότεροι συγκατέβησαν εἰς ναυμαχίαν καὶ τὰς ναῦς διατάξαντες ἐπέπλεον ἀλλήλοις. εἶχε δὲ τριήρεις ὁ μὲν Πόλλις ἑξήκοντα καὶ πέντε, ὁ δὲ Χαβρίας ὀγδοήκοντα καὶ τρεῖς. ἐπιπλεουσῶν δὲ τῶν νεῶν ἀλλήλαις Πόλλις μὲν ἡγούμενος τοῦ δεξιοῦ κέρως πρῶτος ἐνέβαλε ταῖς ἀντιτεταγμέναις τριήρεσιν ἐπὶ τοῦ λαιοῦ κέρατος, ὧν ἡγεῖτο Κήδων ὁ Ἀθηναῖος. ἀγωνισάμενος δὲ λαμπρῶς αὐτόν τε τὸν Κήδωνα διέφθειρε καὶ τὴν ναῦν κατεβύθισεν. ὁμοίως δὲ καὶ τοῖς ἄλλοις συμβαλὼν καὶ τοῖς ἐμβόλοις ἀναῤῥήττων ἃς μὲν διέφθειρεν, ἃς δὲ φυγεῖν ἠνάγκασεν. ἃ δὴ κατιδὼν ὁ Χαβρίας, καὶ μέρος τῶν περὶ αὐτὸν νεῶν ἐκπέμψας ἐβοήθησε τοῖς πιεζομένοις, καὶ τὴν ἧτταν τῶν ἰδίων διωρθώσατο, αὐτὸς δ' ἔχων τὸ κράτιστον τοῦ στόλου, καὶ γενναίως ἀγωνισάμενος, πολλὰς μὲν τριήρεις διέφθειρεν, οὐκ ὀλίγας δ' αἰχμαλώτους ἔλαβε.*

οὕτω δὲ ταῖς αἰτίαις ἐνέφραξας cet.] Sensus est: Quum tibi poena metuenda sit, tu, partibus mutatis, accusas eos, qui te in judicium produxerunt, ita ut, quamvis ipsi sint insontes, ob calliditatem tuam et perfidiam in maximo discrimine versentur, tu autem quasi innoxius evadas.

τῷ ἀδικήσαντι, ἀλλὰ τοῖς ἐπεξιοῦσι, πολὺν μὲν τὸν Ἀλέξανδρον καὶ τὸν Φίλιππον ἐν ταῖς διαβολαῖς φέρων, αἰτιώμενος δέ τινας ἐμποδίζειν τοὺς τῆς πόλεως καιροὺς, ἀεὶ το παρὸν λυμαινόμενος, τὸ δὲ μέλλον κατεπαγγελλόμενος. 76. οὐ τὸ τελευταῖον εἰσαγγέλλεσθαι μέλλων ὑπ᾽ ἐμοῦ, τὴν Ἀναξίνου σύλληψιν τοῦ Ὠρείτου κατεσκεύασας, τοῦ τὰ ἀγοράσματα Ὀλυμπιάδι ἀγοράζοντος, καὶ τὸν αὐτὸν ἄνδρα διεστρέβλωσας τῇ σαυτοῦ χειρὶ, γράψας αὐτὸν θανάτῳ ζημιῶσαι, καὶ παρὰ τῷ αὐτῷ ἐν Ὠρεῷ κατήγου, καὶ ἀπὸ τῆς αὐτῆς τραπέζης ἔφαγες καὶ ἔπιες καὶ ἔσπεισας, καὶ τὴν δεξιὰν ἐνέβαλες, ἄνδρα φίλον καὶ ξένον ποιούμενος, καὶ τοῦτον ἀπέκτεινας, καὶ περὶ τούτων ἐν ἅπασιν Ἀθηναίοις ἐξελεγχθεὶς ὑπ᾽ ἐμοῦ, καὶ κληθεὶς ξενοκτονος, οὐ τὸ ἀσέβημα ἠρνήσω, ἀλλ᾽ ἀπεκρίνω, ἐφ᾽ ᾧ ἀνεβόησεν ὁ δῆμος, καὶ ὅσοι ξένοι περιέστασαν τὴν ἐκκλησίαν· ἔφησθα γὰρ τοὺς τῆς πόλεως ἅλας περὶ πλείονος ποιήσασθαι τῆς ξενικῆς τραπέζης. ἐπιστολὰς δὲ σιγῶ ψευδεῖς, καὶ κατασκόπων συλλήψεις, καὶ βασάνους ἐπ᾽ αἰτίαις ἀγενήτοις, ὡς ἐμοῦ μετά τινων ἐν τῇ πόλει νεωτερίζειν βουλομένου. ἔπειτα ἐπερωτᾷν με, ὡς ἐγὼ πυνθάνομαι, μέλλει, τίς ἂν εἴη τοιοῦτος ἰατρὸς, ὅστις τῷ νοσοῦντι μεταξὺ μὲν ἀσθενοῦντι μηδὲν συμβουλεύοι, τελευτήσαντος δὲ αὐτοῦ ἐλθὼν εἰς τὰ ἔνατα διεξιοι πρὸς τοὺς

πολὺν] Cf. ad Tim. 68.

76. εἰσαγγέλλεσθαι μέλλων] Cf. ad παραπρ. 39. de εἰσαγγελίᾳ.

Ἀναξίνου] Ratione hujus Anaxini Aeschini haec exprobrat Demosthenes περὶ στεφ. p. 272. s. πάλιν μετὰ ταῦθ᾽ ὕστερον Ἀναξίνῳ τῷ κατασκόπῳ συνιὼν εἰς τὴν Θράσωνος οἰκίαν ἐλήφθη. καί τοι ὅς τις τῷ ὑπὸ τῶν πολεμίων πεμφθέντι μόνος μόνῳ συνῄει καὶ ἐκοινολογεῖτο, οὗτος αὐτὸς ὑπῆρχε τῇ φύσει κατάσκοπος καὶ πολέμιος τῇ πατρίδι.

τοὺς τῆς πόλεως ἅλας] Cf. ad παραπρ. c. 7. et adde Blomfield ad Aeschyli Agam. Gloss. v. 392.

ἔνατα] Sacra, quae manibus nono die a funere elato offerebantur; (efferri solebat autem mortuus die tertio post quam exspi-

οἰκείους, ἃ ἐπιτηδεύσας, ὑγιὴς ἂν ἐγένετο· σαυτὸν δ' οὐκ ἀντερωτᾷς, τίς ἂν εἴη δημαγωγὸς τοιοῦτος, ὅςτις τὸν μὲν δῆμον θωπεῦσαι δύναιτο, τοὺς δὲ καιροὺς, ἐν οἷς ἦν σώζεσθαι τὴν πόλιν, ἀποδοῖτο, τοὺς δ' εὖ φρονοῦντας κωλύοι διαβάλλων συμβουλεύειν, ἀποδρὰς δ' ἐκ τῶν κινδύνων, καὶ τὴν πόλιν ἀνηκέστοις κακοῖς περιβαλὼν, ἀξιοῖ στεφανοῦσθαι ἐπ' ἀρετῇ, ἀγαθὸν μὲν πεποιηκὼς μηδὲν, πάντων δὲ τῶν κακῶν αἴτιος γεγονὼς, ἐπερωτῴη δὲ τοὺς συκοφαντηθέντας ἐκ τῆς πολιτείας ἐπ' ἐκείνων τῶν καιρῶν, ὅτε ἐνῆν σώζεσθαι, διὰ τί αὐτὸν οὐκ ἐκώλυσαν ἐξαμαρτάνειν· ἀποκρύπτοιτο δὲ τὸ πάντων τελευταῖον, ὅτι τῆς μάχης ἐπιγενομένης οὐκ ἐσχολάζομεν περὶ τὴν σὴν εἶναι τιμωρίαν, ἀλλ' ὑπὲρ τῆς σωτηρίας τῆς πόλεως ἐπρεσβεύομεν· ἐπειδὴ δὲ οὐκ ἀπέχρη σοι δίκην μὴ δεδωκέναι, ἀλλὰ καὶ δωρεὰς αἰτεῖς, καταγέλαστον ἐν τοῖς Ἕλλησι τὴν πόλιν

---

taverat) haec faciebant consanguinei et familiares; exclusi ab his erant defunctis invisi, molesti. Ad exequias usque funera in atrio proponebantur. Br. — Τοῖς ἐνάτοις comparari possunt feriae denicales Romanorum: distinguenda sunt ab iisdem τὰ γενέσια, de quibus vide Lobeck. ad Phrynich. p. 104. Orellius.

τοὺς συκοφαντηθέντας ἐκ τῆς πολιτείας] Parum recte, opinor, vertitur: quos ob reipublicae rationem insectatus est. Videtur potius hoc dici: qui per calumnias a rerum publicarum administratione depulsi sunt. Demosthenes περὶ στεφ. p. 273. jungit eadem, ni fallor, significatione ὑποσκελίζειν καὶ συκοφαντεῖν.

ἀποκρύπτοιτο] Hanc lectionem, quam Reiskius meram Stephani de suo depravationem appellat, Bekkerus recepit ex a b e g h k l pro vulgato ἀποκρίνοιντο. Ex morata oratione in propriam progreditur earum rerum narrationem, quas crimini vertere vult Demostheni, et in iis haec est primaria, quod celare studeat, civi patriae vere amanti multo graviora fuisse facienda, quam accusare in judicio eos, qui patriam in tantum discrimen praecipitaverint, patriam scilicet ipsam a ruina, quae illi minitabatur, defendere. Ἀποκρίνοιντο nec ex regulis grammaticis nec ex sententia aptum.

τῷ ἀδικήσαντι, ἀλλὰ τοῖς ἐπεξιοῦσι, πολὺν μὲν τὸν Ἀλέξανδρον καὶ τὸν Φίλιππον ἐν ταῖς διαβολαῖς φέρων, αἰτιώμενος δέ τινας ἐμποδίζειν τοὺς τῆς πόλεως καιροὺς, ἀεὶ τὸ παρὸν λυμαινόμενος, τὸ δὲ μέλλον κατεπαγγελλόμενος. 76. οὐ τὸ τελευταῖον εἰςαγγέλλεσθαι μέλλων ὑπ' ἐμοῦ, τὴν Ἀναξίνου σύλληψιν τοῦ Ὠρείτου κατεσκεύασας, τοῦ τὰ ἀγοράσματα Ὀλυμπιάδι ἀγοράζοντος, καὶ τὸν αὐτὸν ἄνδρα διεστρέβλωσας τῇ σαυτοῦ χειρὶ, γράψας αὐτὸν θανάτῳ ζημιῶσαι, καὶ παρὰ τῷ αὐτῷ ἐν Ὠρεῷ κατήγου, καὶ ἀπὸ τῆς αὐτῆς τραπέζης ἔφαγες καὶ ἔπιες καὶ ἔσπεισας, καὶ τὴν δεξιὰν ἐνέβαλες, ἄνδρα φίλον καὶ ξένον ποιούμενος, καὶ τοῦτον ἀπέκτεινας, καὶ περὶ τούτων ἐν ἅπασιν Ἀθηναίοις ἐξελεγχθεὶς ὑπ' ἐμοῦ, καὶ κληθεὶς ξενοκτόνος, οὐ τὸ ἀσέβημα ἠρνήσω, ἀλλ' ἀπεκρίνω, ἐφ' ᾧ ἀνεβόησεν ὁ δῆμος, καὶ ὅσοι ξένοι περιέστασαν τὴν ἐκκλησίαν· ἔφησθα γὰρ τοὺς τῆς πόλεως ἅλας περὶ πλείονος ποιήσασθαι τῆς ξενικῆς τραπέζης. ἐπιστολὰς δὲ σιγῶ ψευδεῖς, καὶ κατασκόπων συλλήψεις, καὶ βασάνους ἐπ' αἰτίαις ἀγενήτοις, ὡς ἐμοῦ μετά τινων ἐν τῇ πόλει νεωτερίζειν βουλομένου. ἔπειτα ἐπερωτᾷν με, ὡς ἐγὼ πυνθάνομαι, μέλλει, τίς ἂν εἴη τοιοῦτος ἰατρὸς, ὅςτις τῷ νοσοῦντι μεταξὺ μὲν ἀσθενοῦντι μηδὲν συμβουλεύοι, τελευτήσαντος δὲ αὐτοῦ ἐλθὼν εἰς τὰ ἔνατα διεξίοι πρὸς τοὺς

πολὺν] Cf. ad Tim. 68.

76. εἰςαγγέλλεσθαι μέλλων] Cf. ad παραπρ. 39. de εἰςαγγελίᾳ.

Ἀναξίνου] Ratione hujus Anaxini Aeschini haec exprobrat Demosthenes περὶ στεφ. p. 272. s. πάλιν μετὰ ταῦθ' ὕστερον Ἀναξίνῳ τῷ κατασκόπῳ συνιὼν εἰς τὴν Θράσωνος οἰκίαν ἐλήφθη. καίτοι ὅς τις τῷ ὑπὸ τῶν πολεμίων πεμφθέντι μόνος μόνῳ συνῄει καὶ ἐκοινολογεῖτο, οὗτος αὐτὸς ὑπῆρχε τῇ φύσει κατάσκοπος καὶ πολέμιος τῇ πατρίδι.

τοὺς τῆς πόλεως ἅλας] Cf. ad παραπρ. c. 7. et adde Blomfield ad Aeschyli Agam. Gloss. v. 392.

ἔνατα] Sacra, quae manibus nono die a funere elato offerebantur; (efferri solebat autem mortuus die tertio post quam expi-

οἰκείους, ἃ ἐπιτηδεύσας, ὑγιὴς ἂν ἐγένετο· σαυτὸν δ᾽ οὐκ ἀντερωτᾷς, τις ἂν εἴη δημαγωγὸς τοιοῦτος, ὅςτις τὸν μὲν δῆμον θωπεῦσαι δύναιτο, τοὺς δὲ καιροὺς, ἐν οἷς ἦν σώζεσθαι τὴν πόλιν, ἀποδοῖτο, τοὺς δ᾽ εὖ φρονοῦντας κωλύοι διαβάλλων συμβουλεύειν, ἀποδρὰς δ᾽ ἐκ τῶν κινδύνων, καὶ τὴν πόλιν ἀνηκέστοις κακοῖς περιβαλὼν, ἀξιοῖ στεφανοῦσθαι ἐπ᾽ ἀρετῇ, ἀγαθὸν μὲν πεποιηκὼς μηδὲν, πάντων δὲ τῶν κακῶν αἴτιος γεγονὼς, ἐπερωτῴη δὲ τοὺς συκοφαντηθέντας ἐκ τῆς πολιτείας ἐπ᾽ ἐκείνων τῶν καιρῶν, ὅτε ἐνῆν σώζεσθαι, διὰ τί αὐτὸν οὐκ ἐκώλυσαν ἐξαμαρτάνειν· ἀποκρύπτοιτο δὲ τὸ πάντων τελευταῖον, ὅτι τῆς μάχης ἐπιγενομένης οὐκ ἐσχολάζομεν περὶ τὴν σὴν εἶναι τιμωρίαν, ἀλλ᾽ ὑπὲρ τῆς σωτηρίας τῆς πόλεως ἐπρεσβεύομεν· ἐπειδὴ δὲ οὐκ ἀπέχρη σοι δίκην μὴ δεδωκέναι, ἀλλὰ καὶ δωρεὰς αἰτεῖς, καταγέλαστον ἐν τοῖς Ἕλλησι τὴν πόλιν

---

raverat) haec faciebant consanguinei et familiares; exclusi ab his erant defunctis invisi, molesti. Ad exequias usque funera in atrio proponebantur. Br. — Τοῖς ἐνάτοις comparari possunt feriae denicales Romanorum: distinguenda sunt ab iisdem τὰ γενέσια, de quibus vide Lobeck. ad Phrynich. p. 104. Orellius.

τοὺς συκοφαντηθέντας ἐκ τῆς πολιτείας] Parum recte, opinor, vertitur: quos ob reipublicae rationem insectatus est. Videtur potius hoc dici: qui per calumnias a rerum publicarum administratione depulsi sunt. Demosthenes περὶ στεφ. p. 273. jungit eadem, ni fallor, significatione ὑποσκελίζειν καὶ συκοφαντεῖν.

ἀποκρύπτοιτο] Hanc lectionem, quam Reiskius meram Stephani de suo depravationem appellat, Bekkerus recepit ex a b e g h k l pro vulgato ἀποκρίνοιντο. Ex morata oratione in propriam progreditur earum rerum narrationem, quas crimini vertere vult Demostheni, et in iis haec est primaria, quod celare studeat, civi patriae vere amanti multo graviora fuisse facienda, quam accusare in judicio eos, qui patriam in tantum discrimen praecipitaverint, patriam scilicet ipsam a ruina, quae illi minitabatur, defendere. Ἀποκρίνοιντο nec ex regulis grammaticis nec ex sententia aptum.

ποιῶν, ἐνταῦθ᾽ ἐνέστην, καὶ τὴν γραφὴν ἀπήνεγκα. 77. καὶ νὴ τοὺς θεοὺς τοὺς Ὀλυμπίους, ὧν ἐγὼ πυνθάνομαι Δημοσθένην λέξειν, ἐφ᾽ ᾧ νυνὶ μέλλω λέγειν, ἀγανακτῶ μάλιστα. ἀφομοιοῖ γάρ μου τὴν φύσιν ταῖς Σειρῆσιν, ὡς ἔοικε. καὶ γὰρ ὑπ᾽ ἐκείνων οὐ κηλεῖσθαί φησι τοὺς ἀκροωμένους, ἀλλ᾽ ἀπόλλυσθαι. διόπερ οὐδ᾽ εὐδοκιμεῖν τὴν τῶν Σειρήνων μουσικήν· καὶ δὴ καὶ τὴν τῶν ἐμῶν λόγων ἐμπειρίαν, καὶ τὴν φύσιν μου γεγενῆσθαι ἐπὶ βλάβῃ τῶν

ἐνέστην] Ἐνίστασθαι dicitur de hominibus, qui irruenti hosti inopinato fortiter se opponunt, vel etiam ipsi invadunt. Translatum ad forum est alicuius tentaminibus obsistere, et hic explicatur per additum τὴν γραφὴν ἀπήνεγκα.

77. ἀγανακτῶ μάλιστα]. Vulgo ἀγανακτῶν μ. Quod conjecit Brodaeus, in uno tantum codice Bekkeri l invenitur, videtur tamen necessarium, quum ad novum momentum Aeschines transeat, et ex omni enuntiationis colore hoc separet ab antecedentibus.

κηλεῖσθαι] Κηλεῖν verbum proprium est de carminibus et orationibus, quae magica quadam vi auditorum animos commovent. Suidas s. v. κηλούμενος· τερπόμενος, θελγόμενος, οἷον αὐλοῖς καὶ ἡδυφωνίαις. Κηλοῦμαι γὰρ τὸ ὑπ᾽ αὐλῶν ἥδομαι.

διόπερ οὐδ᾽ εὐδοκιμεῖν τὴν τῶν Σειρήνων μουσικήν] Nimium fastidiosus est Taylor, si hoc tamquam futile et ab hoc loco alienum glossema exterminandum censet. Est hoc ex eo genere, quo oratores, si adversarium inducunt loquentem, puerilia saepe ei tribuunt; hanc animadversionem appellaverim leviter ironicam. Pro τῶν Σειρήνων vulgo legitur τῶν εἰρημένων. Alterum recte dedit Bekkerus ex omnibus suis codd. praeter d f n. Si Reiskius opinatur, qui locutione τῶν εἰρημένων, tamquam peregrina, offendantur, eos parum cognitum habere Polybium, oblitus est, illos Polybium non habuisse exemplum Atticae dictionis, sed existimabant Atticis hanc formulam scriptoribus usitatam non fuisse.

τῶν ἐμῶν λόγων ἐμπειρίαν] Nimium scrupulosi erant viri docti, qui putabant, Demosthenem Aeschini silentium et dicendi raritatem exprobrantem, eidem λόγων ἐμπειρίαν tribuere non potuisse. Nec Demosthenes hanc ipsi tribuit. Sed Aeschines Demosthenis calumniam περὶ στεφ. p. 328., quem locum supra c. 75. laudavi, ita in suum honorem interpretatur. Br. — Altera certe lectio plurium Msorum εὐπορίαν non habet, cur praeferatur. Orellius.

ἀκουόντων. καίτοι τὸν λόγον τοῦτον ὅλως μὲν ἔγωγε οὐδενὶ πρέπειν ἡγοῦμαι περὶ ἐμοῦ λέγειν. τῆς γὰρ αἰτίας αἰσχρὸν τὸν αἰτιώμενόν ἐστι τὸ ἔργον μὴ ἔχειν ἐπιδεῖξαι· εἰ δ᾽ ἦν ἀναγκαῖον ῥηθῆναι, οὐ Δημοσθένους ἦν ὁ λόγος, ἀλλ᾽ ἀνδρὸς στρατηγοῦ, μεγάλα μὲν τὴν πόλιν κατειργασμένου, λέγειν δὲ ἀδυνάτου, καὶ τὴν τῶν ἀντιδίκων διὰ τοῦτο ἐζηλωκότος φύσιν, ὅτι σύνοιδεν ἑαυτῷ μὲν οὐδὲν ὧν διαπέπρακται δυναμένῳ φράσαι, τὸν δὲ κατήγορον ὁρᾷ δυνάμενον, καὶ τὰ μὴ πεπραγμένα ὑφ᾽ ἑαυτοῦ παριστάναι τοῖς ἀκούουσιν ὡς διῴκηκεν. ὅταν δ᾽ ἐξ ὀνομάτων συγκείμενος ἄνθρωπος καὶ τούτων πικρῶν καὶ περιέργων, ἔπειτα ἐπὶ τὴν ἁπλότητα καὶ τὰ ἔργα καταφεύγῃ, τίς ἂν ἀνάσχοιτο; οὗ τὴν γλῶτταν, ὥσπερ τῶν αὐλῶν, ἐάν τις ἀφέλῃ, τὸ λοιπὸν οὐδέν ἐστι. Θαυμάζω

τῆς γὰρ αἰτίας cet.] Grammaticus vocabulorum ordo hic est: αἰσχρὸν γάρ ἐστι τὸν αἰτιώμενον μὴ ἔχειν ἐπιδεῖξαι τὸ ἔργον τῆς αἰτίας. Τὸ ἔργον τῆς αἰτίας est veritas criminationis, quae vertitur in certo facto, de quo dubitari non potest.

μεγάλα μὲν τὴν πόλιν κατειργασμένου] Sic dedit Bekkerus ex e h k l, pro vulgato τῇ πόλει. Ἐργάζεσθαι et synonyma apud Atticos scriptores ex regula cum duplice accusativo construuntur, eumque in lectionis varietate praeferendum censeo. Si Dativus personae ab omnibus Mss. teneatur, eum non ausim de conjectura mutare. Sobrie de hac re egit Fischerus ad Weller. P. III, a. p. 429. s.

ἐξ ὀνομάτων συγκείμενος ἄνθρωπος καὶ τούτων πικρῶν καὶ περιέργων] Contra has Aeschinis criminationes defendit Demosthenem Dionysius Halicarn. in libro περὶ τῆς λεκτικῆς Δημοσθένους δεινότητος. c. 55. s., ostendens orationis πικρότητα, suo loco adhibitam, et ita, ut Demosthenes ea usus sit, laudem esse, non vitium. Περιεργίαν rhetores nominabant affectationem ornatus, malam sedulitatem in ornando et poliendo, quam s u p e r v a c u a m o p e r o s i t a t e m dicit Quintilianus Institt. L. VIII, 3, 55. Ab hoc vitio vindicat Dionysius Demosthenem, ostendens, eum in τοῖς δημοσίοις ἀγῶσι πρὸς τὸ μέγεθος καὶ ἀξίωμα τῶν ὑποθέσεων ἀποβλέψαι, nihil amplius.

οὗ τὴν γλῶσσαν, ὥσπερ τῶν αὐλῶν, ἐάν τις ἀφέλῃ, τὸ λοιπὸν οὐδέν ἐστι] Antonius et Maximus Serm. XXVIII. fin. hanc sententiam

δ' ἔγωγε ὑμῶν, ὦ Ἀθηναῖοι, καὶ ζητῶ, πρὸς τί ἂν ἀποβλέποντες ἀποψηφίσαισθε τὴν γραφήν. πότερ' ὡς τὸ ψήφισμά ἐστιν ἔννομον; ἀλλ' οὐδεμία πώποτε γνώμη παρανομωτέρα γεγένηται. ἀλλ' ὡς ὁ τὸ ψήφισμα γράψας οὐκ ἐπιτήδειός ἐστι δίκην δοῦναι; οὐκ ἄρα εἰσὶ παρ' ὑμῖν εὐθύναι βίου, εἰ τοῦτον ἀφήσετε. ἐκεῖνο δ' οὐ λυπηρόν, εἰ πρότερον μὲν ἐνεπίμπλατο ἡ ὀρχήστρα χρυσῶν στεφάνων, οἷς ὁ δῆμος ἐστεφανοῦτο ὑπὸ τῶν Ἑλλήνων, διὰ τὸ ξενικοῖς στεφάνοις ταύτην ἀποδεδόσθαι τὴν ἡμέραν· ἐκ δὲ τῶν Δημοσθένους πολιτευμάτων ὑμεῖς μὲν ἀστεφάνωτοι καὶ ἀκήρυκτοι γίνεσθε, οὗτος δὲ κηρυχθήσεται; καὶ εἰ μέν τις τῶν τραγικῶν

Demadi tribuunt: Δημάδης τοὺς Ἀθηναίους εἴκαζεν αὐλοῖς, ὧν εἴ τις ἀφέλοι τὴν γλῶτταν, τὸ λοιπὸν οὐδέν ἐστι. Faceta sane comparatio! Quod si enim hoc tempore Athenienses erant satis loquentes et diserti, plerumque etiam gloriosi, in agendo tamen inertissimi, et languore suo et desidia nimium quantum verborum vanitatem testabantur.

ζητῶ] Vulgo ζητῶ πυθέσθαι: quod quum tantum in c d f Bekkerus inveniret, recte πυθέσθαι ut additamentum grammatici ejecit. Ζητεῖν enim apud optimos interdum est interrogare, et adjunctam habet notionem desiderii.

οὐκ ἐπιτήδειός ἐστι δίκην δοῦναι] Scaliger ad Manilium p. 172. „Attici, inquit, hominem ἐπιτήδειον vocabant, quem Sallustius (Jug. 20.) opportunum injuriae. Sic Plutarchus scribit tyrannos Athenarum interfecisse primum invisissimum omnium Sycophantam, qui quia primo loco sese obtulerat neque propter publicum odium latere poterat, ab ea re ἐπιτήδειος vocatus est. Verba ejus ἐν τῇ περὶ σαρκοφαγίας haec sunt. οὕτω τοι καὶ οἱ τυραννοῦντες ἄρχουσι μιαιφονίας, ὥσπερ ἀπὸ τῶν πρώτων ἀπέκτειναν Ἀθήνησι τὸν κάκιστον τῶν συκοφαντῶν, ὃς ἐπιτήδειος προσηγορεύθη, καὶ δεύτερον ὁμοίως καὶ τρίτον." Demosthenes κατὰ Ἀνδροτ. p. 610. καί τοί γε εἰ τισιν ἄρα δοκοῦσιν ἐπιτήδειαι ἐκεῖναι (αἱ πόρναι) παθεῖν, ἀλλὰ τὸ πρᾶγμά γε οὐκ ἐπιτήδειον γίνεσθαι, τηλικοῦτόν τινας φρονεῖν διὰ καιρόν, ὥστε βαδίζειν ἐπ' οἰκίας, καὶ σκεύη φέρειν μηδὲν ὀφειλόντων ἀνθρώπων.

ποιητῶν τῶν μετὰ ταῦτα ἐπειςαγόντων, ποιήσειεν ἐν τραγῳδίᾳ τὸν Θερσίτην ὑπὸ τῶν Ἑλλήνων στεφανούμενον, οὐδεὶς ἂν ὑμῶν ὑπομείνειεν, ὅτι φησὶν Ὅμηρος ἄνανδρον αὐτὸν εἶναι καὶ συκοφάντην· αὐτοὶ δ', ὅταν τὸν τοιοῦτον ἄνθρωπον στεφανῶτε, οὐκ οἴεσθε ἐν ταῖς τῶν Ἑλλήνων δόξαις συρίττεσθαι; οἱ μὲν γὰρ πατέρες ὑμῶν τὰ ἔνδοξα καὶ λαμπρὰ τῶν πραγμάτων ἀνετίθεσαν τῷ δήμῳ, τὰ δὲ ταπεινὰ καὶ καταδεέστερα εἰς τοὺς ῥήτορας τοὺς φαύλους ἔτρεπον· Κτησιφῶν δ' ὑμᾶς οἴεται δεῖν ἀφελόντας τὴν ἀδοξίαν ἀπὸ Δημοσθένους περιθεῖναι τῷ δήμῳ. 78. καὶ φατὲ μὲν εὐτυχεῖς εἶναι, ὡς καὶ ἐστέ, καλῶς ποιοῦντες· ψηφιεῖσθε δὲ ὑπὸ μὲν τῆς τύχης ἐγκαταλελεῖφθαι, ὑπὸ Δημοσθένους δὲ εὖ πεπονθέναι, καί, τὸ πάντων ἀτοπώτατον, ἐν τοῖς αὐτοῖς δικαστηρίοις, τοὺς μὲν τὰς τῶν δώρων γραφὰς ἁλισκομένους ἀτιμοῦτε, ὃν δ' αὐτοὶ μισθοῦ πολιτευόμενον σύνιστε, στεφανώσετε; καὶ τοὺς μὲν κριτὰς τοὺς ἐκ Διονυσίων, ἐὰν μὴ δικαίως

ἐπειςαγόντων] Sc. δράματα. Taylor cum Wolfio scribens ἐπειςιόντων non attendit ad subjectum ποιητῶν, quum, monente Fischero ad Wellerum III, a. p. 256., ἐπειςιέναι non de poëtis sed de histrionibus dicatur. Ἐπειςάγειν autem est verbum proprium de poëtis, qui inducunt fabulas. Cf. Schäfer ad Bosii Ell. p. 118. s.

78. ἀνετίθεσαν.] Quum ἀνατιθέναι de donariis inprimis dicebatur, quae Diis consecrabantur, in genere significationem accepit, aliquid tamquam ornamentum alicui tribuere. Xenophon Ἀπομν. IV, 6, 15. ἔφη δὲ καὶ Ὅμηρον τῷ Ὀδυσσεῖ ἀναθεῖναι τὸ ἀσφαλῆ ῥήτορα εἶναι.

καλῶς ποιοῦντες] Hanc formulam, significantem jure, merito, illustravit D'Orvillius ad Chariton. p. 296. s. Lips. Mihi in quibusdam locis, ut hic, inesse videtur lenis ironia, quemadmodum in similibus formulis, v. c. ἀγαθῇ τύχῃ, cum bona fortuna.

τοὺς μὲν κριτὰς τοὺς ἐκ Διονυσίων] Eosdem intelligit, quos Demosthenes in Mid. p. 520. appellat τοὺς κριτὰς τῶν ἀγῶνι τῶν ἀνδρῶν: qui judices sedebant certaminis, eumque coronabant, qui praestantissimus judicatus erat. Videntur iidem fuisse, ad quos deferendae

τοὺς κυκλίους χοροὺς κρίνωσι, ζημιοῦτε· αὐτοὶ δὲ οὐ κυκλίων χορῶν κριταὶ καθεστηκότες, ἀλλὰ νόμων καὶ πολιτικῆς ἀρετῆς, τας δωρεὰς οὐ κατὰ τοὺς νόμους, οὐδ' ὀλίγοις καὶ τοῖς ἀξίοις, ἀλλὰ τῷ διαπραξαμένῳ δώσετε; ἔπειτ' ἔξεισιν ἐκ τοῦ δικαστηρίου ὁ τοιοῦτος κριτης, ἑαυτὸν μὲν ἀσθενῆ πεποιηκώς, ἰσχυρὸν δὲ τὸν ῥήτορα. ἀνὴρ γὰρ ἰδιώτης ἐν πόλει δημοκρατουμένῃ, νόμῳ καὶ ψήφῳ βασιλεύει· ὅταν δ' ἑτέρῳ ταῦτα παραδῷ, καταλέλυκε τὴν αὐτὸς αὑτοῦ δυναστείαν. ἔπειθ' ὁ μὲν ὅρκος, ὃν ὀμωμοκὼς δικάζει, συμπαρακολουθῶν αὐτὸν λυπεῖ· δι' αὐτὸν γάρ, οἶμαι, γέγονε τὸ ἁμάρτημα· ἡ δὲ χάρις πρὸς ὃν ἐχαρίζετο ἄδηλος γεγένηται· ἡ γὰρ ψῆφος ἀφανὴς φέρεται. 79. δοκοῦμεν δ' ἔμοιγε, ὦ Ἀθηναῖοι, ἀμφότερα καὶ κατορθοῦν καὶ παρακινδυνεύειν εἰς τὴν πολιτείαν οὐ σω-

---

erant eorum querelae, qui per festum injurias se passos esse opinabantur, et quibus censura Archontis ejusque curationis demandata erat. De κυκλίοις χοροῖς vide ad Tim. 5.

ὁ τοιοῦτος κριτὴς] Scholiastes: ἐνταῦθα καταχρηστικῶς εἶπε κριτὴν τὸν δικαστήν. Κριτὴς γὰρ ὁ κρίνων τοὺς τραγῳδοὺς καὶ τοὺς ἄλλους τοὺς ἐπὶ σκηνῆς.

συμπαρακολουθῶν αὐτὸν λυπεῖ] Jurisjurandi violatio perpetua memoria furiarum instar conscientiam terret et vexat.

δι' αὐτὸν γὰρ cet.] Non enim palam suffragia ferebantur, sed factum singuli soli in occulto patrabant. Ut igitur facinus ipsius est, ita etiam ipsius morsus poenitentiae. Gratiam autem si quam exspectavit, ea habenda est ab alio, qui nescit, utrum alter eam meruerit, ea ipsa de caussa, quod suffragia ferebantur in occulto.

πρὸς ὃν ἐχαρίζετο] J. e. πρὸς τοῦτον, ᾧ ἐχαρίζετο. Cf. ad Tim. 62.

79. καὶ κατορθοῦν καὶ παρακινδυνεύειν εἰς τὴν πολιτείαν οὐ σωφρονοῦντες] Brachylogice hoc dictum. Sententia haec est: Quemadmodum non est mirum, per nostram nos imprudentiam in administrandis rebus civilibus, in magna incurrisse pericula, sic ne ea quidem, quae nobis commodo esse possint, nobis debentur ipsis, sed fortunae; nec nos quidquam facimus ad rem juvandam et regendam, verum, quam obtulit opportunitatem fortuna, ea non utimur, sed abutimur.

φρονοῦντες. ὅτι μὲν γὰρ ἐπὶ τῶν νῦν καιρῶν οἱ πολλοὶ τοῖς ὀλίγοις προΐεσθε τὰ τῆς δημοκρατίας ἰσχυρὰ, οὐκ ἐπαινῶ· ὅτι δ' οὐ γεγένηται φορὰ καθ' ἡμᾶς ῥητόρων πονηρῶν ἅμα καὶ τολμηρῶν, εὐτυχοῦμεν. πρότερον μὲν γὰρ τοιαύτας φύσεις ἤνεγκε τὸ δημόσιον, αἳ ῥᾳδίως οὕτω κατέλυσαν τὸν δῆμον· ἔχαιρε γὰρ κολακευόμενος· ἔπειτ' αὐτὸν, οὐχ οὓς ἐφοβεῖτο, ἀλλ' οἷς ἑαυτὸν ἐνεχείριζε, κατέλυσαν· ἔνιοι δὲ καὶ αὐτοὶ τῶν τριάκοντα ἐγένοντο, οἱ

τὰ τῆς δημοκρατίας ἰσχυρὰ] Firma democratiae praesidia, quae sunt posita in legum severitate et observantia, in depellendis a republica hominibus callidis, qui adulatione et assentatione ad voluptatem omnia loquuntur et agunt, nihil ad veritatem. Demosthenes κατὰ Τιμοκρ. p. 748. τί γὰρ κωλύει, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ οὗτος χαίρων ἀπαλλάξει, ὁ τοιοῦτον νόμον θεὶς, ἕτερον φανῆναι ἄλλο τι τῶν τῆς πόλεως ἰσχυροτάτων καταλύσαντα νόμῳ καινῷ;

φορὰ - ῥητόρων] Φέρειν, ut Latinorum ferre, dicitur de terra, quae fructus profert. Hinc φορὰ proventus, in quo saepe inest notio copiae et multitudinis. Hinc tropice de hominum copia, quos aetas fert, significatione bona et mala. Nota est apud Demosthenem περὶ στεφ. p. 245. φορὰ προδοτῶν - τοσαύτη, ὅσην οὐδείς πω πρότερον μέμνηται γεγονυῖαν: ubi scholiastes: φορὰν τροπικῶς εἶπε· φορὰ γὰρ εἴωθε λέγεσθαι ἐπὶ σίτου ἢ ἄλλων καρπῶν φερομένων ἐν ἑκάστῳ ἐνιαυτῷ. Exempla tropica habet Wesselingius ad Diodor. Sic. XVI, 51.

κατέλυσαν] Taylor, offensus tam vicina ejusdem vocabuli repetitione conjecit priore loco scribendum κατεκήλησαν; sed hoc mitius est pro re, quam Aeschines exprimere vult. Est enim hoc omnium oratorum proprium, ut homines permulceant et deliniant; verum πονηροὶ et τολμηροὶ non id solum sectantur, sed non acquiescunt, donec homines pessum dederunt. Et hoc quidem his oratoribus facile cessisse testatur Aeschines, populi ipsius culpa, qui adulatione occoecabatur, et, dum verborum blanditiae aures circumsonabant, non attendebat ruinam imminentem. Verbum autem idem repetitur, quoniam haec notio unice spectanda erat, et inprimenda. Br. — Si quid mutandum, Tayloriano κατεκήλησαν longe praestaret κατέκλυσαν a κατακλύζω: facile sic populi mentem suae orationis volubilitate obruebant, transversamque agebant. Orellius.

τοὺς κυκλίους χοροὺς κρίνωσι, ζημιοῦτε· αὐτοὶ δὲ οὐ κυκλίων χορῶν κριταὶ καθεστηκότες, ἀλλὰ νόμων καὶ πολιτικῆς ἀρετῆς, τὰς δωρεὰς οὐ κατὰ τοὺς νόμους, οὐδ' ὀλίγοις καὶ τοῖς ἀξίοις, ἀλλὰ τῷ διαπραξαμένῳ δώσετε; ἔπειτ' ἔξεισιν ἐκ τοῦ δικαστηρίου ὁ τοιοῦτος κριτής, ἑαυτὸν μὲν ἀσθενῆ πεποιηκώς, ἰσχυρὸν δὲ τὸν ῥήτορα. ἀνὴρ γὰρ ἰδιώτης ἐν πόλει δημοκρατουμένῃ, νόμῳ καὶ ψήφῳ βασιλεύει· ὅταν δ' ἑτέρῳ ταῦτα παραδῷ, καταλέλυκε τὴν αὐτὸς αὑτοῦ δυναστείαν. ἔπειθ' ὁ μὲν ὅρκος, ὃν ὀμωμοκὼς δικάζει, συμπαρακολουθῶν αὐτὸν λυπεῖ· δι' αὐτὸν γάρ, οἶμαι, γέγονε τὸ ἁμάρτημα· ἡ δὲ χάρις πρὸς ὃν ἐχαρίζετο ἄδηλος γεγένηται· ἡ γὰρ ψῆφος ἀφανὴς φέρεται. 79. δοκοῦμεν δ' ἔμοιγε, ὦ Ἀθηναῖοι, ἀμφότερα καὶ κατορθοῦν καὶ παρακινδυνεύειν εἰς τὴν πολιτείαν οὐ σω-

---

erant eorum querelae, qui per festum injurias se passos esse opinabantur, et quibus censura Archontis ejusque curationis demandata erat. De κυκλίοις χοροῖς vide ad Tim. 5.

ὁ τοιοῦτος κριτής] Scholiastes: ἐνταῦθα καταχρηστικῶς εἶπε κριτὴν τὸν δικαστήν. Κριτὴς γὰρ ὁ κρίνων τοὺς τραγῳδοὺς καὶ τοὺς ἄλλους τοὺς ἐπὶ σκηνῆς.

συμπαρακολουθῶν αὐτὸν λυπεῖ] Jurisjurandi violatio perpetua memoria furiarum instar conscientiam terret et vexat.

δι' αὐτὸν γὰρ cet.] Non enim palam suffragia ferebantur, sed factum singuli soli in occulto patrabant. Ut igitur facinus ipsius est, ita etiam ipsius morsus poenitentiae. Gratiam autem si quam exspectavit, ea habenda est ab alio, qui nescit, utrum alter eam meruerit, ea ipsa de caussa, quod suffragia ferebantur in occulto.

πρὸς ὃν ἐχαρίζετο] I. e. πρὸς τοῦτον, ᾧ ἐχαρίζετο. Cf. ad Tim. 62.

79. καὶ κατορθοῦν καὶ παρακινδυνεύειν εἰς τὴν πολιτείαν οὐ σωφρονοῦντες] Brachylogice hoc dictum. Sententia haec est: Quemadmodum non est mirum, per nostram nos imprudentiam in administrandis rebus civilibus, in magna incurrisse pericula, sic ne ea quidem, quae nobis commodo esse possint, nobis debentur ipsis, sed fortunae; nec nos quidquam facimus ad rem juvandam et regendam, verum, quam obtulit opportunitatem fortuna, ea non utimur, sed abutimur.

φρονοῦντες. ὅτι μὲν γὰρ ἐπὶ τῶν νῦν καιρῶν οἱ πολλοὶ τοῖς ὀλίγοις προΐεσθε τὰ τῆς δημοκρατίας ἰσχυρὰ, οὐκ ἐπαινῶ· ὅτι δ' οὐ γεγένηται φορὰ καθ' ἡμᾶς ῥητόρων πονηρῶν ἅμα καὶ τολμηρῶν, εὐτυχοῦμεν. πρότερον μὲν γὰρ τοιαύτας φύσεις ἤνεγκε τὸ δημόσιον, αἳ ῥᾳδίως οὕτω κατέλυσαν τὸν δῆμον· ἔχαιρε γὰρ κολακευόμενος· ἔπειτ' αὐτὸν, οὐχ οὓς ἐφοβεῖτο, ἀλλ' οἷς ἑαυτὸν ἐνεχείριζε, κατέλυσαν· ἔνιοι δὲ καὶ αὐτοὶ τῶν τριάκοντα ἐγένοντο, οἱ

τὰ τῆς δημοκρατίας ἰσχυρὰ] Firma democratiae praesidia, quae sunt posita in legum severitate et observantia, in depellendis a republica hominibus callidis, qui adulatione et assentatione ad voluptatem omnia loquuntur et agunt, nihil ad veritatem. Demosthenes κατὰ Τιμοκρ. p. 748. τί γὰρ κωλύει, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ οὗτος χαίρων ἀπαλλάξει, ὁ τοιοῦτον νόμον θεὶς, ἕτερον φανῆναι ἄλλο τι τῶν τῆς πόλεως ἰσχυροτάτων καταλύσαντα νόμῳ καινῷ;

φορὰ – ῥητόρων] Φέρειν, ut Latinorum ferre, dicitur de terra, quae fructus profert. Hinc φορὰ proventus, in quo saepe inest notio copiae et multitudinis. Hinc tropice de hominum copia, quos aetas fert, significatione bona et mala. Nota est apud Demosthenem περὶ στεφ. p. 245. φορὰ προδοτῶν – τοσαύτη, ὅσην οὐδείς πω πρότερον μέμνηται γεγονυῖαν: ubi scholiastes: φορὰν τροπικῶς εἶπε· φορὰ γὰρ εἴωθε λέγεσθαι ἐπὶ σίτου ἢ ἄλλων καρπῶν φερομένων ἐν ἑκάστῳ ἐνιαυτῷ. Exempla tropica habet Wesselingius ad Diodor. Sic. XVI, 51.

κατέλυσαν] Taylor, offensus tam vicina ejusdem vocabuli repetitione conjecit priore loco scribendum κατεκήλησαν; sed hoc mitius est pro re, quam Aeschines exprimere vult. Est enim hoc omnium oratorum proprium, ut homines permulceant et deliniant; verum πονηροὶ et τολμηροὶ non id solum sectantur, sed non acquiescunt, donec homines pessum dederunt. Et hoc quidem his oratoribus facile cessisse testatur Aeschines, populi ipsius culpa, qui adulatione occoecabatur, et, dum verborum blanditiae aures circumsonabant, non attendebat ruinam imminentem. Verbum autem idem repetitur, quoniam haec notio unice spectanda erat, et inprimenda. Br. — Si quid mutandum, Tayloriano κατεκήλησαν longe praestaret κατέκλυσαν a κατακλύζω: facile sic populi mentem suae orationis volubilitate obruebant, transversamque agebant. Orellius.

πλείους ἢ χιλίους καὶ πεντακοσίους τῶν πολιτῶν ἀκρίτους ἀπέκτειναν, πρὶν τὰς αἰτίας ἀκοῦσαι, ἐφ' αἷς ἔμελλον ἀποθνήσκειν, καὶ οὐδ' ἐπὶ τὰς ταφὰς καὶ ἐκφορὰς τῶν τελευτησάντων εἴων τοὺς προσήκοντας παραγίνεσθαι. οὐχ ὑφ' ὑμῖν αὐτοῖς ἕξετε τοὺς πολιτευομένους; οὐ ταπεινώσαντες ἀποπέμψετε τοὺς νῦν ἐπηρμένους; οὐ μέμνησθ', ὅτι οὐδεὶς πώποτε ἐπέθετο πρότερον τῇ τοῦ δήμου καταλύσει, πρὶν ἂν μείζω τῶν δικαστηρίων ἰσχύσῃ; 80. *Ἡδέως δ' ἂν ἔγωγε, ὦ Ἀθηναῖοι, ἐναντίον ὑμῶν ἀναλογισαίμην πρὸς τὸν γράψαντα τὸ ψήφισμα, διὰ ποίας εὐεργεσίας ἀξιοῖ Δημοσθένην στεφανῶσαι. εἰ μὲν γὰρ λέγεις, ὅθεν*

ἀκρίτους] Quum in hac notione summum insit tyrannorum crimen, ejus etiam periphrasin addit Aeschines *πρὶν τὰς αἰτίας ἀκοῦσαι.*

ἐπέθετο τῇ τοῦ δήμου καταλύσει] *Ἐπιτίθεσθαι* significat adoriri, vel vi aperta, vel dolo et insidiis. Dativus autem substantivi finis est, quem hi homines hoc impetu assequi studebant. Insidiabantur libertati et democratiae. Idem est, ac si scripsisset: *ἐπέθετο, ὥστε καταλῦσαι τὸν δῆμον.* Similiter Demosthenes *κατὰ Ἀριστοκρ.* p. 645. *οὐκ ἐπέθεντο τοῖς ἀτυχήμασιν* non id sectabantur ut infelices redderent, ut augerent infortunia. Ceterum Bekkerus omisit *τῇ τοῦ.*

80. *Ἡδέως δ' ἂν — ἀναλογισαίμην*] *Ἀναλογίζεσθαι* proprie est ejus, qui, absoluta computatione, denuo eandem repetit, ut videat, num prima fuerit justa. Ad argumentationem relatum significat praecipua argumentationis capita repetere.

εἰ μὲν γὰρ λέγεις] Marklandus mavult *λέξεις*, quoniam sequitur *εἰ δὲ ἥξεις ἐπὶ τὸ δεύτερον μέρος τοῦ ψηφ.* Utrumque recte dicitur, nec idcirco, quod Aeschines in altero membro futurum posuit, idem etiam in primo necessario ponendum erat; immo praesens mihi videtur aptius hoc sensu: Nam si etiamnum dicis. Etiam, ubi minus est caussae, variant tempora praesens et futurum. Dinarchus *κατὰ Δημοσθ.* §. 3. B. p. 4. R. *σκοποῦσι, τίνα ποτὲ γνώμην ἕξετε περὶ τῶν τῇ πατρίδι συμφερόντων· καὶ πότερον τὰς ἰδίας τούτων δωροδοκίας καὶ πονηρίας ἀναδέχεσθε εἰς ὑμᾶς αὐτούς ἢ φανερὸν πᾶσι ποιήσετε, διότι μισεῖτε τοὺς κατὰ τῆς πολιτείας δῶρα λαμβάνοντας.* Cf. etiam supra c. 32.

τὴν ἀρχὴν τοῦ ψηφίσματος ἐποιήσω, ὅτι τὰς τάφρους τὰς περὶ τὰ τείχη καλῶς ἐτάφρευσε, θαυμάζω σου. τοῦ γὰρ ταῦτα ἐξειργάσθαι καλῶς, τὸ γεγενῆσθαι τούτων αἴτιον, μείζω κατηγορίαν ἔχει. οὐ γὰρ περιχαρακώσαντα χρὴ τὰ τείχη, οὐδὲ τὰς δημοσίας ταφὰς ἀνελόντα, τὸν

γεγενῆσθαι τούτων αἴτιον] In editione Reiskii est τοῦτον, quod, non monito lectore, videtur ex Helmst. dedisse. In prima editione Bekkerus scripserat τούτου ex conjectura, in altera codd. lectionem recte revocavit. Nec offendere nos oportet in plurali pronominis, qui interdum apud Graecos et Latinos de una tantum re dicitur, praesertim ratione antecedentis enuntiationis vel propter notionis gravitatem, etiam si nonnumquam librarii aut viri docti singularem restituendum censuerunt. Demosthenes κατὰ Ἀριστοκρ. p. 623. εἰ μὲν οὖν — — τοῦτο μέγιστον Ἀριστοκράτης ἠδίκει, τὸ τοιούτου — — — τοσαύτην πεποιῆσθαι πρόνοιαν ἐν τῷ ψηφίσματι — — ταῦτ' ἂν ἤδη λέγειν πρὸς ὑμᾶς ἐπεχείρουν, ubi Marklandus pro ταῦτ' mavult τοῦτ'. κατὰ Τιμοκρ. p. 741. καὶ τί κωλύσει ἅπαντας εἶναι πονηρούς, — — — εἰ διὰ ταῦτα πλέον ἕξουσιν; διὰ ταῦτα, i. e. διὰ τὸ εἶναι πονηρούς. Reiskius conjicit διὰ τοῦτο. κατὰ Ἀφόβου A p. 815. πρῶτον μὲν οὖν ὡς συνετιμήσαντο ὑπὲρ ἐμοῦ ταύτην τὴν εἰςφορὰν, παρέξομαι τούτων μάρτυρας: ubi τούτων abest a cod. Bav. τούτου dat Aug. quint. Lysias κατὰ Ἀγορ. p. 458. εἶναι ἑτέρους, οἳ ἐροῦσι τὰ ὀνόματα, αὐτὸς δὲ οὐκ ἄν ποτε ποιῆσαι ταῦτα sc. ἐρεῖν τὰ ὀνόματα. Marklandus conjicit τοῦτο. περὶ τῆς Εὐάνδρ. δοκιμ. p. 797. ἆρ' οὐκ οἴεσθε αὐτοὺς χαλεπῶς διακείσεσθαι, καὶ ὑμᾶς αὐτῶν αἰτίους ἡγήσεσθαι, sc. τοῦ κακῶς διακεῖσθαι αὐτούς. Hujus generis sexcenta colligi possunt. Sic etiam adhibent Latini haec. Cf. Görenz. ad Ciceron. de Legg. III, 8.

περιχαρακώσαντα] Cf. supra c. 43.

τὰς δημοσίας ταφὰς ἀνελόντα] Ἀνελεῖν alii vertunt excitare, alii diruere. Sed nusquam, opinor, hoc verbum priore significatione legitur. Objicit autem Aeschines Demostheni, eum, ut muros suos, quibus tantopere gloriaretur, aedificaret, ne locis quidem sacris, v. c. sepulcris, pepercisse, quo minus ipsi impendere necesse esset: quum tamen lege vetitum sit, sepulcra violare. Cf. Ciceron. de legg. II, 26. Soli Atheniensium muri, qui auctore Themistocle Ol. LXXV, 2., adversantibus ceteris Graecis, celerrime instituti

ὀρθῶς πεπολιτευμένον δωρεὰς αἰτεῖν, ἀλλ' ἀγαθοῦ τινος αἴτιον γεγενημένον τῇ πόλει. εἰ δὲ ἥξεις ἐπὶ τὸ δεύτερον μέρος τοῦ ψηφίσματος, ἐν ᾧ τετόλμηκας γράφειν, ὡς ἔστιν ἀνὴρ ἀγαθὸς καὶ διατελεῖ λέγων καὶ πράττων τὰ ἄριστα τῷ δήμῳ τῷ Ἀθηναίων, ἀφελὼν τὴν ἀλαζονείαν καὶ τὸν κόμπον τοῦ ψηφίσματος, ἅψαι τῶν ἔργων. ἐπίδειξον ἡμῖν ὅ, τι λέγεις. τὰς μὲν γὰρ περὶ τοὺς Ἀμφισσέας καὶ τοὺς Εὐβοίας δωροδοκίας παραλείπω. ὅταν δὲ τῆς πρὸς Θηβαίους συμμαχίας τὰς αἰτίας ἀνατιθῇς Δημοσθένει, τοὺς μὲν ἀγνοοῦντας ἐξαπατᾷς, τοὺς δὲ εἰδότας καὶ αἰσθανομένους ὑβρίζεις. ἀφελὼν γὰρ τὸν καιρὸν καὶ τὴν δόξαν τὴν τούτων, δι' ἣν ἐγένετο ἡ συμμαχία, λανθάνειν οἴει ἡμᾶς τὸ τῆς πόλεως ἀξίωμα Δημοσθένει περιτιθείς. 81. ἡλίκον δ' ἐστὶ τὸ ἀλαζόνευμα τοῦτο, ἐγὼ πειράσομαι μεγάλῳ σημείῳ διδάξαι. ὁ γὰρ τῶν Περσῶν βασιλεύς, οὐ πολλῷ πρότερον χρόνῳ πρὸ τῆς Ἀλεξάνδρου διαβάσεως εἰς τὴν Ἀσίαν, κατέπεμψε τῷ δήμῳ καὶ μάλα ὑβριστικὴν καὶ βάρβαρον ἐπιστολήν, ἐν ᾗ τά τε δὴ ἄλλα καὶ μάλ' ἀπαιδεύτως διελέχθη, καὶ ἐπὶ τελευτῆς ἐνέγραψεν ἐν τῇ ἐπιστολῇ· „ἐγώ, φησίν, ὑμῖν χρυσίον οὐ δώσω. μή με αἰτεῖτε. οὐ γὰρ λήψεσθε.“ οὗτος

---

sunt, constabant ex sacellis sepulcrisque. Thucyd. I, 90. ss. Corn. Nep. Themist. c. 6.

Ἀμφισσέας] Cf. supra. c. 45. Εὐβοίας, supra c. 31. ss. Θηβαίους c. 43. ss.

τὸ τῆς πόλεως ἀξίωμα Δημοσθένει περιτιθείς] Tribuens auctoritatem, quam habebat ut legatus ex hac civitate, homini qua tali. Περιτιθέναι proprie is dicitur, qui alteri vestem induit.

81. οὐ γὰρ λήψεσθε] Fortasse respicitur ad locum Aristophanis Acharn. 100. ss. Pseudartabas, qui partes agit satrapae Persici, quasi Persice loquens barbara lingua dira opprobria jactat in Athenienses. Legatus autem Atheniensis, qui redierat ex Persia, partem in laudem et commodum Atheniensium interpretatur. Sed quum Graeca Satrapes interdum vocabula, quamvis corrupta, immisceat, intelligunt auditores opprobria.

μέντοι ὁ αὐτὸς ἐγκαταληφθεὶς ὑπὸ τῶν νυνὶ παρόντων αὐτῷ κινδύνων, οὐκ αἰτούντων Ἀθηναίων, αὐτὸς ἑκὼν κατέπεμψε τριακόσια τάλαντα τῷ δήμῳ, ἃ σωφρονῶν ὁ δῆμος οὐκ ἐδέξατο. ὁ δὲ κομίζων ἦν τὸ χρυσίον καιρὸς, καὶ φόβος, καὶ χρεία συμμάχων. τὸ δ᾽ αὐτὸ τοῦτο καὶ τὴν Θηβαίων συμμαχίαν ἐξειργάζετο. σὺ δὲ τὸ μὲν τῶν Θηβαίων ὄνομα, καὶ τὸ τῆς δυστυχεστάτης συμμαχίας ἐνοχλεῖς ἀεὶ λεγων, τὰ δ᾽ ἑβδομήκοντα τάλαντα ὑποσιωπᾷς, ἃ προλαβὼν τοῦ

Ψευδαρτάβας.	Ἰαρταμὰν ἐξάρξ᾽ ἀναπισσόναι σάτρα.
Πρέσβυς.	Ξυνήκαθ᾽ ὃ λέγει;
	Δικαιόπολις. μὰ τὸν Ἀπόλλω ᾽γὼ μὲν οὔ.
Πρ.	Πέμψειν βασιλέα φησὶν ὑμῖν χρυσίον.
	λέγε δὴ σὺ μεῖζον, καὶ σαφῶς τὸ χρυσίον.
Ψευδ.	Οὐ λῆψι χρῦσο χρυσόπρωκτ᾽ Ἰαοναῦ. i. e. οὐ λήψει χρυσὸν χρυσόπρωκτε Ἴον, οὔ.
Δικ.	Οἴμοι κακοδαίμων ὡς σαφῶς.
	Πρ. τί δ᾽ αὖ λέγει;
	Δ. τί δαὶ λέγει;

Δικ. Ο τι; Χαυνοπρώκτους τοὺς Ἰάονας (Athenienses) λέγει, εἰ προςδοκῶσι χρυσίον ἐκ τῶν βαρβάρων. Br. — Temporum tamen intervallum obstat, quo minus de Aristophanea illa legatione h. l. verba fecisse Aeschinem suspicemur: similis tantum utrobique barbarorum erat fastus. Orellius.

καὶ τὰ ἑβδομήκοντα ὑποσιωπᾷς] Haec omnia nonnisi ex adversariis Demosthenis cognita habemus, ut incertum sit, num fidem ullam mereantur. Ipsa certe narratio est tenebricosa nec aperta. Dinarchus κατὰ Δημοσθ. p. 9. ἐχρῆν καὶ τὴν προτέραν ζήτησιν τὴν ὑπὲρ τῶν παρὰ τοῦ Περσῶν βασιλέως ζητεῖν, καθάπερ συνέταξεν ὁ δῆμος, ἵνα τότε δόντος δίκην τοῦ Θηρίου τούτου καὶ τῶν μερισαμένων ἐκεῖνα τὰ χρήματα φανερῶν γενομένων καὶ τῆς περὶ Θηβαίους προδοσίας ἐξελεγχθείσης, ἣν οὗτος προδέδωκεν, ἀπηλλάγμεθα τούτου τοῦ δημαγωγοῦ, δίκην ἀξίαν δόντος. Ex hoc loco posset concludi, hanc pecuniam a rege Persarum missam esse, ut sociis divideretur, oratores autem Athenienses eam inter se divisisse p. 11. οὐ πρὸς ἑτέροις πολλοῖς καὶ μεγάλοις ἁμαρτήμασι καὶ τὴν Θηβαίων περιεῖδεν ἀνάστατον γενομένην, τριακόσια τάλαντα λαβὼν εἰς τὴν ἐκείνων σωτηρίαν παρὰ τοῦ Περσῶν βασιλέως.

ὀρθῶς πεπολιτευμένον δωρεὰς αἰτεῖν, ἀλλ' ἀγαθοῦ τινὸς αἴτιον γεγενημένον τῇ πόλει. εἰ δὲ ἥξεις ἐπὶ τὸ δεύτερον μέρος τοῦ ψηφίσματος, ἐν ᾧ τετόλμηκας γράφειν, ὡς ἔστιν ἀνὴρ ἀγαθὸς καὶ διατελεῖ λέγων καὶ πράττων τὰ ἄριστα τῷ δήμῳ τῷ Ἀθηναίων, ἀφελὼν τὴν ἀλαζονείαν καὶ τὸν κόμπον τοῦ ψηφίσματος, ἅψαι τῶν ἔργων. ἐπίδειξον ἡμῖν ὅ, τι λέγεις. τὰς μὲν γὰρ περὶ τοὺς Ἀμφισσέας καὶ τοὺς Εὐβοέας δωροδοκίας παραλείπω. ὅταν δὲ τῆς πρὸς Θηβαίους συμμαχίας τὰς αἰτίας ἀνατιθῇς Δημοσθένει, τοὺς μὲν ἀγνοοῦντας ἐξαπατᾷς, τοὺς δὲ εἰδότας καὶ αἰσθανομένους ὑβρίζεις. ἀφελὼν γὰρ τὸν καιρὸν καὶ τὴν δόξαν τὴν τούτων, δι' ἣν ἐγένετο ἡ συμμαχία, λανθάνειν οἴει ἡμᾶς τὸ τῆς πόλεως ἀξίωμα Δημοσθένει περιτιθείς. 81. *ἡλίκον δ' ἐστὶ τὸ ἀλαζόνευμα τοῦτο, ἐγὼ πειράσομαι μεγάλῳ σημείῳ διδάξαι. ὁ γὰρ τῶν Περσῶν βασιλεύς, οὐ πολλῷ πρότερον χρόνῳ πρὸ τῆς Ἀλεξάνδρου διαβάσεως εἰς τὴν Ἀσίαν, κατέπεμψε τῷ δήμῳ καὶ μάλα ὑβριστικὴν καὶ βάρβαρον ἐπιστολήν· ἐν ᾗ τά τε δὴ ἄλλα καὶ μάλ' ἀπαιδεύτως διελέχθη, καὶ ἐπὶ τελευτῆς ἐνέγραψεν ἐν τῇ ἐπιστολῇ· „ἐγώ, φησίν, ὑμῖν χρυσίον οὐ δώσω. μή με αἰτεῖτε. οὐ γὰρ λήψεσθε.“ οὗτος*

---

sunt, constabant ex sacellis sepulcrisque. Thucyd. I, 90. ss. Corn. Nep. Themist. c. 6.

Ἀμφισσέας] Cf. supra. c. 45. *Εὐβοέας*, supra c. 31. ss. *Θηβαίους* c. 43. ss.

τὸ τῆς πόλεως ἀξίωμα Δημοσθένει περιτιθείς] Tribuens auctoritatem, quam habebat ut legatus ex hac civitate, homini qua tali. *Περιτιθέναι* proprie is dicitur, qui alteri vestem induit.

81. *οὐ γὰρ λήψεσθε*] Fortasse respicitur ad locum Aristophanis Acharn. 100. ss. Pseudartabas, qui partes agit satrapae Persici, quasi Persice loquens barbara lingua dira opprobria jactat in Athenienses. Legatus autem Atheniensis, qui redierat ex Persia, partem in laudem et commodum Atheniensium interpretatur. Sed quum Graeca Satrapes interdum vocabula, quamvis corrupta, immisceat, intelligunt auditores opprobria.

μέντοι ὁ αὐτὸς ἐγκαταληφθεὶς ὑπὸ τῶν νυνὶ παρόντων αὐτῷ κινδύνων, οὐκ αἰτούντων Ἀθηναίων, αὐτὸς ἑκὼν κατέπεμψε τριακόσια τάλαντα τῷ δήμῳ, ἃ σωφρονῶν ὁ δῆμος οὐκ ἐδέξατο. ὁ δὲ κομίζων ἦν τὸ χρυσίον καιρὸς, καὶ φόβος, καὶ χρεία συμμάχων. τὸ δ' αὐτὸ τοῦτο καὶ τὴν Θηβαίων συμμαχίαν ἐξειργάζετο. σὺ δὲ τὸ μὲν τῶν Θηβαίων ὄνομα, καὶ τὸ τῆς δυστυχεστάτης συμμαχίας ἐνοχλεῖς ἀεὶ λέγων, τὰ δ' ἑβδομήκοντα τάλαντα ὑποσιωπᾷς, ἃ προλαβὼν τοῦ

Ψευδαρτάβας. Ἰαρταμὰν ἐξάρξ' ἀναπισσόναι σάτρα.
Πρέσβυς. Ξυνήκαθ' ὃ λέγει;
Δικαιόπολις. μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ.
Πρ. Πέμψειν βασιλέα φησὶν ὑμῖν χρυσίον.
λέγε δὴ σὺ μεῖζον, καὶ σαφῶς τὸ χρυσίον.
Ψευδ. Οὐ λῆψε χρῦσο χρυσόπρωκτ' Ἰαοναῦ. i. e. οὐ λήψει χρυσὸν χρυσόπρωκτε Ἴον, οὔ.
Δικ. Οἴμοι κακοδαίμων ὡς σαφῶς.
Πρ. τί δ' αὖ λέγει;
F. τί δαὶ λέγει;
Δικ. Ὅ τι; Χαυνοπρώκτους τοὺς Ἰάονας (Athenienses) λέγει, εἰ προσδοκῶσι χρυσίον ἐκ τῶν βαρβάρων. Br. — Temporum tamen intervallum obstat, quo minus de Aristophanea illa legatione h. l. verba fecisse Aeschinem suspicemur: similis tantum utrobique barbarorum erat fastus. Orellius.

καὶ τὰ ἑβδομήκοντα ὑποσιωπᾷς] Haec omnia nonnisi ex adversariis Demosthenis cognita habemus, ut incertum sit, num fidem ullam mereantur. Ipsa certe narratio est tenebricosa nec aperta. Dinarchus κατὰ Δημοσθ. p. 9. ἐχρῆν καὶ τὴν προτέραν ζήτησιν τὴν ὑπὲρ τῶν παρὰ τοῦ Περσῶν βασιλέως ζητεῖν, καθάπερ συνέταξεν ὁ δῆμος, ἵνα τότε δόντος δίκην τοῦ θηρίου τούτου καὶ τῶν μερισαμένων ἐκεῖνα τὰ χρήματα φανερῶν γενομένων καὶ τῆς περὶ Θηβαίους προδοσίας ἐξελεγχθείσης, ἣν οὗτος προδέδωκεν, ἀπηλλάγμεθα τούτου τοῦ δημαγωγοῦ, δίκην ἀξίαν δόντος. Ex hoc loco posset concludi, hanc pecuniam a rege Persarum missam esse, ut sociis divideretur, oratores autem Athenienses eam inter se divisisse p. 11. οὐ πρὸς ἑτέροις πολλοῖς καὶ μεγάλοις ἁμαρτήμασι καὶ τὴν Θηβαίων περιεῖδεν ἀνάστατον γενομένην, τριακόσια τάλαντα λαβὼν εἰς τὴν ἐκείνων σωτηρίαν παρὰ τοῦ Περσῶν βασιλέως.

βασιλικοῦ χρυσίου ἀπεστέρησας. οὐ δι' ἔνδειαν μὲν χρημάτων, ἕνεκα πέντε ταλάντων, οἱ ξένοι τοῖς Θηβαίοις τὴν ἄκραν οὐ παρέδοσαν; διὰ δὲ ἐννέα τάλαντα ἀργυρίου, πάντων Ἀρκάδων ἐξεληλυθότων, καὶ τῶν ἡγεμόνων ἑτοίμων ὄντων βοηθεῖν, ἡ πρᾶξις οὐ γεγένηται; σὺ δὲ πλουτεῖς, καὶ ταῖς ἡδοναῖς ταῖς σαυτοῦ χορηγεῖς, καὶ, τὸ κεφάλαιον, τὸ μὲν βασιλικὸν χρυσίον παρὰ τούτῳ, οἱ δὲ κίνδυνοι παρ' ὑμῖν. 82. Ἄξιον δ' ἐστὶ καὶ τὴν ἀπαιδευσίαν αὐτῶν θεωρῆσαι. εἰ γὰρ τολμήσει Κτησιφῶν μὲν Δημοσθένην παρακαλεῖν λέξοντα εἰς ὑμᾶς, οὗτος δ' ἀναβὰς ἑαυτὸν ἐγκωμιάσει, βαρύτερον τῶν ἔργων ὧν πεπόνθατε τὸ ἀκρόαμα γίνεται. ὅπου γὰρ τοὺς μὲν ὄντως ἄνδρας

διὰ ἐννέα δὲ τάλαντα] Dinarchus κατὰ Δημοσθ. p. 15. καὶ τοῦ στρατηγοῦ τῶν Ἀρκάδων Ἀστύλου ὠνίου ὄντος καὶ δέκα τάλαντα αἰτοῦντος, ὥστε ἀγαγεῖν τὴν βοήθειαν τοῖς Θηβαίοις καὶ τῶν πρεσβευτῶν ὡς τοῦτον ἐλθόντων, ὃν ᾔδεσαν ἔχοντα τὸ βασιλικὸν χρυσίον καὶ δεομένων καὶ ἱκετευόντων δοῦναι τα χρήματα εἰς τὴν τῆς πόλεως σωτηρίαν· οὐκ ἐτόλμησεν ὁ μιαρὸς οὗτος — — ἀπὸ τῶν πολλῶν χρημάτων ὧν εἶχε, δέκα μόνον τάλαντα δοῦναι.

καὶ ταῖς ἡδοναῖς σαυτοῦ χορηγεῖς] Χορηγεῖν cum dativo tropice significat choragorum more magnas impensas facere in rem. Sensus igitur: Maximas facis impensas, ut voluptatibus tuis satisfiat.

82. αὐτῶν] Ctesiphontis, Demosthenis et asseclarum.

τολμήσει] Sic dedit Bekkerus ex b e h k l pro vulgato τολμήσειε. Modorum diversitatem in hoc verbo et sequenti ἐγκωμιάσει, qua offensi erant Marklandus et Reiskius, Wunderlich defendebat. Optativus τολμήσειε, inquit, notat, Aeschinem post ea, quae monuerat c. 67., dubitare, an Ctesiphon Demosthenem advocaturus sit. Indicativus autem ἐγκωμιάσει Demostheni eam Aeschinem impudentiam tribuere significat, tamquam extemplo re suscepta se ipsum praedicaturus sit. Mihi utriusque membri eadem videtur ratio. Neque supra res dubitanter est expressa, sed ut futura. Hinc bonorum codicum auctoritati cessi.

βαρύτερον τῶν ἔργων, ἃ πεπόνθατε, τὸ ἀκρόαμα γίνεται] e h k l pro πεπόνθατε habent πεπόνθαμεν, quod legitur etiam in Bekkeri

ἀγαθοὺς, οἷς πολλὰ καὶ καλὰ σύνισμεν ἔργα, ἐὰν τοὺς καθ' ἑαυτῶν ἐπαίνους λέγωσιν, οὐ φέρομεν· ὅταν δὲ ἄνθρωπος, αἰσχύνη τῆς πόλεως γεγονὼς, ἑαυτὸν ἐγκωμιάζῃ, τίς ἂν τὰ τοιαῦτα καρτερήσειεν ἀκούων; ἀπὸ μὲν οὖν τῆς ἀναισχύντου πραγματείας, ἐὰν σωφρονῇς, ἀποστήσῃ. ποίησαι δὲ, ὦ Κτησιφῶν, διὰ σαυτοῦ τὴν ἀπολογίαν. οὐ γὰρ δήπου τοῦτό γε σκήψῃ, ὡς οὐ δυνατὸς εἶ λέγειν. καὶ γὰρ ἂν ἄτοπόν σοι συμβαίνοι, εἰ πρώην μέν ποθ' ὑπέμεινας πρεσβευτὴς ὡς Κλεοπάτραν, τὴν Φιλίππου

Anecdd. p. 372.; non male. Vividior enim est oratio, si Aeschines se cum auditoribus conjungit ratione eorum, quae passi sunt. Thomas M. ἀκούσματα κάλλιον ἢ ἀκροάματα. Moeris item ἄκουσμα Ἀττικῶς, ἀκρόαμα Ἑλληνικῶς. Verius Bekkeri Anecdd. l. l. οὐκ ἀκρόαμά φασί τινες λέγειν τοὺς Ἀττικούς. διαμαρτάνουσι δέ. καὶ γὰρ πλεονάζουσι μὲν ἐν τῇ φωνῇ (ἄκουσμα)· χρῶνται δὲ καὶ τῷ ἀκροάματι, ὡς Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. Vide intpp. ad Thomam M.

ὅταν δὲ ἄνθρωπος cet.] Oratio est ἀνακόλουθος, quam ἀκόλουθον reddidit Marklandus delenda particula δέ. Sed contra omnes libros non ausim anacoluthiam tollere. Sic enim facile pergit, quasi primo membro scripserit: ὅταν μὲν γὰρ οἱ ὄντως ἄνδρες ἀγαθοὶ καθ' ἑαυτοὺς ἐπαίνους λέγωσιν, οὐ φέρομεν.

ποίησαι δὲ] Bekkerus malit ποιήσῃ vel ποιήσει in futuro, quemadmodum praecessit ἀποστήσῃ. Equidem in vulgata acquiesco. Prius enim membrum est conditionatum: ἐὰν σωφρονῇς, ἀποστήσῃ, et ex eo, quod conditioni satisfactum sit, pendet actio futura. Imperativus autem secundi membri est absolute exhortantis et imperantis.

Κλεοπάτραν] Haec erat Philippi filia ex Olympiade, quam Ol. CXI, 1. Philippus Alexandro, fratri Olympiadis, Molossorum vel Epirotarum regi, nuptum dedit, nuptiasque magnificentissime celebravit, ut enarrat Diodorus Sic. XVI, 91. Alexander a Tarentinis, auxilia adversus Bruttios deprecantibus sollicitatus, cupide in Italiam trajecit, se sperans Italiam sibi subjecturum, sed cum omnibus copiis suis occisus est. Anno ante Chr. n. 331.

θυγατέρα, χειροτονεῖσθαι, συναχθεσθησόμενος, ἐπὶ τῇ τοῦ Μολοττῶν βασιλέως Ἀλέξανδρου τελευτῇ, νυνὶ δὲ οὐ φήσεις δύνασθαι λέγειν. ἔπειτα γυναῖκα μὲν ἀλλοτρίαν πενθοῦσαν δυνασαι παραμυθεῖσθαι, γραψας δὲ μισθοῦ ψήφισμα οὐκ ἀπολογήσῃ; 83. ἢ τοιοῦτός ἐστιν, ὃν γέγραφας στεφανοῦσθαι, οἷος μὴ γινώσκεσθαι ὑπὸ τῶν εὖ πεπονθότων, ἂν μή τίς σοι συνείπῃ; ἐπερώτησον δὴ τοὺς δικαστὰς, εἰ ἐγίνωσκον Χαβρίαν, καὶ Ἰφικράτην, καὶ Τιμόθεον, καὶ πυθοῦ παρ᾽ αὐτῶν, διὰ τί τὰς δωρεὰς αὐτοῖς ἔδοσαν, καὶ τὰς εἰκόνας ἔστησαν. ἅπαντας γὰρ ἅμα σοι ἀποκρινοῦνται, ὅτι Χαβρίᾳ μὲν, διὰ τὴν περὶ Νάξον

συναχθεσθησόμενος] Mead. et g συναχθησόμενος, et Atticistae, ut Thomas M. et Moeris, hanc formam κάλλιω καὶ Ἀττικὸν pronuntiant. Sed Atticistae saepe unum scriptorem vel unum locum respicientes rem posuerunt ut universe veram. Negari tamen non potest. formas ἀχθεσθήσομαι et ἀχθέσομαι (nam est sic scribenda) a librariis saepe confusas esse.

83. οἷος μὴ γινώσκεσθαι] „Si οἷος translatam significationem habet qui velit, qui possit, qui ad eam rem, de qua agitur, sit proclivis, paratus, intentus, semper cum infinitivo construitur et ipsum effertur eo casu, qui erat casus nominis τοιοῦτος." Haec exposuit et demonstravit Fr. W. Reitzius de prosodiae Gr. accentus inclinat. p. 92 ss.

Χαβρίαν] Chabriam ait propter pugnam navalem inter Naxum et Parum ornatum praemiis fuisse, de qua pugna exposui supra c. 75. Maxime tamen eluxit inventum ejus in proelio, quod apud Thebas fecit, quum Boeotiis subsidio venisset. Narrat id Diodorus Sic. XV, 35. Cornel. Nepos Chabr. 1. Statua in memoriam hujus rei Athenis in foro constituta est.

Ἰφικράτην] Iphicratem donarunt statua aenea, victu Prytanei, aliis praemiis, ὅτι μόραν Λακεδαιμονίων ἀπέκτεινε in bello, quod dicitur Corinthiacum, Ol. XCVI, 4. De Lacedaemoniorum mora accurate egit Fr. Manso Sparta Vol. I. P. II. p. 225., nos in tironum usum explicuimus ad Cornel. Nep. Iphicr. II, 3.

Τιμόθεον] Etiam huic statuam aeneam posuerunt Athenienses: quod primum exemplum erat, ut, quum patri populus sta-

ναυμαχίαν, Ἰφικράτει δὲ, ὅτι μόραν Λακεδαιμονίων ἀπέκτεινε, Τιμοθέῳ δὲ, διὰ τὸν περίπλουν τὸν εἰς Κέρκυραν, καὶ ἄλλοις, ὧν ἑκάστῳ πολλὰ καὶ καλὰ κατὰ τὸν πόλεμον ἔργα πέπρακται. Δημοσθένει δ', ἀντερεῦ, διὰ τί δώσετε· ὅτι δωροδόκος, ὅτι δειλὸς, ὅτι τὴν τάξιν ἔλιπε. καὶ πότερον τοῦτον τιμήσετε, ἢ ὑμᾶς αὐτοὺς ἀτιμώσετε, καὶ τοὺς ὑπὲρ ὑμῶν ἐν τῇ μάχῃ τελευτήσαντας; οὓς νομίσαθ' ὁρᾷν σχετλιάζοντας, εἰ οὗτος στεφανωθήσεται. καὶ γὰρ ἂν εἴη δεινὸν, ὦ Ἀθηναῖοι, εἰ τὰ μὲν ξύλα, καὶ τοὺς λίθους, καὶ τὸν σίδηρον, τὰ ἄφωνα καὶ ἀγνώμονα, ἐάν τῳ ἐμπεσόντα ἀποκτείνῃ, ὑπερορίζομεν, καὶ ἐάν τις αὑτὸν διαχρήσηται, τὴν χεῖρα τὴν τοῦτο πράξασαν χωρὶς τοῦ

---

tuam posuisset, filio quoque daret. Corn. Nep. Tim. 2. Haec autem expeditio in Corcyram κατ' ἐξοχὴν dicitur περίπλους. Nam primo in Thraciam navigaverat Timotheus, ut naves arcesseret, tum Graeciam circum navigavit, et Corcyram Atheniensium potestati subjecit. Cf. Xenoph. Hellen. VI, 2, 11. ss. Atticis autem haec insula Κέρκυρα nominabatur. Apud recentiores inprimis fluctuant Mss. inter Κέρκυρα et Κόρκυρα. Cf. accurate disputantem Cardinalem Quirinum in primordiis Corcyrae c. II. Latinis est Corcyra, hodie Corfù, graecis Κορφοὶ, corruptum ex Κορυφή.

ἀντερεῦ, διὰ τί δώσετε;] Sic dedit Bekkerus pro vulgato: ἐάν τις ἐρωτᾷ, διὰ τί οὐ δώσετε, φήσετε: quae est enuntiationis enervatio. Φήσετε deest in omuibus codd. praeter c f. οὐ δώσετε habent nonnisi a d g m n. Quam dedit Bekkerus lectionem, eam habent b e h k l. Ea sensim sensimque per partes corrupta est.

ἀτιμώσετε] n ἀτιμάσετε. Cf. ad Tim. 54.

σχετλιάζοντος] Cf. ad Tim. 59.

ἐάν τῳ ἐμπεσόντα ἀποκτείνῃ] Pausanias L. VI, 11, 2. Δράκων Ἀθηναίοις θεσμοὺς γράψας φονικοὺς ὑπερώρισε καὶ τὰ ἄψυχα, εἴ γε ἐμπεσόν τι ἐξ αὐτῶν ἀποκτείνειεν ἄνθρωπον, eamque legem probavit etiam Plato Legg. IX, 12. Cf. Matthiae Misc. Philoll. T. I. p. 154.

τὴν χεῖρα — — — χωρὶς τοῦ σώματος θάπτομεν] Rationem reddit Josephus ἁλώσ. L. III, 8, 5. παρ' ἑτέροις δὲ καὶ τὰς δεξιὰς τούτων τῶν νεκρῶν ἀποκόπτειν ἐκέλευσαν, αἷς ἐστρατεύσαντο καθ' ἑαυτῶν, ἡγούμενοι, καθάπερ τὸ σῶμα τῆς ψυχῆς ἀλλότριον, οὕτω καὶ τὴν χεῖρα

θυγατέρα, χειροτονεῖσθαι, συναχθεσθησόμενος, ἐπὶ τῇ τοῦ Μολοττῶν βασιλέως Ἀλέξανδρου τελευτῇ, νυνὶ δὲ οὐ φήσεις δύνασθαι λέγειν. ἔπειτα γυναῖκα μὲν ἀλλοτρίαν πενθοῦσαν δυνασαι παραμυθεῖσθαι, γραψας δὲ μισθοῦ ψήφισμα οὐκ ἀπολογήσῃ; 83. ἢ τοιοῦτός ἐστιν, ὃν γέγραφας στεφανοῦσθαι, οἷος μὴ γινώσκεσθαι ὑπὸ τῶν εὖ πεπονθότων, ἂν μή τίς σοι συνείπῃ; ἐπερώτησον δὴ τοὺς δικαστάς, εἰ ἐγίνωσκον Χαβρίαν, καὶ Ἰφικράτην, καὶ Τιμόθεον, καὶ πυθοῦ παρ' αὐτῶν, διὰ τί τὰς δωρεὰς αὐτοῖς ἔδοσαν, καὶ τὰς εἰκόνας ἔστησαν. ἅπαντας γὰρ ἅμα σοι ἀποκρινοῦνται, ὅτι Χαβρίᾳ μὲν, διὰ τὴν περὶ Νάξον

συναχθεσθησόμενος] Mead. et g συναχθησόμενος, et Atticistae, ut Thomas M. et Moeris, hanc formam κάλλιω καὶ Ἀττικὴν pronuntiant. Sed Atticistae saepe unum scriptorem vel unum locum respicientes rem posuerunt ut universe veram. Negari tamen non potest. formas ἀχθεσθήσομαι et ἀχθέσομαι (nam est sic scribenda) a librariis saepe confusas esse.

83. οἷος μὴ γινώσκεσθαι] „Si οἷος translatam significationem habet qui velit, qui possit, qui ad eam rem, de qua agitur, sit proclivis, paratus, intentus, semper cum infinitivo construitur et ipsum effertur eo casu, qui erat casus nominis τοιοῦτος.“ Haec exposuit et demonstravit Fr. W. Reitzius de prosodiae Gr. accentus inclinat. p. 92 ss.

Χαβρίαν] Chabriam ait propter pugnam navalem inter Naxum et Parum ornatum praemiis fuisse, de qua pugna exposui supra c. 75. Maxime tamen eluxit inventum ejus in proelio, quod apud Thebas fecit, quum Boeotiis subsidio venisset. Narrat id Diodorus Sic. XV, 35. Cornel. Nepos Chabr. 1. Statua in memoriam hujus rei Athenis in foro constituta est.

Ἰφικράτην] Iphicratem donarunt statua aenea, victu Prytanei, aliis praemiis, ὅτι μόραν Λακεδαιμονίων ἀπέκτεινε in bello, quod dicitur Corinthiacum, Ol. XCVI, 4. De Lacedaemoniorum mora accurate egit Fr. Manso Sparta Vol. I. P. II. p. 225., nos in tironum usum explicuimus ad Cornel. Nep. Iphicr. II, 3.

Τιμόθεον] Etiam huic statuam aeneam posuerunt Athenienses: quod primum exemplum erat, ut, quum patri populus sta-

ναυμαχίαν, Ἰφικράτει δὲ, ὅτι μόραν Λακεδαιμονίων ἀπέκτεινε, Τιμοθέῳ δὲ, διὰ τὸν περίπλουν τὸν εἰς Κέρκυραν, καὶ ἄλλοις, ὧν ἑκάστῳ πολλὰ καὶ καλὰ κατὰ τὸν πόλεμον ἔργα πέπρακται. Δημοσθένει δ', ἀντεροῦ, διὰ τί δώσετε· ὅτι δωροδόκος, ὅτι δειλὸς, ὅτι τὴν τάξιν ἔλιπε. καὶ πότερον τοῦτον τιμήσετε, ἢ ὑμᾶς αὐτοὺς ἀτιμώσετε, καὶ τοὺς ὑπὲρ ὑμῶν ἐν τῇ μάχῃ τελευτήσαντας; οὓς νομίσαθ' ὁρᾷν σχετλιάζοντας, εἰ οὗτος στεφανωθήσεται. καὶ γὰρ ἂν εἴη δεινὸν, ὦ Ἀθηναῖοι, εἰ τὰ μὲν ξύλα, καὶ τοὺς λίθους, καὶ τὸν σίδηρον, τὰ ἄφωνα καὶ ἀγνώμονα, ἐάν τῳ ἐμπεσόντα ἀποκτείνῃ, ὑπερορίζομεν, καὶ ἐάν τις αὑτὸν διαχρήσηται, τὴν χεῖρα τὴν τοῦτο πράξασαν χωρὶς τοῦ

---

tuam posuisset, filio quoque daret. Corn. Nep. Tim. 2. Haec autem expeditio in Corcyram κατ' ἐξοχὴν dicitur περίπλους. Nam primo in Thraciam navigaverat Timotheus, ut naves arcesseret, tum Graeciam circum navigavit, et Corcyram Atheniensium potestati subjecit. Cf. Xenoph. Hellen. VI, 2, 11. ss. Atticis autem haec insula Κέρκυρα nominabatur. Apud recentiores inprimis fluctuant Mss. inter Κέρκυρα et Κόρκυρα. Cf. accurate disputantem Cardinalem Quirinum in primordiis Corcyrae c. II. Latinis est Corcyra, hodie Corfù, graecis Κορφοὶ, corruptum ex Κορυφή.

ἀντεροῦ, διὰ τί δώσετε;] Sic dedit Bekkerus pro vulgato: ἐάν τις ἐρωτᾷ, διὰ τί οὐ δώσετε, φήσετε: quae est enuntiationis enervatio. Φήσετε deest in omuibus codd. praeter c f. οὐ δώσετε habent nonnisi a d g m n. Quam dedit Bekkerus lectionem, eam habent b e h k l. Ea sensim sensimque per partes corrupta est.

ἀτιμώσετε] n ἀτιμάσετε. Cf. ad Tim. 51.

σχετλιάζοντος] Cf. ad Tim. 59.

ἐάν τῳ ἐμπεσόντα ἀποκτείνῃ] Pausanias L. VI, 11, 2. Δράκων Ἀθηναίοις θεσμοὺς γράψας φονικοὺς ὑπερώρισε καὶ τὰ ἄψυχα, εἴ γε ἐμπεσόν τι ἐξ αὐτῶν ἀποκτείνειεν ἄνθρωπον, eamque legem probavit etiam Plato Legg. IX, 12. Cf. Matthiae Misc. Philoll. T. I. p. 154.

τὴν χεῖρα — — — χωρὶς τοῦ σώματος θάπτομεν] Rationem reddit Josephus ἁλώσ. L. III, 8, 5. παρ' ἑτέροις δὲ καὶ τὰς δεξιὰς τούτων τῶν νεκρῶν ἀποκόπτειν ἐκέλευσαν, αἷς ἐστρατεύσαντο καθ' ἑαυτῶν, ἡγούμενοι, καθάπερ τὸ σῶμα τῆς ψυχῆς ἀλλότριον, οὕτω καὶ τὴν χεῖρα

σώματος θάπτομεν· Δημοσθένην δὲ, ὦ Ἀθηναῖοι, τὸν γράψαντα μὲν τὴν παννστάτην ἔξοδον, προδόντα δὲ τοὺς στρατιώτας, τοῦτον ὑμεῖς τιμήσετε;. οὐκοῦν ὑβρίζονται μὲν οἱ τελευτήσαντες, ἀθυμότεροι δὲ οἱ ζῶντες γίνονται, ὁρῶντες τῆς ἀρετῆς ἆθλον τὸν θάνατον κείμενον, τὴν δὲ μνήμην ἐπιλείπουσαν. 84. τὸ δὲ μέγιστον, ἐὰν ἐπερωτῶσιν ὑμᾶς οἱ νεώτεροι, πρὸς ποῖον χρὴ παράδειγμα αὑτοὺς τὸν βίον ποιεῖσθαι, τί κρινεῖτε; εὖ γὰρ ἴστε, ὅτι οὐχ αἱ παλαῖστραι, οὐδὲ τὰ διδασκαλεῖα, οὐδ' ἡ μουσικὴ μόνον παιδεύει τοὺς νεωτέρους, ἀλλὰ πολὺ μᾶλλον τὰ δημόσια κηρύγματα. κηρύττεταί τις ἐν τῷ θεάτρῳ, ὅτι στεφανοῦται ἀρετῆς ἕνεκα καὶ ἀνδραγαθίας καὶ εὐνοίας ἄνθρωπος

τοῦ σώματος. Aristoteles Nicom. L. III. 7. τὸ δὲ ἀποθνήσκειν φεύγοντα πενίαν ἢ ἔρωτα ἤ τι λυπηρὸν, οὐκ ἀνδρείου ἀλλὰ μᾶλλον δειλοῦ· μαλακία γὰρ τὸ φεύγειν τὰ ἐπίπονα.

παννστάτην ἔξοδον] Intelligit fatalem illam expeditionem, quae clade Chaeronensi finita est.

τῆς ἀρετῆς ἆθλον cet.] Praemium virtutis esse mortem, memoriam vero evanuisse; quum tamen viri fortes cupiant μετὰ μνήμης τὸν ἀεὶ χρόνον ὑμνούμενοι θάλλειν.

84. τί κρινεῖτε; Quid judicabitis? quam sententiam pronuntiabitis? Br. — Omittunt hoc e h k l. ut sit reticentia, quae tamen hic locum habere minime videtur. Orellius.

τὰ δημόσια κηρύγματα] „Marklando, qui παραδείγματα pro κηρύγματα conjecit, non assentior. Verbis enim recte examinatis, exempla illa subjecta ad τὰ δημόσια κηρύγματα pertinere videbis. Primum agit de cive foedo et improbo, cui ἡ ἀναγόρευσις contigit; secundum Ctesiphontis similem exhibet, qui τὸ κήρυγμα civi malo tribuendum censuerat; tertio denique pater adumbratur, qui, judex τῶν παρανόμων constitutus, accusatum suffragio suo absolvit, itaque improbum publico praeconio ornandum censuit. Wunderlich. Veritatem lectionis demonstrat enuntiatio, quae post exempla additur: εὖ γὰρ ἴστε, ὅτι τοιαύτη δόξει ἡ πόλις εἶναι, ὁποῖός τις ἂν ᾖ ὁ κηρυττόμενος. Br. — Antiquitus tamen dubitatum jam fuisse de lectionis κηρύγματα veritate, arguit altera quattuor Codd. e h k l δίκαια, quae corrupta est ex δικαιώματα. Orellius.

ἀσχήμων ἐν τῷ βίῳ καὶ βδελυρός; ὁ δέ γε νεώτερος ταῦτ' ἰδὼν διεφθάρη. δίκην τις δέδωκε πονηρὸς καὶ πορνοβοσκὸς, ὥςπερ Κτησιφῶν; οἱ δέ γε ἄλλοι πεπαίδευνται. τἀναντία τις ψηφισάμενος τῶν καλῶν καὶ δικαίων, ἐπανελθὼν οἴκαδε παιδεύει τὸν υἱόν; ὁ δέ γε εἰκότως οὐ πείθεται· ἀλλὰ τὸ νουθετεῖν ἐνοχλεῖν ἐνταῦθα ἤδη δικαίως ὀνομάζεται. ὡς οὖν μὴ μόνον κρίνοντες, ἀλλὰ καὶ θεωρούμενοι, οὕτω τὴν ψῆφον φέρετε, εἰς ἀπολογισμὸν τοῖς νῦν μὲν οὐ παροῦσι τῶν πολιτῶν, ἐπερησομένοις δὲ ὑμᾶς, τί ἐδικάζετε. εὖ γὰρ ἴστε, ὦ Ἀθηναῖοι, ὅτι τοιαύτη δόξει ἡ πόλις εἶναι, ὁποῖός τις ἂν ᾖ ὁ κηρυττόμενος. ἔστι δὲ ὄνειδος, μὴ τοῖς προγόνοις ὑμᾶς, ἀλλὰ τῇ Δημοσθένους ἀνανδρίᾳ προςεικασθῆναι. πῶς οὖν ἄν τις τὴν τοιαύτην αἰσχύνην ἐκφύγοι; 85. ἐὰν τοὺς προκαταλαμβάνοντας τὰ κοινὰ καὶ φιλάνθρωπα τῶν ὀνομάτων, ἀπίστους ὄντας τοῖς ἤθεσι, φυλάξησθε. ἡ γὰρ εὔνοια, καὶ τὸ τῆς δημοκρατίας ὄνομα κεῖται μὲν ἐν μέσῳ, φθάνουσι δ' ἐπ' αὐτὰ καταφεύγοντες τῷ λόγῳ ὡς ἐπὶ πολὺ οἱ τοῖς ἔργοις

πεπαίδευνται] Παιδεύεσθαι interdum de eo dicitur, qui, quum videat, quo ducat inscitia et improbitas, ab iis deterretur et ad prudentiam et honestatem ducitur.

παιδεύει] „Non Orientales solum et Judaei Graecienses, sed quivis scriptores antiqui conatibus effectum tribuunt." Valckenäer ad Phoen. 1406. Id praesertim fit, quum effectus sit durans, c. 85. τῆς δημοκρατίας ἐπιμελήθητε, ἤδη διαφευγούσης ὑμᾶς. Cf. Porson. ad Phoen. 1231.

85. προκαταλαμβάνοντες τὰ κοινὰ καὶ φιλάνθρωπα τῶν ὀνομάτων] Προκαταλαμβάνειν oratores dicuntur, quum, quod aut in adversarii caussa aut in judicis opinione esse aut fore arbitrantur contrarium, praeoccupant dicere et cum ratione dissolvere: qui, quum adversarius in judicibus velit opinionem excitare superbiae et importunitatis rei, utuntur oratione modesta et civili, ut fidem adversario occludant, etiam si agendi ratione minime sint modesti et civiles. Quae sequuntur, continent hujus enuntiationis explicationem.

ὡς ἐπὶ πολὺ] Vulgo ὡς ἐπὶ τὸ πολὺ, quod Bekkerus nonnisi in d f invenit. A librariis saepissime hae formulae confunduntur;

πλεῖστον ἀπέχοντες. ὅταν οὖν λάβητε ῥήτορα ξενικῶν στεφάνων καὶ κηρυγμάτων ἐν τοῖς Ἕλλησιν ἐπιθυμοῦντα, ἐπανάγειν αὐτὸν κελεύετε καὶ τὸν λόγον ὥςπερ τὰς βεβαιώσεις τῶν κτημάτων ὁ νόμος κελεύει ποιεῖσθαι, εἰς βίον ἀξιόχρεων, καὶ τρόπον σώφρονα· ὅτῳ δὲ ταῦτα μὴ μαρτυρεῖται, μὴ βεβαιοῦτε αὐτῷ τοὺς ἐπαινους, καὶ τῆς δημοκρατίας ἐπιμελήθητε, ἤδη διαφευγούσης ὑμᾶς. ἢ οὐ δεινὸν ὑμῖν δοκεῖ εἶναι, εἰ τὸ μὲν βουλευτήριον καὶ ὁ δῆμος παροραται, αἱ δ' ἐπιστολαὶ καὶ αἱ πρεσβεῖαι ἀφικνοῦνται εἰς ἰδιωτικὰς οἰκίας, οὐ παρὰ τῶν τυχόντων ἀνθρώπων, ἀλλὰ παρὰ τῶν πρωτευόντων ἐν τῇ Ἀσίᾳ, καὶ τῇ Εὐρώπῃ; καὶ ἐφ' οἷς ἐστὶν ἐκ τῶν νόμων ζημία θάνατος, ταῦτά τινες οὐκ ἐξαρνοῦνται πράττειν, ἀλλ' ὁμολογοῦσιν ἐν τῷ δήμῳ, καὶ τὰς ἐπιστολὰς ἀλλήλοις παραναγινώσκουσιν, καὶ παρακελεύονται ὑμῖν οἱ μὲν βλέπειν εἰς τὰ ἑαυτῶν πρόςωπα, ὡς φύλακες τῆς δημοκρατίας, ἕτεροι δ' αἰτοῦσι δωρεάς, ὡς σωτῆρες τῆς πόλεως ὄντες· ὁ δὲ δῆμος ἐκ τῆς ἀθυμίας τῶν συμβεβηκότων

---

optimos tamen arbitror et plurimos codices sequendos esse, quum utramque formam agnoscat Pollux IX, 152. Ὡς ἐπὶ πολὺ est saepe ὡς ἐπὶ τὸ πολὺ saepissime. Alii autem scriptores alterutram formulam praetulisse videntur. Sic Heindorfius ad Theaet. §. 26. monet, Platoni ὡς ἐπὶ τὸ πολὺ in usu esse. Vide tamen God. Stallbaum ad Platonis Phileb. p. 119.

τὰς βεβαιώσεις κτημάτων] Αἱ βεβαιώσεις sunt pignora, quae dari solebant in vendendo et emendo. Centesima enim pretii pars deponebatur, si lis exoriretur inter emtorem et venditorem. Haec summa dicebatur ἀξιόχρεως. Hinc jubetur orator, qui velit publice coronari, provocare ad vitam fide dignam et laude, venditoris instar, qui fidem suam praestat. Ex eodem loquendi genere petitum est μὴ βεβαιοῦτε τοὺς ἐπαίνους, ne confirmate laudes. Confirmare enim in jure Romano est terminus technicus.

μαρτυρεῖται] Μαρτυρεῖσθαι pro εὖ μαρτυρεῖσθαι usurpatur. Τοῦτό μοι μαρτυρεῖται hoc mihi bonum testimonium datur.

ὥσπερ παραγεγηρακὼς ἢ παρανοίας ἑαλωκὼς, αὐτὸ μόνον τοὔνομα τῆς δημοκρατίας περιποιεῖται, τῶν δ' ἔργων ἑτέροις παρακεχώρηκεν; ἔπειτ' ἀπέρχεσθε ἐκ τῶν ἐκκλησιῶν οὐ βουλευσάμενοι, ἀλλ' ὥσπερ ἐκ τῶν ἐράνων, τὰ περιόντα νειμάμενοι. 86. *ὅτι δ' οὐ ληρῶ, ἐκεῖθεν τὸν λόγον θεωρήσατε. ἐγένετό τις (ἄχθομαι δὲ μεμνημένος πολλάκις τὰς ἀτυχίας τῆς πόλεως) ἐνταῦθ' ἀνὴρ ἰδιώτης, ὃς ἐκπλεῖν μόνον εἰς Σάμον ἐπιχειρήσας, ὡς προδότης τῆς πατρίδος αὐθημερὸν ὑπὸ τῆς ἐξ Ἀρείου πάγου βουλῆς θανάτῳ ἐζημιώθη. ἕτερος δ' ἰδιώτης ἐκπλεύσας εἰς Ῥόδον, ὅτι τὸν*

παραγεγηρακὼς] „*Παρὰ* in ejusmodi compositione discessum a natura et a recto significat. *Παραγηράσκειν* est ita senescere, ut a statu naturae humanae desciscas, secus quam decebat et expediebat. *καταγηράσκειν* est senescere, quod simpliciter est ab hoc loco alienum. Reiske. h l simplex habent *γεγηρακώς*. Br. — Verbo *παραγεγηρακὼς* comparari potest Latinorum, senio confectus, decrepitus, capularis senex. Talis vero etiam ille Aristophanis Equitt. v. 42: *Δῆμος Πυκνίτης, δύσκολον γερόντιον ὑπόκωφον.* Orellius.

παρανοίας ἑαλωκὼς] Vide supra c. 48. *μηδ' αἱρεῖτε παρανοίας.*

ἐκ τῶν ἐράνων τὰ περιόντα νειμάμενοι] Merces (triobolum) quam judices accipiunt, non est praemium operae cum justitia impensae, sed ex publicis pecuniis, tamquam ex collatione in pauperes, ista inter vos dividitis. Br. — Imago non tam a collatione in pauperes mihi videtur desumta, quam a symbola sive coena collatitia, cujus reliquias convivae inter se dispertitas domum quisque reportant. Orellius.

86. *ἐκπλεῖν μόνον εἰς Σάμον ἐπιχειρήσας*] Num innuat Autolycum, qui ab Areopagitis morte damnatus est, non decernam. De eo Lycurgus *κατα Λεωκρ.* p. 177. *ἀλλὰ μὴν Αὐτολύκου μὲν ὑμεῖς κατεψηφίσασθε, μείναντος μὲν αὐτοῦ ἐν τοῖς κινδύνοις, ἔχοντος δ' αἰτίαν τοὺς υἱοὺς καὶ τὴν γυναῖκα ὑπεκθέσθαι· καὶ ἐτιμωρήσασθε.*

εἰς Ῥόδον] Hic est Leocrates, Atheniensis, dives et illustris, qui post pugnam Chaeronensem clam noctu navem conscendit, rebusque suis clam in eam comportatis, Rhodum trajecit. Quum octavo dein

φόβον ἀνάνδρως ἤνεγκε, πρώην ποτὲ εἰςηγγέλθη, καὶ ἴσαι αἱ ψῆφοι αὐτῷ ἐγένοντο· εἰ δὲ μία μόνον μετέπεσεν, ὑπερώριστ' ἂν ἢ ἀπέθανεν. ἀντιθῶμεν δὴ τὸ νυνὶ γινόμενον. ἀνὴρ ῥήτωρ, ὁ πάντων τῶν κακῶν αἴτιος, ἔλιπε μὲν τὴν ἀπὸ στρατοπέδου τάξιν, ἀπέδρα δ' ἐκ τῆς πόλεως· οὗτος στεφανοῦσθαι ἀξιοῖ, καὶ κηρύττεσθαι οἴεται δεῖν. οὐκ ἀποπέμψετε τὸν ἄνθρωπον ὡς κοινὴν τῶν Ἑλλήνων συμφορὰν, ἢ συλλαβόντες, ὡς λῃστὴν τῶν πραγμάτων, ἐπ' ὀνομάτων διὰ τῆς πολιτείας πλέοντα, τιμωρήσεσθε; καὶ τὸν καιρὸν μὴν μνήσθητε, ἐν ᾧ τὴν ψῆφον φέρετε. ἡμερῶν μὲν ὀλίγων

---

anno post varios casus Athenas rediisset, Lycurgus, cujus oratio etiamnum exstat, eum accusavit, et ex nostro discimus, quinam fuerit accusationis eventus. Nempe si ἴσαι ψῆφοι erant, reus a poena liber erat. Apud Euripidem El. 1262. ss. Seidl. Διόσκουροι Oresti haec praedicunt:

ἴσαι δέ σ' ἐκσώζουσι μὴ θανεῖν δίκῃ
ψῆφοι τεθεῖσαι. Λοξίας γὰρ αἰτίαν
ὡς αὐτὸν οἴσει, μητέρος χρήσας φόνον.
καὶ τοῖσι λοιποῖς ὅδε νόμος τεθήσεται,
νικᾷν ἴσαις ψήφοισι τὸν φεύγοντ' ἀεί.

Aristoteles Προβλημ. Sect. XXIX, 13. respondet ad hoc πρόβλημα: Διὰ τί ποτε, ὅταν καὶ τῷ φεύγοντι καὶ τῷ διώκοντι φαίνωνται ψῆφοι ἴσαι, ὁ φεύγων νικᾷ; De εἰςαγγέλλεσθαι vide ad παραπρ. 39.

ἐπ' ὀνομάτων διὰ τῆς πολιτείας πλέοντα] Ut respublica diversis rationibus cum navi comparatur, ita dicuntur ii, qui in republica versantur, navigare. Ἐπ' ὀνομάτων verbis, verborum magnificentia utens, cui eventus non respondet. Tropo igitur sublato sensus est: qui per varios reipublicae casus verbis cives decipit, eorum fortuna abutitur, eorumque infortunium auget, blanditiis et magnificentia verborum eos fascinans et occoecans. Br. — Supra ἀποπέμπειν non est simpliciter relegare, ut explicaverunt Budaeus, Stephanus in Thes. Reiskius in Ind. sed ἀποπομπὴν ποιεῖσθαι velut piaculi et monstri. cfr. Harpocrationem, et Coraium ad Isocrat. T. 2. p. 80. Orellius.

μέλλει τὰ Πύθια γίνεσθαι, καὶ τὸ συνέδριον τὸ τῶν Ἑλλήνων συλλέγεσθαι. διαβέβληται δ᾽ ἡμῶν ἡ πόλις ἐκ τῶν Δημοσθένους πολιτευμάτων περὶ τοὺς νῦν καιρούς. δόξετε δὲ, ἐὰν μὲν τοῦτον στεφανώσητε, ὁμογνώμονες εἶναι τοῖς παραβαίνουσι τὴν κοινὴν εἰρήνην· ἐὰν δὲ τοὐναντίον τούτου πράξητε, ἀπολύσετε τὸν δῆμον τῶν αἰτιῶν. 87. μὴ οὖν ὡς ὑπὲρ ἀλλοτρίας, ἀλλ᾽ ὡς ὑπὲρ οἰκείας τῆς πόλεως, βουλεύεσθε, καὶ τὰς φιλοτιμίας μὴ νέμετε ἀλλὰ κρίνετε, καὶ τὰς δωρεὰς εἰς βελτίω σώματα καὶ ἄνδρας ἀξιολογωτέρους ἀπόθεσθε. καὶ μὴ μόνον τοῖς ὠσὶν, ἀλλὰ καὶ τοῖς ὄμμασι διαβλέψαντες εἰς ὑμᾶς αὐτοὺς βουλεύσασθε, τίνες ὑμῶν εἰσὶν οἱ βοηθήσοντες Δημοσθένει. πότερον οἱ συγκυνηγέται, ἢ οἱ συγγυμνασταὶ αὐτοῦ, ὅτ᾽ ἦν ἐν ἡλικίᾳ; ἀλλὰ, μὰ τὸν Δία τὸν Ὀλύμπιον, οὐχ ὗς ἀγρίους κυνηγετῶν, οὐδὲ τῆς τοῦ σώματος εὐεξίας ἐπιμελόμενος, ἀλλ᾽ ἐπασκῶν τέχνας ἐπὶ τοὺς τὰς οὐσίας κεκτημένους διαγεγένηται. ἀλλ᾽ εἰς τὴν ἀλαζονείαν

τὰ Πύθια] „Aeschines gibt zu erkennen, daſs die Versammlungen der Amphiktyonen und die Pythischen Spiele zur nämlichen Zeit gehalten worden seyn; was auch schon voraus zu setzen ist, weil die Amphiktyonen den Vorsitz bey diesen Spielen führten. Die pythischen Spiele sollen in die ersten Tage des Monaths Munychion (April) gefallen seyn. Aus andern Angaben läſst sich schlieſsen, daſs die Tage der Spiele und Versammlungen nicht jedes Mahl genau die gleichen gewesen, sondern daſs sie etwa in den Elaphebolion (Merz) gefallen seyn.“ Tittmann über den Bund der Amphiktyonen. p. 81.

τὸ συνέδριον τὸ τῶν Ἑλλήνων] Hic est conventus Amphictyonum, ut supra c. 49.

87. καὶ τὰς φιλοτιμίας μὴ νέμετε, ἀλλὰ κρίνετε] Φιλοτιμίαι sunt honores, qui publice virtuti tribuuntur. Νέμειν, ut patet ex opposito κρίνειν, indicat temere tribuere, profundere. Μὴ νέμετε ἀλλὰ κρίνετε idem est ac si dixisset: νέμετε κρίνοντες cum judicio tribuite, re pensitata, num honorem meritus sit is, qui eum appetit.

τοὺς τάφους τῶν προγόνων οὐκ οἴεσθε ἀναστενάξαι, εἰ ὁ μετὰ τῶν βαρβάρων ὁμολογῶν τοῖς Ἕλλησιν ἀντιπράττειν στεφανωθήσεται; Ἐγὼ μὲν οὖν, ὦ Γῆ καὶ Ἥλιε καὶ Ἀρετὴ καὶ Σύνεσις καὶ Παιδεία, ᾗ διαγινώσκομεν τὰ καλὰ καὶ τὰ αἰσχρὰ, βεβοήθηκα, καὶ εἴρηκα. καὶ εἰ μὲν καλῶς καὶ ἀξίως τοῦ ἀδικήματος κατηγόρηκα, εἶπον ὡς ἐβουλόμην· εἰ δὲ ἐνδεεστέρως, ὡς ἐδυνάμην. ὑμεῖς δὲ καὶ ἐκ τῶν εἰρημένων λόγων, καὶ ἐκ τῶν παραλειπομένων, αὐτοὶ τὰ δίκαια καὶ τὰ συμφέροντα ὑπὲρ τῆς πόλεως ψηφίσασθε.

---

tiorem *παρὰ μικρὸν, παρ' ὀλίγον ἔρχομαι ποιεῖν τι*, parum abest, quin aliquid faciam. *Παρ' οὐδὲν ἦλθον ἀποκτεῖναι*, nihil, minimum aberat, quin interficerent. Poena, qua multabant eum, mortis poenam aequiparabat. Polybius I, 15. *οἱ Ῥωμαῖοι παρ' οὐδὲν ἐλθόντες τοῦ πάσας ἀποβαλεῖν τὰς παρασκευάς*. Cf. Vigerum p. 647. Exempla habet Wyttenbach. ad Plutarch. Mor. p. 461. Oxon.

οὐκ οἴεσθε ἀναστενάξαι] Bekkerus dedit *οὐκ οἴεσθε στενάξειν*. Vulgo *οὐκ ἂν οἴεσθε ἀναστενάξαι*. Duplicis videtur Grammaticorum correctionis alterutra nonnullos libros occupasse. Utrique non tolerarunt simplicem aoristum infinitivi, sed alteri mutarunt in futurum, quod legitur in b k l, alteri aoristo *ἂν* addiderunt, quod est in c d e f n. Simplicem aoristum vindicavi ad Tim. 13.

ὦ γῆ καὶ ἥλιε καὶ ἀρετὴ] Acerbe ridet locum Demosthenes περὶ στεφ. p. 266. *ὥσπερ ἐν τραγῳδίᾳ βοῶντα, ὦ γῆ καὶ ἥλιε καὶ ἀρετὴ καὶ τὰ τοιαῦτα. καὶ πάλιν σύνεσιν καὶ παιδείαν ἐπικαλούμενον, ᾗ τὰ καλὰ καὶ αἰσχρὰ διαγινώσκεται. ταῦτα γὰρ δήπουθεν ἠκούετ' αὐτοῦ λέγοντος. σοὶ δὲ ἀρετῆς, ὦ κάθαρμα, ἢ τοῖς σοῖς τίς μετουσία; ἢ καλῶν ἢ μὴ τοιούτων διάγνωσις; — — ποῦ δὲ παιδείας σοι θέμις μνησθῆναι; ἧς τῶν μὲν ὡς ἀληθῶς τετυχηκότων οὐδ' ἂν εἷς περὶ αὑτοῦ τοιοῦτον οὐδὲν ἀλλὰ κἂν ἑτέρου λέγοντος ἐρυθριάσειε.* — Si Reiskius pro *βεβοήθηκα*, quod sequitur, conjecit *βεβόηκα*, adversarii potius partes, quam ipsius scriptoris expressit. Omissio dativi *ὑμῖν* tragicum decet cothurnum. Br. — Mirum est pessimam Reiskii conjecturam *βεβόηκα* a tribus Bekkeri codd. confirmari. *βεβοήθηκα* figura admodum audace, refertur ad sola illa *ἀρετὴ, σύνεσις καὶ παιδεία*. Orellius.

„Lectae sunt epistolae Aeschinis a Photio, qui in Cod. LXI. eas honestissimo hoc praeconio ornavit: Τρεῖς μόνους αὐτοῦ φασὶ γνησίους εἶναι [λόγους] καὶ θ' ἐπιστολάς. Διὸ τοὺς μὲν λόγους αὐτοῦ τινὲς Χάριτας ὠνόμαζον, διά τε τὸ χάριεν τοῦ λόγου, καὶ τὸν ἀριθμὸν τῶν Χαρίτων· Μούσας δὲ τὰς ἐπιστολὰς διὰ τὸν ἀριθμὸν τῶν ἐννέα Μουσῶν. De *numero* harum epistolarum Photius quoque exhibet testimonium idem in cod. CCLXIV. Hodie habemus Triada quidem orationum, epistolas vero duodenas.

„Quaenam sint igitur abjudicandae, si quaeras; sive tanto auctore indignae, sive nota aliqua inustae, quae novitatem arguere possit, hoc ex me, inquam, si quaeras, ajo, praedico, confirmo et pronuntio, omnis XII. proscribendas protinus et eliminandas esse.

„Probe scio, rem esse omnium difficillimam, disputare de his fallaciis, quae ab aliorum aut fraude aut nimio otio profectae, aetati nostrae obtruduntur; novi, quam lubrico in loco versetur ille, qui id elaborat, ut alium de genere orationis, de charactere dicendi,

de verborum sententiarumque luminibus, ea persentiscere adducat, quae ipse secum experiatur; sibi licet non solum persuadeat, verum etiam medullitus concipiat penitusque et totus ad eum sensum sententiamque componatur. Non quod de stilo auctoris, de scribendi meditandique genere, de sententiarum pondere et gravitate, de colore orationis ceterisque id genus disputes, levissimam eam confirmandi rationem esse crediderim, aut potius non in ea vim inesse maximam: verum quum de iis in publicum disseras, ea disputatio auditores postulat (id quod non semper fieri solet) eodem literarum genere excultos, ad istiusmodi studia et crisin, auribus, sensu et judicio conformatos, usu denique exercitatos, atque eo demum otio abundantes, quo ipse frueris, qui istos auctores a teneris unguiculis edidicisti, atque in iis quasi expendendis fuisses innutritus." *Taylor.*

„His epistolis parum diligentiae adhibui, quae sunt confictae, isto nomine indignae. — — Pauca tantum in texto graeco mutavi, quoad ejus fieri poterat, currente prelo. — Pene me nunc hujus operae pudet pigetque. Praestabat, hanc camarinam aut non movisse aut perpurgasse. Notularum si quid in mentem venit inter legendum, id in hunc libellum variantium con-

jiciam. *Reiske ad frontem varietatis lectionis in epistolas.*

Primo quidem in animo habebam, disputationem praemittere, qua sequentes epistolas suppositas esse demonstrarem, tum, quae explicationi inservirent, textui subjicere. Mox autem, attente his epistolis perlectis, cognovi, eas leviores esse tum sententiarum, tum compositionis ratione, quam in quas cadat subtilior disputatio, neque criticas et exegeticas animadversiones facile sine odiosa repetitione separari posse. Hinc singula in singulas epistolas dispertivi. Nec tamen negare possum, me laboris taedio fatigatum gavisum esse labore finito. Neque, si unquam tam aridas et steriles epistolas fore suspicatus essem, vel ni, iis omissis, lectores aliqui forsitan credidissent, Aeschinem se mancum habere, hunc tolerassem laborem, sed orationi in Ctesiphontem comitem dedissem Demosthenis orationem *περὶ στεφάνου*, vel similem alius oratoris.

Quod si qui non suo se solo judicio et meis argumentis duci velint, sed aliam etiam auctoritatem desiderent, hi teneant, viros acutissimos et eruditissimos his epistolis Aeschinis famam laceratam existimasse,

non eos modo, qui ex professo eas tractarunt, ut Taylorum, Marklandum, Reiskium, sed qui per occasionem eas adhibuerunt, *Davidem Ruhnkenium* in historia Critica oratorum Graecorum, *F. A. Wolfium* ad Demosthenis Leptineam, *Aug. Boeckhium* in commentariis Pindari, *Fr. Passovium* in Encyclopaedia ab Erschio edi coeptam, alii. Apud quemque autem suum ipsius rectum judicium maxime valebit.

Taylor adhibuit duos codices manuscriptos, quos insignivit litteris *A* et *B* (accurata eorum notitia deest); Reiskius Helmstadiensem. Apud Bekkerum enotata est varietas lectionis item e duobus, Angelico sub littera *a* et Urbinate sub littera *c*. Haec hactenus. *Bremius.*

ΕΠΙΣΤΟΛΑΙ

[ΑΙΣΧΙΝΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ.]

1. ΦΙΛΟΚΡΑΤΕΙ.

Λύσαντες ἐκ Μουνυχίας ἑσπέρας λαμπρῷ σφόδρα Σκίρωνι, περὶ μέσην ἡμέραν κατήχθημεν εἰς Κορησσὸν τὴν

Epist. 1.

Φιλοκράτει] Novimus Philocratem, teste Demosthene, socium Aeschinis in juvandis Philippi commodis, accusatum a Demosthene exilio multatum esse Ctes. 24. Hic vero, ad quem scripta est haec epistola, non est in exilio, sed Athenis, in rebus civilibus versans. Aut igitur epistolae auctor vel ignoravit sortem Philocratis vel oblitus est, aut ad alium ejusdem nominis datur epistola, nescio quem.

Λύσαντες] Apud Atticos scriptores *λύειν* non dicitur de iis, qui navi portu exeunt, sed est ex Latino solvere, quod apud bonos scriptores absolute ponitur pro solvere naves. Ellipseos quidem collectores *πείσματα* supplent vel *πρυμνήσια*; sed quae afferunt exempla, serioris omnia sunt aetatis. Vide Bosii Ellips. p. 377. et 121. Schaef. Alia quidem verba apud antiquos ellipsin habent substantivi *ναῦν*, ut *ἐλαύνειν* v. c. apud Thucyd. III, 49. quod etiam aliis significationibus absolute ponitur. Sic *ἀπαίρειν* et *καταίρειν* esse *ναυτικὰς λέξεις* monet Scholion apud Barnesium ad Eurip. Bacch. 1293. Sed absolutum *λύειν* sic apud Atticos non inveni.

λαμπρῷ - Σκίρωνι] *Σκίρων* est ventus, qui ex saxis Scironiis flat. Scironia saxa (*Σκειρωνίδες πέτραι*) supra Atticam sita sunt, per quas via erat, ab Isthmo Megara et in Atticam ducens. Nomen habebant a Scirone latrone, qui quos capiebat e saxo in mare praecipitabat, a Theseo autem interfectus est. Ventus ab his saxis quum oblique flaret, Athenienses ventum, qui ex occasu aestivo (Südwest) flabat, Scironem nominabant. Cf. Gellium N. Att. II, 22. *Λαμπρὸς* de vento adhibuit Herodot. II, 96. Atticis vix adhibitum seriores amaverunt. Cf. D'Orville ad Charit. p. 268. Lips.

Κορησσὸν] Sic dedit Bekkerus ex a c pro vulgato *Νήρησσον*.

Κέω. καθίσαντες δὲ ἡμέρας ἐννέα (σκαιὸς γὰρ ἦν ὁ ἄνεμος)· εἶτα ἑσπέρας λύσαντες, ἅμα τῇ ἕῳ εἰς Δῆλον ἤλθομεν. Δήλιοι δὲ ἐνόσουν λοιμώδη τινὰ νόσον. τὰ μὲν πρόσωπα ἐπίμπλαντο λεύκης, καὶ τὰς τρίχας λευκοὶ ἐγίνοντο, ὁ δὲ τράχηλος καὶ τὰ στέρνα ἀνῴδει· πυρετοὶ δ' οὐκ ἐγίγνοντο, οὐδὲ ἀλγηδόνες μεγάλαι, οὐδὲ τὰ κάτω μέρη παρήλλαττεν οὐδέν τι. ταῦτα δὲ ἐτίθεντο κατὰ μῆνιν Ἀπόλλωνος αὐτοῖς συμβεβηκέναι, ταφέντος ἐν τῇ νήσῳ τινὸς τῶν ἐπιφανῶν, οὐ πρότερον εἰωθός· ἐκ τούτου

Nempe Κόρησσος est navale insulae Ceae, vel una quatuor hujus insulae urbium. Κορησσίαν appellat Strabo L. X., 6. p. 328. Erat cum Julide, urbe principe, conjuncta et ejus ἐπίνειον, parum frequens.

καθίσαντες] Seriorum inprimis est de iis, qui otiosi sedent. Similia tamen jam apud Atticos sunt in usu. Cf. Lennep. ad Phalar. Ep 88. p. 553.

σκαιὸς] De vento contrario dictum infimae est aetatis, nec ullum hujus usus vestigium apud Atticos. Nec celandum tamen, plurimos libros habere: καὶ γὰρ ἦν ἄνεμος ἐναντίος, ex correctione, opinor.

λεύκης] Λεύκη morbus est, qui medicis Graecis explicatur μεταβολή τις τοῦ χρωτὸς εἰς τὸ λευκότερον ὑπὸ γλίσχρου τε καὶ κολλώδους φλέγματος: mutatio quaedam ad albidius, quae ex viscosa glutinosaque pituita contrahitur. Barbarae gentes et Judaei hoc morbo potissimum laborasse dicuntur. Raro is penetravit in inferiorem corporis partem. Egit de hoc et cognatis morbis Hieron. Mercurialis de cutaneis morbis L. II. c. 2.

ταφέντος cet] Narrat Diodorus Sic. XII, 58. Archonte Euthydemo Ol. LXXXVIII, 3. secundum oraculum Athenienses insulam Delum lustrasse, Ἀπόλλωνος μὲν οὖσαν ἱερὰν, δοκοῦσαν δὲ μεμιάνθαι, διὰ τὸ τοὺς τετελευτηκότας ἐν αὐτῇ τετάφθαι. ἀνασκάψαντες οὖν ἁπάσας τὰς ἐν τῇ Δήλῳ θήκας μετήνεγκαν εἰς τὴν Ῥήνειαν καλουμένην νῆσον, πλησίον ὑπάρχουσαν τῆς Δήλου. ἔταξαν δὲ καὶ νόμον, μήτε τίκτειν ἐν τῇ Δήλῳ μήτε θάπτειν. Eo quo dixi tempore hoc factum esse, intelligitur etiam ex Thucyd. L. III, 104. — Per ἐπιφανῆ, quem in insula Delo sepultum esse tradit auctor, Reiskius intelligit Consulem aut Praetorem Romanum. Maximam enim Imperatorum tempore reverentiam Romanorum fuisse apud Graecos.

προςβαλεῖν αὐτοῖς τὸν θεὸν τὴν νόσον ταύτην ὑπελάμβανον. ἡμεῖς δὲ ὥςπερ ὥς τι ἔθνος ἀλλόφυλον, ἢ νῆσον ἐν τῇ ἔξω θαλάσσῃ ἀφιγμένοι, καὶ ἰδόντες ἐξαίφνης ποικίλους ἀνθρώπους, νυκτὸς ἔτι ἀποφεύγοντες ᾠχόμεθα· πυνθανόμενοι ἀλλήλων κατὰ τὸν πόρον, εἰ τὸ χρῶμα ἔχοι ἕκαστος, οἷον ἐκόμιζεν οἴκοθεν, καὶ τὰς τρίχας. ζάλη δὲ καὶ ἄνεμος ἐξώστης ἐμπεσὼν ἀπήνεγκεν ἡμᾶς ὑπὲρ Κρήτην, πλησίον Ψαμαθοῦντος. ὡς δὲ ἐν συνόπτῳ ἦμεν ἤδη, ἀντιπνεῖ πνεῦμα Λιβυκόν. εἶτα πνεύσαντος ἡμῖν ἀπαρκτίου, πάλιν πέντε νύκτας ἐν θαλάττῃ ἐφερόμεθα, ἐν αἷς προςέσχομεν Ἀθρώνῃ· ἵνα μάθωμεν μὴ πολυπραγμονεῖν, εἴ τις ἐν τῇ ἑαυτοῦ πατρίδι κατὰ τοὺς νόμους, ἢ μή, στεφανοῦται. κἀκεῖθεν τέτταρσιν ἡμέραις ἀφικόμεθα εἰς ἐπίνειόν τι τῆς Ῥοδίας· ὅπου νοσῆσαί μοι συνέβη τὴν

προςβάλλειν – τὴν νόσον] Quum προςβάλλειν intransitive is dicatur, qui alium aggreditur et petit, tropice vi transitiva facile significat, malo aliquem petere, malum alicui injicere, quamquam nusquam me memini legere προςβάλλειν τὴν νόσον, nec tamen haec locutio, opinor, suspecta esse potest.

νῆσον ἐν τῇ ἔξω θαλάσσῃ] Ἡ ἔξω θάλασσα opposita τῇ ἔσω θαλάττῃ, est Oceanus Atlanticus, qui quoniam antiquis parum notus erat, ejus insulae monstris et portentis ex opinione vulgi scatebant.

ὑπὲρ Κρήτην πλησίον Ψαμαθοῦντος] Ὑπὲρ junctum locis significat septentrionalem partem. Ψαμαθοῦς est ἐπίνειον Peloponnesi, haud procul a Taenaro, promontorio meridionali.

πνεῦμα Λιβυκὸν] Antiqui adhibent terminum hujus venti technicum Λίψ. Gellius N. Att. II, 22. Africus, qui Graecis vocatur Λίψ. Scholiastes ad Aeschyli Persas v. 232. parum recte, opinor λὶψ ὁ ἄνεμος ἀπὸ δυσμῶν ἢ ἐκλείψεων. ὅτε γὰρ δύει ὁ ἥλιος, ἐκλείπει.

Ἀθρώνῃ] Hunc locum invenire non potui. Variant libri Τορώνῃ, Πορώνῃ.

Ῥοδίας] Rhodia, quae etiam Rhodiopolis dicitur, urbs est Lyciae, exadversus insulae Rhodo.

περὶ τὸ ἆσθμα νόσον. ὡς δὲ ἐπιμείναντος αὐτόθι οὐκ ἐνεδίδου ἡ νόσος, διέπλευσα εἰς Ῥόδον, καὶ ἐδέξατο ἡμᾶς εὐμενῶς ὁ τόπος· εὐθὺς γὰρ, ὡς ἀφικόμην, πολὺ ῥάων ἐγενόμην. καὶ ταυτὶ μὲν ἔχομέν σοι τέως ἐπιστέλλειν· τα δ' ἄλλα ὡς ἂν ἕκαστα συμβαίνῃ, δηλώσομεν. εὐτύχει, καὶ μὴ πολιτεύου μηδὲ πρόσκρουε μήτε τοῖς πλέον σοῦ, μήτε τοῖς ἔλαττον δυναμένοις.

2. ΚΤΗΣΙΦΩΝΤΙ.

Ἐπέστειλεν ἡμῖν Νικόστρατος, ὁ πρὸς μητρὸς θεῖος, ὡς ἐπηρεάζοις μὲν εἰς αὐτον οὐ μετρίως, ἐμοὶ δὲ ὀνειδίζοις την διά σέ μοι συμβᾶσαν συμφοράν. ἐγὼ δὲ θαυμάζω, τί παθὼν ἐξιοῦσι μὲν οἴκοθεν ἡμῖν τοσαῦτα διελέχθης, ὥςτε πεισθῆναί με, μηδὲν, ὧν διελέχθης, πεπλάσθαι σε μηδ' ἄλλως φρονεῖν, βλέποντα πρῶτον μὲν εἰς την ἐμὴν συμφοραν, ἣν οὐκ ἀπεικὸς εἶναι καὶ τοις ἐχθρους ἐλεεῖν υπελάμβανον, ἔπειτα δὲ εἰς το σκυθρωπον σου, καὶ ὅμοιον δεδακρυμένῳ· ὥςτ' ἔγωγε καὶ ἐπέσκηψα ἐνίοις τῶν προςηκόντων ἡμῖν, εἴ του δέοιντο, προςιέναι σοὶ, καὶ μηδενος ὑστερήσειν ὑπεσχόμην αὐτοῖς, καὶ αὐτὸς δὲ ἐπέστειλα περὶ ὧν ἐχρημάτιζον Ἀθήνησί μοι γενέσθαι πολλακις· νῦν δὲ οὐδ' ἐμποδὼν ἔτι οὖσιν ἡμῖν, οὐδὲ διοχλοῦσί σοι οὐδὲ ἄλλῳ τινὶ Ἀθηναίων, ἐπηρεάζεις,

---

οὐκ ἐνεδίδου ἡ νόσος] Serioris aetatis medici usurpant ἐνδοῦναι de remissione morborum, eorum inprimis, in quibus est inflatio.

ῥάων ἐγενόμην] De eo, qui ex morbo reconvalescit, praesertim apud scriptores posterioris aetatis. Demosthenes vocabulum adhibet de animo, qui moerore per signa externa expresso, tranquillitatem recepit. κατὰ Στεφ. A. p. 1113. ἐγὼ τῶν γεγενημένων ἀποδυράμενος τὰ πλεῖστα πρὸς ὑμᾶς ὥςπερ ῥάων ἔσομαι. Cf. Wyttenbach ad Plutarchum p. 718. Oxon.

Ep. 2.

ἐχρημάτιζον] Χρηματίζειν dicitur is, qui ad deliberandum aliquid proponit, vel re diligenter considerata responsum dat. H. l. videtur esse operam dare, studiose aliquid sectari.

διοχλοῦσι] Sic dedit Bekkerus ex codd. pro vulgato διενοχλοῦσι. Quod ut decompositum serioris aetatis forsitan haud erat mutandum.

καὶ οὔτε εἰς τὴν τύχην ἀποβλέπεις, οὔτε εἰς ἄλλο τι τῶν ἀνθρωπίνων, ἀλλ' ἐπαγωνίζῃ ἔτι καὶ ἐκπεπτωκόσι τῆς πατρίδος, καὶ ἀπεστερημένοις ἐπιτιμίας καὶ πόλεως καὶ πολιτῶν καὶ φίλων. καὶ ὅσα μὲν εἰς ἐμὲ ἀπόντα ἐβλασφήμεις, σοὶ μὲν ἴσως φέροι ἄν τινα εἰκότως καὶ φθόνον καὶ μῖσος, ὥςπερ ἂν εἴ τινα τῶν τεθνεώτων ἐπιβάλλοιο βλασφημεῖν, ἐν οὕτω χρηστῇ τε καὶ φιλανθρώπῳ πόλει· ἐγὼ δὲ οὐκ ἂν διὰ ταῦτα φαυλότερος νομισθείην, ἀπὼν ὑπὸ σοῦ λοιδορούμενος, ἀτυχέστερος μέντοι καὶ ἐλεεινότερος ἴσως νομισθεὶς ποτὲ μὲν οὐδὲν ἧττον· νῦν δὲ οὐδεμίαν ὑπὲρ αὐτοῦ φωνὴν ἐκπέμπειν, ἀλλ' οὐδὲ ἀκούειν λοιδορούμενος δύναμαι. τὸ δὲ γέροντα ἐπιεικῆ ὑβρίζεσθαι, μηδεμίαν ἐλπίδα ἔτι ἔχοντα τοῦ δυνήσεσθαί ποτε ἀμύνασθαι, ὅς γε τὴν σύμπασαν ἐλπίδα ἐφ' ἡμῖν αὐτοῖς ἀκμὴν ἔχει, τοῖς μηδ' ἑαυτοὺς σώζειν ἔτι δυναμένοις· πῶς οὐκ αἰσχρόν ἐστιν; ἀλλὰ μή, πρὸς Διός, μή σύγε, ὦ Κτησιφῶν, μηδὲ εἰ τὰ μάλιστα ἡμᾶς ἀνιᾶν ἔτι βούλει, καὶ εἰ μὴ πεπλήρωκέ σε μηδὲν τῶν ἡμετέρων κακῶν, μίασμα

ἐκπεπτωκόσι τῆς πατρίδος] Rarius nec nisi posterioris aetatis scriptoribus usitatum esse ἐκπίπτειν cum solo genitivo, omissa praepositione, vere monuit Franc. Nicol. Gisl. Bagnet in specimine Literarum inaugurali, quod exhibet Dionis Chrysostomi Orat. VIII. p. 12. not.

γέροντα ἐπιεικῆ] Intelligit τὸν θεῖον Νικόστρατον. — Ἐφ' ἡμῖν αὐτοῖς recte dedit Bekkerus pro vulgato ἐφ' ὑμῖν αὐτοῖς. Aeschines loquitur de se ipso. Nempe senex avunculus unam et solam spem habere poterat in sororis filio. Sed hic ipse miseria pressus aliorum auxilio indigebat. Phrynichus p. 123. ἀκμὴν ἀντὶ τοῦ ἔτι Ξενοφῶντα λέγουσιν ἅπαξ αὐτῷ κεχρῆσθαι, σὺ δὲ φυλάττου χρῆσθαι, λέγε δὲ ἔτι: ad quem locum monet Lobeckius, duas esse hujus adverbii significationes, alteram antiquiorem et primigeniam in articulo, cum maxime, nunc ipsum: cujus loco minime poni posset ἔτι sed ἄρτι. Altera recentior adhuc, qua Strabo, Plutarchus ejusque aetatis scriptores usi sunt.

πεπλήρωκέ σε] Πληροῦν τινὰ hic est, quod alias dicitur πληροῦν θυμόν τινος, satiare, pacare alicujus iram et cupiditatem.

τοῦτο προςθῇς σαυτῷ τε καὶ τοῖς παισὶν, οὓς τρέφεις, βοηθοὺς ἔσεσθαι δηλονότι τοῦ γήρως σοῦ προςδοκῶν· καὶ μέμνησο, ὅτι οὐδὲ Αἰσχίνης εἰς τοῦτό ποτε ἀφίξεσθαι ἤλπισεν, οὐδ' ἄλλοι πολλοὶ, καὶ ἔτι μᾶλλον ἀκμάσαντες ἐν τῇ ἑαυτῶν πόλει, καὶ πολὺ λαμπρότεροι ἐμοῦ τε καὶ σοῦ γενόμενοι.

3.

Οἱ μὲν ἄλλοι πάντες, ὅσοι φεύγουσιν ἀδίκως, ἢ δέονται τῶν πολιτῶν, ὅπως ἐπανέλθωσιν, ἢ διαμαρτόντες τούτου, λοιδοροῦσι τὰς ἑαυτῶν πατρίδας, ὡς φαύλως αὐτοῖς προςφερομένας· ἐγὼ δὲ, ἐπείπερ ἀναξίως ὧν ἐπολιτευσάμην ἠτύχησα, καὶ κατηγορῶν ἄλλων αὐτὸς ἑάλων, ἄχθομαι μὲν, ὥςπερ εἰκός ἐστιν, ἀγανακτῶ δὲ οὐδέν. οὐ γὰρ οὕτως ἔγωγε ἠλίθιός εἰμι, ὥςτε ἐξ ἧς πόλεως ὁ Θεμιστοκλῆς, ὁ τὴν Ἑλλάδα ἐλευθερώσας, ἐξηλάθη, καὶ ὅπου Μιλτιάδης, ὅτι μικρὸν ὦφλε τῷ δημοσίῳ, γέρων ἐν τῷ δεσμω-

---

ἤλπισεν] Ἐλπὶς et ἐλπίζειν vocabula μέσα esse, quamquam plerumque bona significatione usurpentur, ostenderunt interpretes ad Thomam M. s. v. ἐλπίς.

Ep. 3.

φεύγουσιν ἀδίκως] Equidem non admodum offendor in repugnantia, quae legitur infra ep. 7., ubi dicit auctor κατὰ μὲν τοὺς νόμους ὁμολογῶ ταύτῃ κεχρῆσθαι τῇ συμφορᾷ. Nostra enim epistola scripta est ad amicum, qui forsitan ipse jam Aeschini dolorem suum expresserat de injusta, quam passus sit, sorte. Septima autem ad senatum populumque Atheniensem datur, atque etiam ibi enuntiationi laudatae addit explicationem: φημὶ μέντοι βοηθῶν τοῖς νόμοις ταῦτα πεπονθέναι; neque haec judicandi diversitas eos offendere potest, qui oratores ipsos legerunt. Quod autem Marklandus affirmat, alioquin hanc epistolam Aeschine non indignam videri, id mihi secus videtur. Gloriabundi, ne dicam inepti, sophistae est, suam sortem comparare cum sorte Themistoclis et Miltiadis.

ὅτι μικρὸν ὦφλε] Ὦφλε pro vulgato ὤφειλε Bekkerus dedit e codd., ita ut auctor Atticistarum praecepta secutus sit. Phrynichus p. 463. ὄφλημα καὶ ὀφείλημα διαφέρει. ὄφλημα γὰρ ἐκ καταδίκης λέγεται· ὀφείλημα δὲ, ὃ ἐδανείσατό τις. Ceterum in μικρὸν sophistica

τηρίῳ ἀπέθανε· ταύτῃ τῇ πόλει Αἰσχίνην τὸν Ἀτρομήτου φεύγοντα ἀγανακτεῖν οἴεσθαι δεῖν, εἴ τι τῶν εἰωθότων Ἀθήνησιν ἔπαθεν. ἀλλ' ἔγωγε καὶ λαμπρὸν εἰκότως μοι νομίσαιμ' ἂν αὐτὸ γενέσθαι τὸ μετ' ἐκείνων ἐν ἀδοξίᾳ παρὰ τοῖς ἔπειτα ἀνθρώποις, καὶ ἄξιος τοῦ ὅμοια παθεῖν ἐκείνοις γεγονέναι.

4.

Ἐπεί σοι δοκεῖ πυνθάνεσθαι περὶ Κλεοκράτους, ὅστις ἐστὶν ὁ Κλεοκράτης, ἄκουε. παύσῃ γὰρ οὐ προῖκα πολυπραγμονῶν, οὐδ' ἄνευ πρὶν μακρᾶς ἀκοῦσαι διηγήσεως. τὸ μὲν γὰρ γένος ἐστὶν ἁπάντων ἀνδρῶν Ἑλλήνων οὐκ ἐν ἀφανεστάτοις· Ἀρίφρονα τὸν ἐκ Δαμαγήτου εἴ που πυν-

---

est deminutio. Ut enim historici docent, Miltiades quinquaginta talentis erat multatus.

ἐν ἀδοξίᾳ] Ironice, eadem invidia flagrare, qua heroes illi. Seriore enim tempore judicabantur ingratissimi fuisse aequales erga illorum virtutem.

Ep. 4.

παύσῃ γὰρ οὐ προῖκα πολυπραγμονῶν] Affectata locutio, quae significat: Auditis enim quae dicam, invenies tempus te et operam non perdidisse.

τὸ μὲν γὰρ γένος ἐστὶν ἁπάντων ἀνδρῶν Ἑλλήνων οὐκ ἐν ἀφανεστάτοις] Duram hanc locutionem merito appellat Taylor, si *τὸ γένος* sit subjectum. Si *ἁπάντων ἀνδρῶν Ἑλλήνων* abesset, tolerabilius foret *τὸ γένος οὐκ ἐν ἀφανεστάτοις*: quamquam ne tum quidem ejus generis meiosis, quam amant Graeci. Pingue enim est, duas ubique miscere negationes, ut affirmatio augeatur; sed ex notione vocabuli et usu loquendi certa quaedam adhibita sunt, et seriori demum tempore haec tamquam elegantia valuit. *Τὸ γένος οὐκ ἀφανὲς* non ingratum; *τὸ γένος οὐκ ἐν ἀφανεστάτοις* ingratum; *τὸ γένος ἁπάντων ἀνδρῶν Ἑλλήνων οὐκ ἐν ἀφανεστάτοις* ingratissimum.

ἐκ Δαμαγήτου] Damagetus erat rex Jalysi, urbis in insula Rhodo, qui Ol. XXVIII. circiter Aristomenis Messeniorum ducis tertiam filiam uxorem duxit. Pausanias IV, 24, 1. Sed is, de quo apud Pindarum Olymp. VII. sermo est, haud dubie est recentior. Boeckh ad Pindari Olymp. VII, p. 165.

θάνοιο, ὃν καὶ ὁ μέγας αἴρει Πίνδαρος. ἀλλ' ὅπως μὴ γέλωτα ὀφλισκάνῃς ζητῶν, ὅστις ἐστὶν ὁ Πίνδαρος. τουτὶ μὲν γὰρ οἶμαι ὅτι καὶ παρὰ Μαντίᾳ τῷ γραμματιστῇ ἅμα ἐμοί ποτε ἔμαθες τὸ γράμμα· καὶ εἰ μηδενὸς ἔτι τῶν παρὰ Μαντίᾳ μνημονεύεις, ἐν γοῦν ταῖς ἐκκλησίαις Μελανίππου ἑκάστοτε ἀκούεις λέγοντος, „αἵ τε λιπαραὶ καὶ ἀοίδιμοι Ἑλλάδος ἔρεισμα Ἀθᾶναι,“ καὶ ὅτι Πινδάρου τοῦ Θηβαίου τὸ ἔπος τοῦτό ἐστι λέγοντος, καὶ ὅτι ἐζημίωσαν αὐτὸν Θηβαῖοι τοῦτο ποιήσαντα τὸ ἔπος, οἱ δὲ ὑμέτεροι πρόγονοι διπλῆν αὐτῷ τὴν ζημίαν ἀπέδοσαν,

---

τὸ γράμμα] H. l. i. q. τὸ σύγγραμμα. Accurate de hac significatione exposuit Valckenaër in Animadvv. ad Ammonium L. I. c. XIII. Non tamen opus esse videtur, ut pro τουτὶ legatur τουτοὶ sc. Pindari. Τουτὶ τὸ γράμμα est celebre illud carmen.

αἵ τε λιπαραὶ καὶ ἀοίδιμοι Ἑλλάδος ἔρεισμ' Ἀθᾶναι] Scholiastes Aristoph. Nubb. v. 298. Λιπαρὸν εὐθαλῆ, τὴν πᾶσι κομῶσαν. Πίνδαρος· Λιπαραὶ καὶ ἀοίδιμοι Ἑλλάδος ἔρεισμα, κλειναὶ Ἀθῆναι. Adscribitur hoc fragmentum Pindari Dithyrambis p. 74. s. Edit. Heyn. p. 579. s. Boeckh. Boeckhius conjicit, hos fere duos versus fuisse in Attico dithyrambo, ex variorum laudationibus:

αἵτε λιπαραὶ καὶ ἰοστέφανοι καὶ ἀοίδιμοι
Ἑλλάδος ἔρεισμα, κλειναὶ Ἀθᾶναι

— ⏑⏑⏑ — ⏑⏑ — ⏑⏑ — ⏑⏑ — ⏑⏑ Pes Creticus cum dactylico tetrametro

— ⏑⏑⏑ — ⏑ — ⏑⏑ — — Anacrusis, trochaicus monom. cum dactyl. dimetro.

ἐζημίωσαν] Tzetzes ad Hesiodum p. 154. b. Heins. Πίνδαρος χιλίας δραχμὰς ἐξέτισε Θηβαίοις, ὅτι τὰς Ἀθήνας Ἑλλάδος γεγράφηκεν ἔρεισμα. Summam multae hausit ex vita Pindari p. 9. Boeckh.

διπλῆν αὐτῷ τὴν ζημίαν ἀπέδοσαν] Isocrates περὶ ἀντιδόσ. p. 60. s. Orell. Πίνδαρον μὲν τὸν ποιητὴν οἱ πρὸ ἡμῶν γεγονότες ὑπὲρ ἑνὸς μόνον ῥήματος, ὅτι τὴν πόλιν ἔρεισμα τῆς Ἑλλάδος ὠνόμασεν, οὕτως ἐτίμησαν, ὥστε καὶ πρόξενον ποιήσασθαι, καὶ δωρεὰν μυρίας αὐτῷ δοῦναι δραχμάς. In vita Pindari p. 9. Boeckh. dicuntur χιλίας δραχμὰς ἐκτῖσαι, quibus a Thebanis multatus fuerat. Διπλῆν igitur

μετὰ τοῦ καὶ εἰκόνι χαλκῇ τιμῆσαι· καὶ ἦν αὕτη καὶ εἰς ἡμᾶς ἔτι, πρὸ τῆς βασιλείου στοᾶς, καθήμενος ἐνδύματι καὶ λύρᾳ ο Πίνδαρος, διάδημα ἔχων, καὶ ἐπὶ τῶν γονάτων ἀνειλιγμένον βιβλίον. οὗτος δὴ ὁ Πίνδαρος Δαμάγητον ᾄδει ἐκεῖνον, εἰς ὃν ἀνατείνει τὸ Κλεοκράτους γένος. λέγει δέ που ὁ αὐτὸς Πίνδαρος, καὶ τὰ περὶ τοὺς Διαγορείους, καὶ τὰ περὶ τὴν πρεσβῦτιν, ἧς τὸ μητρῷον αὐτοῦ γενος ἅπτεται. καὶ εἰ μὴ σφοδρα ᾔδειν ποιητῶν ὑπέρφρονα ὄντα σε, καὶ τὰ ἀγοραῖα ταῦτα, καὶ τὰ ἀπολέσαντα ἡμᾶς ἐπιτηδευματα μᾶλλον περιέποντα, κἂν ἀποχρῆν ὑπελάμβανόν σε ὑπομνῆσαι, μόνον τὰ περὶ τοὺς Διαγορείους εἰπὼν ἔπη Πινδάρου· νῦν δὲ οἶδα, ὅτι μάτην σοι ταύτην τὴν λύραν λέξομεν. δοκεῖ οὖν μοι ἀνάγκη εἶναι διηγήσασθαί σοι τὸ διήγημα τοῦτο. ἄξιον γὰρ ἀκοῦσαι, εἰ καὶ μὴ προσῆκον Κλεοκράτει. λέγεται γάρ ποτε γυνὴ πρεσβῦτις

---

forsitan dixit auctor ratione interni pretii, quum eum Athenienses etiam προξενίᾳ donaverint.

καθήμενος ἐνδύματι] Quod voluit Hemsterhusius ad Aristophanis Plutum p. 479. καθήμενος ἐν ἐνδύματι, bonis scriptoribus est ex regula. Num in seriore nostrum tolerandum non sit, non decernam. Certe contra codd. addere praepositionem non ausim.

Διαγόρας] Filius Damageti recentioris. Nemo tamen ex illa familia clarior fuit Diagora, cujus multas victorias Pindarus Olymp. VII. inde a v. 80. persequitur. Diagorae tres inclaruerunt filii, natu maximus Damagetus, Olympiae victor, et statua ibi posita insignis, alter Acusilaus, et natu minimus Dorieus, iisdem ornati honoribus. Celebrior fratribus Dorieus, quem Pausenias praeter alias plurimas victorias tres Olympiades continuas post fratres vicisse testatur.

γυνὴ πρεσβῦτις] Pindari Scholiastes in Olymp. VII. prooemio haec habet: Φασὶ καὶ τὴν τούτου (τοῦ Διαγόρου) θυγατέρα Καλλιπάτειραν ἐλθεῖν εἰς τὴν Ὀλυμπίαν καὶ αἰτεῖν παρὰ τῶν Ἑλλανοδικῶν ἐπιτρέψαι τὴν θέαν αὐτῇ, τοὺς δὲ κωλύειν φάσκοντας κατὰ νόμον, γυναῖκα μὴ θεωρεῖν τον γυμνικὸν ἀγῶνα· τὴν δὲ φῆσαι πρὸς αὐτοὺς, οὐχ ὁμοίαν

Ὀλυμπίασι παρελθοῦσα εἰς τὸ στάδιον, ἱστάναι τε ἅμα τοῖς ἀνδράσι, καὶ θεᾶσθαι τοὺς ἀγωνιζομένους. ἐπιστάντων δὲ αὐτῇ τῶν Ἑλλανοδικῶν, ὅτι ἐτόλμησε παρελθεῖν εἰς τὸ στάδιον, ἀποκρίνασθαι, τίνι γὰρ ἄλλῃ τοῦτο γυναικὶ δέδωκε καυχήσασθαι οὕτως ὁ θεὸς, ὅτι καὶ πατέρα καὶ τρεῖς ἀδελφοὺς Ὀλυμπιονίκας ἔχει καὶ υἱὸν ἐπ᾽ Ὀλύμπια ἄγει; ταύτης οὖν τῆς πρεσβύτιδος, καὶ τούτου τοῦ γένους, ἀπόῤῥωξ ἐστὶν ὁ Κλεοκράτης· ὡς ἔστι μᾶλλον πάντων ἢ αὐτοῦ πυθέσθαι. καὶ πλείω μὲν οὐ βούλομαι λέγειν· μὴ, οὐ μηνῦσαι σοι, ὅπερ ἠξίωσας, ὅςτις ἐστὶν ὁ Κλεοκράτης, βούλεσθαι μόνον, ἀλλὰ καὶ ἐγκεκωμιακέναι

εἶναι ταῖς ἄλλαις γυναιξὶν, ἀλλὰ φέρειν πλέον τι ταῖς προγονικαῖς ἀρεταῖς ἐπερειδομένην· ἔσχε γὰρ καὶ τὸν πατέρα καὶ τοὺς τρεῖς ἀδελφοὺς Ὀλυμπιονίκας. — — καὶ δεῖξαι τάς τε τοῦ πατρὸς καὶ τῶν ἀδελφῶν στήλας, καὶ οὕτω νικηθέντας τοὺς Ἑλλανοδίκας ἐπιχωρῆσαι καὶ συνήθειαν νόμου διαλῦσαι καὶ τῇ Καλλιπατείρῃ τὴν θέαν ἐπιτρέψαι. Nimirum ex hoc fonte auctor epistolae historiolam hauserat; nulla ejus in ipso Pindaro mentio; Grammatici autem interdum scholiorum narrationes ipsi Pindaro tribuebant. Alii hoc Berenice, sorori Callipatires contigisse tradunt, quod probabilius est. Vide Boeckh l. l.

Ἑλλανοδίκαι] „Sic appellabantur judices certaminum Olympicorum, qui athletas examinabant, jusjurandum ab iis insuper exigebant, inter se committebant et tandem judicabant. Neque vero decernebant tantum coronam victoribus, sed etiam castigabant eos, qui aliquid contra leges fecerant. Vario fuerunt numero diversis temporibus, sed ad extremum potissimum decem, aliquando tamen plures, aliquando pauciores, prout tribuum numerus Eleis, unde eligebantur, major aut minor fuit.“ Perizonius ad Aeliani Varr. Historr. IX, 31.

ἀπόῤῥωξ] *Ἀποῤῥῶγες* vel dici solent **saxa praerupta** vel **partes avulsae**. Suidas addit etiam aliud: *καὶ γένους ἀπογονή. Οὗτος δὲ ἦν ἄρα Ἐριννύων ἀπόῤῥωξ.* Respicit locum in Aristoph. Lys. 813., ubi Timon dicitur *Ἐριννύων ἀπόρρωξ* tropice *διὰ τὴν μισανθρωπίαν*, ut animadvertit Scholiastes. De genere hominis nativo, ex quo quis descendit, apud Atticos non inveni.

αὐτὸν, ὥςπερ καὶ Θρασύμαχος τὸν ξένον, συντετάχθαι, καὶ ἀποτίνειν ταύτην τὴν χάριν τοῦ λαμπρῶς ἑστιᾶσθαι, δοκῶ. τοσοῦτον μέντοι εἴποιμ᾽ ἂν, ὅτι ἡ πρεςβῦτις ἐκείνη, εἰ τοῦτον ἐγνώκει τὸν Κλεοκράτην, πολὺ ἂν μᾶλλον ἐπὶ τούτῳ, ἢ ἐπὶ τοῖς πέντε Ὀλυμπιονίκαις ἐσεμνύνετο.

5.

Ὁ μὲν Ἰουλιάδης, ᾧ μάλιστ᾽ ἐπεποίθεις, οὔτε, ὅτε ἀφίγμεθα εἰς Ῥόδον, παρὼν ἔτυχεν, ἀλλὰ περὶ Λίνδον ἦν· οὔτε ἐπανελθὼν εἰς Ῥόδον, περιττῶς ἠσμένισεν ἡμᾶς, ἔξω δὴ τοῦ τὰ κοινὰ ταῦτα προςτάξαι, λέγειν, εἴ τινων

ὥςπερ ὁ Θρασύμαχος τὸν ξένον] Videtur auctor respicere libellum, qui eo tempore sub Thrasymachi nomine latus esse videtur ἐγκώμιον τοῦ ξένου.

συντετάχθαι] Συντάττομαι mihi mandatur, mandatum accipio. Medium συντάξασθαι pro jubere, mandare dixerunt imperiti, ut apparet ex Luciani Soloec. §. 5.

Ep. 5.

Ῥόδον] Intelligenda est urbs. Sed Lindus et Camirus, urbe Rhodo condita, non amplius videntur ut urbes inhabitatae fuisse. Narrat enim Diodorus Siculus L. XIII, 71. Οἱ δὲ τὴν Ῥόδον νῆσον κατοικοῦντες καὶ Ἰήλυσον καὶ Λίνδον καὶ Κάμειρον μετῳκίσθησαν εἰς μίαν πόλιν τὴν νῦν καλουμένην Ῥόδον. Videntur tamen divites villas habuisse Lindi et Camiri.

περιττῶς ἠσμένισεν ἡμᾶς] Hesychius ἀσμενίζει, χαίρει, ἀγάλλεται. ἠσμένισαν ἐχάρησαν. οὐκ ἠσμένισαν οὐκ ἐχάρησαν. Sed nullum hujus vocabuli apud Atticos scriptores vestigium, verum legitur in versione Alexandrina et apud recentiores Graecos. Memorabile vero est, quod auctor noster in eadem epistola hoc verbum transitive adhibeat et intransitive; transitive hoc loco benigne, humaniter excipere, intransitive infra, ἀσμενίζω τῇ συμφορᾷ: aequo animo fero calamitatem. Transitivae significationis, quam derivatio non respuit, vel constructionis cum accusativo Suidas habet exemplum s. v., nescio ex quo auctore: οἱ μὲν οὖν ὄλεθρον ἀσμενίσαντες. Certe junctum est accusativo, ut apud Lucianum Amorr. 27. σχεδὸν γὰρ οὐ κατὰ ταὐτὰ τοῖς ἀλόγοις ζώοις τὰς μονήρεις διατριβὰς ἀσμενίζομεν; ipsum autem vocabulum nonnisi posterioris aetatis.

χρῄζομεν. ὁ δὲ Κλεοκράτης οὐδὲ, μὰ τοὺς θεοὺς, ἐπιστεῖλαί σοι δυναίμην ἂν αὐτάρκως τὴν ὑπερβολὴν τῆς φιλανθρωπίας, ὅση κέχρηται περὶ ἐμέ. καὶ γὰρ οἰκίαν παρεσκεύασέ μοι δημοσίᾳ δοθῆναι, καὶ χωρίον ἐν Καμείρῳ, καὶ αὐτὸς δὲ ἔπεμψεν ἡμῖν τὰ ἐπιτήδεια, καὶ εἰς ἐνιαυτὸν ἄφθονα, οὐκ ἐμοὶ μόνον, ἀλλὰ καὶ Τευθραντι καὶ Ὁπλιστίᾳ· τὰ μὲν ἄλλα εἰ καὶ φαυλότερα τῶν Ἀθήνησιν, ὥςπερ ἔλαιον καὶ μέλι, ἀλλ' οἵων παρόντων οὐδὲν ἂν τῶν ἐκεῖ δεηθείημεν· οἶνόν γε μὴν καὶ πολὺ ἀμείνω τοῦ παρ' ὑμῖν, καὶ ἐκ στροβίλου ἅμα καὶ ἀλεύρων καὶ ἀρωμάτων πεποιημένα ἐν τύποις τραγήματα· ὧν καὶ πέπομφά σοι. ταῦτα δ' ἡμῖν ἔπεμψε, καὶ πυρῶν μεδίμνους, ὅσοις ἐγὼ μεδίμνοις οὐχ ὅπως ἐμαυτὸν, ἀλλὰ καὶ πάντας Κοθωκίδας διαρκεῖν ἂν ἐδυνάμην· καὶ πολλὰ δὲ ἄλλα πρὸς τούτοις, ἃ γράφειν αἰσχύνομαι, ἵνα μή τινα δηλοῖν ἐμὴν μικρολογίαν δόξω. τὸ μὲν γὰρ τὰ μικρὰ πάνυ ὑπερασπάζεσθαι, μικρολογίας μέν τινος εἶναί φημι καὶ ἀπειροκαλίας· φιλοφρονημάτων δὲ καὶ μικρῶν πάνυ ἔγωγε ἡττᾶσθαι ὁμολογῶ. παρέχει δὲ ἡμῖν καὶ ἄλλα καλλίω, συῶν τε ἀγρίων, καὶ δορκάδων τῶν πέραθεν ἀπολαύσματα·

ἐκ στροβίλου] Phrynichus p. 396 *οἱ μὲν πολλοὶ στρόβιλον τὸ ἐδώδιμον λέγουσι καὶ αὐτὸ τὸ δένδρον. οἱ δ' ἀρχαῖοι τὴν βίαιον τοῦ ἀνέμου εἴλησιν καὶ συστροφὴν καλοῦσι καὶ συστροβιλῆσαι τὸ στρέψαι. οὕτως οὖν καὶ ἡμῖν ῥητέον. τὸ δὲ ἐδώδιμον καὶ πιτύων καρπὸν καὶ τὸ δένδρον πίτυν*: ubi vide Lobeck.

ὅσοις ἐγὼ μεδίμνοις] Substantivi repetitionem Latinismum esse monuit Reiske.

Κοθωκίδας διαρκεῖν] *Διαρκεῖν* est parem esse, et hoc quidem verbum interdum dicitur de eo, qui par est tribuendo ad vitam necessaria. Tum aut simpliciter dicitur *διαρκεῖν τινὶ* aut *διαρκεῖν πρός τινα*, aut additur *εἰς βίον*. *Διαρκεῖν τινὰ* nusquam legitur.

πέραθεν] Hoc adverbium in *θεν* vix legitur apud prosaicos bonae aetatis. Cf. Lobeck ad Phryn. p. 93. s. Id tamen legimus apud Eurip. Heracl. 83., ut multa in *θεν* usurparunt tragici, quae Attica prosa rejicit.

ἔτι δὲ καὶ αὐτὸς ἡμῖν σύνεστιν ὁσημέραι, καὶ μεταδίδωσι τῆς αὐτοῦ σοφίας, ἢ σοφωτέρα ἢ καθ' ἡμᾶς ἐστιν. ἃ γὰρ ἐγὼ παθὼν ἐδιδάχθην, ταῦτα πρὶν παθεῖν φυλάττεται, σοφία, καὶ οὐχ, ὥσπερ οἱ ἄφρονες, πείρᾳ διδασκόμενος. οὐ γὰρ πολιτεύεται. καὶ ὅσον γ' ἐπὶ Κλεοκράτει, οὐδεμιᾶς πόλεως ἄλλης, οὐδὲ ἀνθρώπων ἐπιθυμῶ, ἀλλὰ καὶ σφόδρα ἀσμενίζω τῇ συμφορᾷ. καὶ ἀρχὴ δοκεῖ μοι τοῦ βίου ἡ ἀπαλλαγὴ τῆς αὐτόθι πολιτείας. καὶ οὕτω μὲν ὑπεραγαπῶ τὰ παρόντα, καὶ, ὅπερ φασὶ Σοφοκλέα ἤδη γέροντα ὑπὲρ ἄλλης ἡδονῆς εἰπεῖν, ὥσπερ κυνὸς λυττώσης, ἀπηλλάχθαι ποτὲ τῆς τοῦ πολιτεύεσθαι ἡδονῆς δοκῶ, καὶ, ὅταν ὁ νοῦς ἐπικρατῇ, τρισευδαίμων ἔγωγε ἐμαυτῷ τῆς φυγῆς, ἣν φεύγω, φαίνομαι· ὅταν δ' αὖ πάλιν ὑπέλθῃ μοι λογισμός τε καὶ γνώμη τῶν αὐτόθι, οὐχ ἑταίρων μόνον ἀλλὰ καὶ συγγενῶν καὶ ἐκκλησίας καὶ Κολυττοῦ, ἐν ᾧ πέντε καὶ τετταράκοντα ἔτη ᾤκησα, καὶ τοῦ Ἁλῆσι χωρίου καὶ τῶν ἐκεῖ μοι μετὰ σοῦ καὶ Φιλίνου διατριβῶν γενομένων, μεταῤῥεῖ ἅπαν τὸ αἷμα ἄλλοσέ ποι τῶν σπλάγχνων πάλιν, καί μοι δήποτε καὶ λοιδορίαι, αἷς ἐλοιδορούμην ὑπὸ Δημοσθένους, ἥδισται δοκοῦσι, καὶ σκώμματα, ἐφ' οἷς οὐδεὶς

ἀπολαύσματα] Nomen quod nusquam nisi apud posteriores, Plutarchum, apud auctorem epistolarum Eurip. ep. 4. cet. legitur.

ὑπὲρ ἄλλης ἡδονῆς] Scilicet ὑπὲρ τῆς τῶν ἀφροδισίων.

ὥσπερ κυνὸς λυττώσης] Plato de rep. 1, 3., qui primus hanc historiolam narravit, ait ὥσπερ λυττῶντα καὶ ἄγριον δεσπότην, ubi vide Astium, qui, quae colligenda sunt, collegit.

Κολυττοῦ] Cf. Ctesiph. 43.

Ἁλῆσι] Ἁλαί, nomen duorum demorum: Ἁλαὶ Αἰξωνίδες τῆς Κεκροπίδος φυλῆς. Ἁλαὶ Ἀραφηνίδες, τῆς Αἰγηΐδος. Uberius rem exposuit Meursius.

ἔξω Κτησιφῶντος ἐγέλασε πώποτε. ἀλλὰ γὰρ ἅλις μὲν ἡμῖν δακρύων. σὺ δ' εὐτυχοίης, καὶ μὴ μόνον πολιτείαν ἅπασαν, ἀλλὰ καὶ Λεπτίνην φεῦγε, ὅτι πρὸς ἡμᾶς ἔχει φιλαπεχθημόνως, καὶ ὅτι τἆλλα τοιοῦτός ἐστιν, ὥστε περιεῖναι μὲν μηδενὸς λαμπρότερον, ἡττᾶσθαι δὲ, ἀδοξότατον. καὶ μάλιστα μὲν παραινῶ, φεῦγε τὰς μετ' αὐτοῦ διατριβάς· εἰ δ' αἲ συνέλθοις ἐκ τύχης, καὶ καθ' ἡμῶν λέγοι τι, πειρῶ σιωπᾷν, ἂν ἰσχύῃς, καὶ γελᾷν. ἀλλ' ὁ μὲν διδωσιν ἀποχρῶσαν δίκην τῷ πᾶσιν ἀνθρώποις καὶ γέλωτος εἶναι δοκεῖν ἅμα καὶ μισους ἄξιος. σὺ δὲ, εἰ μὴ πάνυ φοβῇ τὴν θάλατταν, ἀφίκοιο παρ' ἡμᾶς ποτὲ, καὶ παρασχὼν σεαυτὸν ἰδεῖν ἡμῖν, ἐπανίοις πάλιν.

6. ΦΙΛΟΚΡΑΤΕΙ.

Ἀρίστων οὗτος, ὁ κομίζων σοι τὴν ἐπιστολὴν, ὁ πρῶτός ἐστιν ἡμᾶς ὑποδεξάμενος ἐν Ῥόδῳ. πέπλευκε δὲ Ἀθήναζε κατὰ χρείαν κηδεστοῦ γέροντος, ἀργύριον εἰσπράξων παρὰ τοῦ τραπεζίτου Χαρμολα. σκόπει οὖν, ὅπως αὐτον υποδέξῃ φιλοφρόνως. ἔστι δὲ κομιδῇ εὐτελὴς τὴν δίαιταν καὶ πρέπων ἡμῖν. ᾧ καὶ τὰ ἄλλα συμπράξεις, ὡς μάθῃ, ὅτι οὐ παντελῶς ἔρημον φίλων ὑπεδέξατο, ἀλλ' ἔστιν ἔτι τις Ἀθήνησιν Αἰσχίνου λόγος καὶ μνήμη.

ἔξω Κτησιφῶντος] Praeter Ctesiphontem, si Ctesiphontem excipias. Rarius quidem ἔξω hac significatione apud Atticos legitur, nec tamen probis auctoribus caret, ut Thucydide, qui vocabulo sic utitur I, 10. III, 61. V, 26.

Λεπτίνην] Varios hujus nominis Athenienses fuisse monet F. A. Wolfius ad Leptin. Prolegg. p. XXXXV. n. 22.

τὴν δίκην ἀποχρῶσαν] Participium ἀποχρῶν, ἀποχρῶσα, ἀποχρῶν non est Atticorum. Apud Herodotum ἀποχρᾷν est verbum personale. Hinc recentiores formarunt participium ἀποχρῶν.

Ep. 6.

πρέπων ἡμῖν] Similis nostrum vix est prosae Atticae.

7. ΤΗΙ ΒΟΥΛΗΙ ΚΑΙ ΤΩΙ ΔΗΜΩΙ.

Ἐπυθόμην τὰ ῥηθέντα Μελανώπῳ πρὸς ὑμᾶς, καὶ τὴν μὲν ὑμετέραν ἀπεδεξάμην φιλανθρωπίαν· Μελανώπῳ δὲ οὐκ ἐπανελθὼν μόνον νομίζω τοῖς βεβιωμένοις αὐτῷ πρέπουσαν ἀποδώσειν χάριν, ἀλλὰ τυχὸν ἔτι καὶ τῆς πατρίδος ἐστερημένος, ὅμως ἀρκέσαι πειράσομαι. ἐγὼ γάρ, ὦ Μελάνωπε, κατὰ μὲν τοὺς νόμους ὁμολογῶ ταύτῃ κεχρῆσθαι τῇ συμφορᾷ· φημὶ μέντοι βοηθῶν τοῖς νόμοις ταῦτα πεπονθέναι, καὶ ὑπὲρ τοῦ μηδένα στεφανοῦσθαι παρ᾽ αὐτοὺς ἀγωνιζόμενος. ἐμοὶ μὲν οὖν τὸ δεδυστυχηκέναι πολιτευομένῳ κοινόν ἐστι πρὸς Θεμιστοκλέα καὶ Ἀριστείδην καὶ ἄλλους πολλοὺς τῶν λαμπροτάτων ποτὲ ἐν τῇ πόλει γενομένων· σοὶ δέ, τὸ μέχρι μὲν χθὲς καὶ πρώην, θεσμοθετοῦντος ἤδη σοῦ, προεστάναι τὴν μητέρα, τρὶς δὲ ἐμπεσεῖν τὸν πατέρα σου εἰς τὸ δεσμωτήριον, σὲ δὲ πραθέντα δισχιλίων δραχμῶν τὴν ἀκμὴν ἡταιρηκέναι, τοῖς περὶ Τίμαρχον νέοις κοινὰ ταῦτ᾽ εἶναι, οὐ τοῖς περὶ Θεμιστοκλέα ἢ Ἀριστείδην τὸν δίκαιον ὑπολαμβάνω. ἀλλὰ Μελανώπῳ μὲν αὖθις, ἐὰν ὑμῖν ποτε δόξῃ, διαλέξομαι παρών· ὑμῖν δὲ τῆς μὲν εὐνοίας, ἣν ἀπόντι μοι παρέσχεσθε, θορυβοῦντες, καὶ μὴ θέλοντες ἀκροάσασθαι τῶν λοιδορούντων ἡμᾶς, πολλὴν χάριν ἔχω. δικαιότερον μέντοι καὶ ἄμεινον, ἐμαυτὸν ἐᾶσαι πρὸς τοὺς λοιδοροῦντας λέγειν, ψηφισαμένους, ἃ πολλάκις πολλοῖς ἤδη ἐψηφίσασθε, τὰ μέγιστα ἁμαρτοῦσιν εἰς ὑμᾶς· εἰ δὲ μή, τό γε δεύτερον ἂν δεηθείην, ἀνέχεσθαι πολὺ μᾶλλον τῶν λοιδορούντων

Ep. 7.

Μελανώπῳ] Num idem sit, cujus crimina exponit Demosthenes κατὰ Τιμοκρ. p. 740., nescio. Harpocration eum appellat κηδεστὴν Διοφάντου τοῦ ῥήτορος.

προεστάναι] Προστῆναι ad imitationem Latini prostare videtur serioribus Graecis de meretricibus vulgivagis adhibitum fuisse; fortasse etiam de femina dicitur, quae ipsa habet lupanar.

τοῦτο προςθῇς σαυτῷ τε καὶ τοῖς παισὶν, οὓς τρέφεις, βοηθοὺς ἔσεσθαι δηλονότι τοῦ γήρως σοῦ προςδοκῶν· καὶ μέμνησο, ὅτι οὐδὲ Αἰσχίνης εἰς τοῦτό ποτε ἀφίξεσθαι ἤλπισεν, οὐδ' ἄλλοι πολλοὶ, καὶ ἔτι μᾶλλον ἀκμάσαντες ἐν τῇ ἑαυτῶν πόλει, καὶ πολὺ λαμπρότεροι ἐμοῦ τε καὶ σοῦ γενόμενοι.

3.

Οἱ μὲν ἄλλοι πάντες, ὅσοι φεύγουσιν ἀδίκως, ἢ δέονται τῶν πολιτῶν, ὅπως ἐπανέλθωσιν, ἢ διαμαρτόντες τούτου, λοιδοροῦσι τὰς ἑαυτῶν πατρίδας, ὡς φαύλως αὐτοῖς προςφερομένας· ἐγὼ δὲ, ἐπείπερ ἀναξίως ὧν ἐπολιτευσάμην ἠτύχησα, καὶ κατηγορῶν ἄλλων αὐτὸς ἑάλων, ἄχθομαι μὲν, ὥςπερ εἰκός ἐστιν, ἀγανακτῶ δὲ οὐδέν. οὐ γὰρ οὕτως ἔγωγε ἠλίθιός εἰμι, ὥςτε ἐξ ἧς πόλεως ὁ Θεμιστοκλῆς, ὁ τὴν Ἑλλάδα ἐλευθερώσας, ἐξηλάθη, καὶ ὅπου Μιλτιάδης, ὅτι μικρὸν ὦφλε τῷ δημοσίῳ, γέρων ἐν τῷ δεσμω-

ἤλπισεν] Ἐλπὶς et ἐλπίζειν vocabula μέσα esse, quamquam plerumque bona significatione usurpentur, ostenderunt interpretes ad Thomam M. s. v. ἐλπίς.

Ep. 3.

φεύγουσιν ἀδίκως] Equidem non admodum offendor in repugnantia, quae legitur infra ep. 7., ubi dicit auctor κατὰ μὲν τοὺς νόμους ὁμολογῶ ταύτῃ κεχρῆσθαι τῇ συμφορᾷ. Nostra enim epistola scripta est ad amicum, qui forsitan ipse jam Aeschini dolorem suum expresserat de injusta, quam passus sit, sorte. Septima autem ad senatum populumque Atheniensem datur, atque etiam ibi enuntiationi laudatae addit explicationem: φημὶ μέντοι βοηθῶν τοῖς νόμοις ταῦτα πεπονθέναι; neque haec judicandi diversitas eos offendere potest, qui oratores ipsos legerunt. Quod autem Marklandus affirmat, alioquin hanc epistolam Aeschine non indignam videri, id mihi secus videtur. Gloriabundi, ne dicam inepti, sophistae est, suam sortem comparare cum sorte Themistoclis et Miltiadis.

ὅτι μικρὸν ὦφλε] Ὦφλε pro vulgato ὤφειλε Bekkerus dedit e codd., ita ut auctor Atticistarum praecepta secutus sit. Phrynichus p. 463. ὄφλημα καὶ ὀφείλημα διαφέρει. ὄφλημα γὰρ ἐκ καταδίκης λέγεται· ὀφείλημα δὲ, ὃ ἐδανείσατό τις. Ceterum in μικρὸν sophistica

τηρίῳ ἀπέθανε· ταύτῃ τῇ πόλει Αἰσχίνην τὸν Ἀτρομήτου φεύγοντα ἀγανακτεῖν οἴεσθαι δεῖν, εἴ τι τῶν εἰωθότων Ἀθήνησιν ἔπαθεν. ἀλλ' ἔγωγε καὶ λαμπρὸν εἰκότως μοι νομίσαιμ' ἂν αὐτὸ γενέσθαι τὸ μετ' ἐκείνων ἐν ἀδοξίᾳ παρὰ τοῖς ἔπειτα ἀνθρώποις, καὶ ἄξιος τοῦ ὅμοια παθεῖν ἐκείνοις γεγονέναι.

4.

Ἐπεί σοι δοκεῖ πυνθάνεσθαι περὶ Κλεοκράτους, ὅστις ἐστὶν ὁ Κλεοκράτης, ἄκουε. παύσῃ γὰρ οὐ προῖκα πολυπραγμονῶν, οὐδ' ἄπει πρὶν μακρᾶς ἀκοῦσαι διηγήσεως. τὸ μὲν γὰρ γένος ἐστὶν ἁπάντων ἀνδρῶν Ἑλλήνων οὐκ ἐν ἀφανεστάτοις· Ἀρίφρονα τον ἐκ Δαμαγήτου εἴ που πυν-

---

est deminutio. Ut enim historici docent, Miltiades quinquaginta talentis erat multatus.

ἐν ἀδοξίᾳ] Ironice, eadem invidia flagrare, qua heroes illi. Seriore enim tempore judicabantur ingratissimi fuisse aequales erga illorum virtutem.

Ep. 4.

παύσῃ γὰρ οὐ προῖκα πολυπραγμονῶν] Affectata locutio, quae significat: Auditis enim quae dicam, invenies tempus te et operam non perdidisse.

τὸ μὲν γὰρ γένος ἐστὶν ἁπάντων ἀνδρῶν Ἑλλήνων οὐκ ἐν ἀφανεστάτοις] Duram hanc locutionem merito appellat Taylor, si *τὸ γένος* sit subjectum. Si *ἁπάντων ἀνδρῶν Ἑλλήνων* abesset, tolerabilius foret *τὸ γένος οὐκ ἐν ἀφανεστάτοις*: quamquam ne tum quidem ejus generis mejosis, quam amant Graeci. Pingue enim est, duas ubique miscere negationes, ut affirmatio augeatur; sed ex notione vocabuli et usu loquendi certa quaedam adhibita sunt, et seriori demum tempore haec tamquam elegantia valuit. *Τὸ γένος οὐκ ἀφανὲς* non ingratum; *τὸ γένος οὐκ ἐν ἀφανεστάτοις* ingratum; *τὸ γένος ἁπάντων ἀνδρῶν Ἑλλήνων οὐκ ἐν ἀφανεστάτοις* ingratissimum.

ἐκ Δαμαγήτου] Damagetus erat rex Jalysi, urbis in insula Rhodo, qui Ol. XXVIII. circiter Aristomenis Messeniorum ducis tertiam filiam uxorem duxit. Pausanias IV, 24, 1. Sed is, de quo apud Pindarum Olymp. VII. sermo est, haud dubie est recentior. Boeckh ad Pindari Olymp. VII, p. 165.

θάνοιο, ὃν καὶ ὁ μέγας αἴρει Πίνδαρος. ἀλλ' ὅπως μὴ γέλωτα ὀφλισκάνῃς ζητῶν, ὅςτις ἐστὶν ὁ Πίνδαρος. τουτὶ μὲν γάρ οἶμαι ὅτι καὶ παρὰ Μαντίᾳ τῷ γραμματιστῇ ἅμα ἐμοί ποτε ἔμαθες τὸ γράμμα· καὶ εἰ μηδενὸς ἔτι τῶν παρὰ Μαντίᾳ μνημονεύεις, ἐν γοῦν ταῖς ἐκκλησίαις Μελανίππου ἑκάστοτε ἀκούεις λέγοντος, „αἵ τε λιπαραὶ καὶ ἀοίδιμοι Ἑλλάδος ἔρεισμα Ἀθᾶναι,“ καὶ ὅτι Πινδάρου τοῦ Θηβαίου τὸ ἔπος τοῦτό ἐστι λέγοντος, καὶ ὅτι ἐζημίωσαν αὐτὸν Θηβαῖοι τοῦτο ποιήσαντα τὸ ἔπος, οἱ δὲ ὑμέτεροι πρόγονοι διπλῆν αὐτῷ την ζημίαν ἀπέδοσαν,

---

τὸ γράμμα] H. l. i. q. *τὸ σύγγραμμα.* Accurate de hac significatione exposuit Valckenaër in Animadvv. ad Ammonium L. I. c. XIII. Non tamen opus esse videtur, ut pro *τουτὶ* legatur *τοῦτο* sc. Pindari. *Τουτὶ τὸ γράμμα* est celebre illud carmen.

αἵ τε λιπαραὶ καὶ ἀοίδιμοι Ἑλλάδος ἔρεισμ' Ἀθᾶναι] Scholiastes Aristoph. Nubb. v. 298. *Λιπαρὸν εὐθαλῆ, τὴν πᾶσι κομῶσαν· Πίνδαρος· Λιπαραὶ καὶ ἀοίδιμοι Ἑλλάδος ἔρεισμα, κλειναὶ Ἀθῆναι.* Adscribitur hoc fragmentum Pindari Dithyrambis p. 74. s. Edit. Heyn. p. 579. s. Boeckh. Boeckhius conjicit, hos fere duos versus fuisse in Attico dithyrambo, ex variorum laudationibus:

αἵτε λιπαραὶ καὶ ἰοστέφανοι καὶ ἀοίδιμοι
Ἑλλάδος ἔρεισμα, κλειναὶ Ἀθᾶναι

— ∪∪∪ — ∪∪ — ∪∪ — ∪∪ — ∪∪ Pes Creticus cum dactylico tetrametro

— ∪∪∪ — ∪ — ∪∪ — — Anacrusis, trochaicus monom. cum dactyl. dimetro.

ἐζημίωσαν] Tzetzes ad Hesiodum p. 154. b. Heins. *Πίνδαρος χιλίας δραχμὰς ἐξέτισε Θηβαίοις, ὅτι τὰς Ἀθήνας Ἑλλάδος γεγράφηκεν ἔρεισμα.* Summam multae hausit ex vita Pindari p. 9. Boeckh.

διπλῆν αὐτῷ τὴν ζημίαν ἀπέδοσαν] Isocrates *περὶ ἀντιδόσ.* p. 60. s. Orell. *Πίνδαρον μὲν τὸν ποιητὴν οἱ πρὸ ἡμῶν γεγονότες ὑπὲρ ἑνὸς μόνον ῥήματος, ὅτι τὴν πόλιν ἔρεισμα τῆς Ἑλλάδος ὠνόμασεν, οὕτως ἐτίμησαν, ὥςτε καὶ πρόξενον ποιήσασθαι, καὶ δωρεὰν μυρίας αὐτῷ δοῦναι δραχμάς.* In vita Pindari p. 9. Boeckh. dicuntur *χιλίας δραχμὰς ἐκτῖσαι*, quibus a Thebanis multatus fuerat. *Διπλῆν* igitur

μετὰ τοῦ καὶ εἰκόνι χαλκῇ τιμῆσαι· καὶ ἦν αὕτη καὶ εἰς ἡμᾶς ἔτι, πρὸ τῆς βασιλείου στοᾶς, καθήμενος ἐνδύματι καὶ λύρᾳ ὁ Πίνδαρος, διάδημα ἔχων, καὶ ἐπὶ τῶν γονάτων ἀνειλιγμένον βιβλίον. οὗτος δὴ ὁ Πίνδαρος Δαμάγητον ᾄδει ἐκεῖνον, εἰς ὃν ἀνατείνει τὸ Κλεοκράτους γένος. λέγει δέ που ὁ αὐτὸς Πίνδαρος, καὶ τὰ περὶ τοὺς Διαγορείους, καὶ τὰ περὶ τὴν πρεσβῦτιν, ἧς τὸ μητρῷον αὐτοῦ γένος ἅπτεται. καὶ εἰ μὴ σφόδρα ᾔδειν ποιητῶν ὑπέρφρονα ὄντα σε, καὶ τὰ ἀγοραῖα ταῦτα, καὶ τὰ ἀπολέσαντα ἡμᾶς ἐπιτηδεύματα μᾶλλον περιέποντα, κἂν ἀποχρῆν ὑπελάμβανόν σε ὑπομνῆσαι, μόνον τὰ περὶ τοὺς Διαγορείους εἰπὼν ἔπη Πινδάρου· νῦν δὲ οἶδα, ὅτι μάτην σοι ταύτην τὴν λύραν λέξομεν. δοκεῖ οὖν μοι ἀνάγκη εἶναι διηγήσασθαί σοι τὸ διήγημα τοῦτο. ἄξιον γὰρ ἀκοῦσαι, εἰ καὶ μὴ προςῆκον Κλεοκράτει. λέγεται γάρ ποτε γυνὴ πρεσβῦτις

---

forsitan dixit auctor ratione interni pretii, quum eum Athenienses etiam *προξενίᾳ* donaverint.

καθήμενος ἐνδύματι] Quod voluit Hemsterhusius ad Aristophanis Plutum p. 479. *καθήμενος ἐν ἐνδύματι*, bonis scriptoribus est ex regula. Num in seriore nostrum tolerandum non sit, non decernam. Certe contra codd. addere praepositionem non ausim.

Διαγόρας] Filius Damageti recentioris. Nemo tamen ex illa familia clarior fuit Diagora, cujus multas victorias Pindarus Olymp. VII. inde a v. 80. persequitur. Diagorae tres inclaruerunt filii, natu maximus Damagetus, Olympiae victor, et statua ibi posita insignis, alter Acusilaus, et natu minimus Dorieus, iisdem ornati honoribus. Celebrior fratribus Dorieus, quem Pausanias praeter alias plurimas victorias tres Olympiades continuas post fratres vicisse testatur.

γυνὴ πρεσβῦτις] Pindari Scholiastes in Olymp. VII. prooemio haec habet: *Φασὶ καὶ τὴν τούτου (τοῦ Διαγόρου) θυγατέρα Καλλιπάτειραν ἐλθεῖν εἰς τὴν Ὀλυμπίαν καὶ αἰτεῖν παρὰ τῶν Ἑλλανοδικῶν ἐπιτρέψαι τὴν θέαν αὐτῇ, τοὺς δὲ κωλύειν φάσκοντας κατὰ νόμον, γυναῖκα μὴ θεωρεῖν τὸν γυμνικὸν ἀγῶνα· τὴν δὲ φῆσαι πρὸς αὐτοὺς, οὐχ ὁμοίαν*

Ὀλυμπίασι παρελθοῦσα εἰς τὸ στάδιον, ἑστάναι τε ἅμα τοῖς ἀνδράσι, καὶ θεᾶσθαι τοὺς ἀγωνιζομένους. ἐπιστάντων δὲ αὐτῇ τῶν Ἑλλανοδικῶν, ὅτι ἐτόλμησε παρελθεῖν εἰς τὸ στάδιον, ἀποκρίνασθαι, τίνι γὰρ ἄλλῃ τοῦτο γυναικὶ δέδωκε καυχήσασθαι οὕτως ὁ θεὸς, ὅτι καὶ πατέρα καὶ τρεῖς ἀδελφοὺς Ὀλυμπιονίκας ἔχει καὶ υἱὸν ἐπ' Ὀλυμπια ἄγει; ταύτης οὖν τῆς πρεσβύτιδος, καὶ τούτου τοῦ γένους, ἀπόῤῥωξ ἐστὶν ὁ Κλεοκράτης· ὡς ἔστι μᾶλλον πάντων ἢ αὐτοῦ πυθέσθαι. καὶ πλείω μὲν οὐ βούλομαι λέγειν· μὴ, οὐ μηνύσαι σοι, ὅπερ ἠξίωσας, ὅςτις ἐστὶν ὁ Κλεοκράτης, βούλεσθαι μόνον, ἀλλὰ καὶ ἐγκεκωμιακέναι

εἶναι ταῖς ἄλλαις γυναιξὶν, ἀλλὰ φέρειν πλέον τι ταῖς προγονικαῖς ἀρεταῖς ἐπερειδομένην· ἔσχε γὰρ καὶ τὸν πατέρα καὶ τοὺς τρεῖς ἀδελφοὺς Ὀλυμπιονίκας. — — καὶ δεῖξαι τάς τε τοῦ πατρὸς καὶ τῶν ἀδελφῶν στήλας, καὶ οὕτω νικηθέντας τοὺς Ἑλλανοδίκας ἐπιχωρῆσαι καὶ συνήθειαν νόμου διαλῦσαι καὶ τῇ Καλλιπατείρῃ τὴν θέαν ἐπιτρέψαι. Nimirum ex hoc fonte auctor epistolae historiolam hauserat; nulla ejus in ipso Pindaro mentio; Grammatici autem interdum scholiorum narrationes ipsi Pindaro tribuebant. Alii hoc Berenice, sorori Callipatires contigisse tradunt, quod probabilius est. Vide Boeckh l. l.

Ἑλλανοδίκαι] „Sic appellabantur judices certaminum Olympicorum, qui athletas examinabant, jusjurandum ab iis insuper exigebant, inter se committebant et tandem judicabant. Neque vero decernebant tantum coronam victoribus, sed etiam castigabant eos, qui aliquid contra leges fecerant. Vario fuerunt numero diversis temporibus, sed ad extremum potissimum decem, aliquando tamen plures, aliquando pauciores, prout tribuum numerus Eleis, unde eligebantur, major aut minor fuit.“ Perizonius ad Aeliani Varr. Historr. IX, 31.

ἀπόῤῥωξ] *Ἀποῤῥῶγες* vel dici solent s a x a p r a e r u p t a vel p a r t e s a v u l s a e. Suidas addit etiam aliud: *καὶ γένους ἀπογονή. Οὗτος δὲ ἦν ἄρα Ἐριννύων ἀπόῤῥωξ.* Respicit locum in Aristoph. Lys. 813., ubi Timon dicitur *Ἐριννύων ἀπόῤῥωξ* tropice *διὰ τὴν μισανθρωπίαν*, ut animadvertit Scholiastes. De genere hominis nativo, ex quo quis descendit, apud Atticos non inveni.

αὐτὸν, ὥςπερ καὶ Θρασύμαχος τὸν ξένον, συντετάχθαι, καὶ ἀποτίνειν ταύτην τὴν χάριν τοῦ λαμπρῶς ἑστιᾶσθαι, δοκῶ. τοσοῦτον μέντοι εἴποιμ᾽ ἄν, ὅτι ἡ πρεςβῦτις ἐκείνη, εἰ τοῦτον ἐγνώκει τὸν Κλεοκράτην, πολὺ ἂν μᾶλλον ἐπὶ τούτῳ, ἢ ἐπὶ τοῖς πέντε Ὀλυμπιονίκαις ἐσεμνύνετο.

5.

Ὁ μὲν Ἰουλιάδης, ᾧ μάλιστ᾽ ἐπεποίθεις, οὔτε, ὅτε ἀφίγμεθα εἰς Ῥόδον, παρὼν ἔτυχεν, ἀλλὰ περὶ Λίνδον ἦν· οὔτε ἐπανελθὼν εἰς Ῥόδον, περιττῶς ἠσμένισεν ἡμᾶς, ἔξω δὴ τοῦ τὰ κοινὰ ταῦτα προςτάξαι, λέγειν, εἴ τινων

ὥςπερ ὁ Θρασύμαχος τὸν ξένον] Videtur auctor respicere libellum, qui eo tempore sub Thrasymachi nomine latus esse videtur ἐγκώμιον τοῦ ξένου.

συντετάχθαι] Συντάττομαι mihi mandatur, mandatum accipio. Medium συντάξασθαι pro jubere, mandare dixerunt imperiti, ut apparet ex Luciani Soloec. §. 5.

Ep. 5.

Ῥόδον] Intelligenda est urbs. Sed Lindus et Camirus, urbe Rhodo condita, non amplius videntur ut urbes inhabitatae fuisse. Narrat enim Diodorus Siculus L. XIII, 71. Οἱ δὲ τὴν Ῥόδον νῆσον κατοικοῦντες καὶ Ἰήλυσον καὶ Λίνδον καὶ Κάμειρον μετῳκίσθησαν εἰς μίαν πόλιν τὴν νῦν καλουμένην Ῥόδον. Videntur tamen divites villas habuisse Lindi et Camiri.

περιττῶς ἠσμένισεν ἡμᾶς] Hesychius ἀσμενίζει, χαίρει, ἀγάλλεται. ἠσμένισαν ἐχάρησαν. οὐκ ἠσμένισαν οὐκ ἐχάρησαν. Sed nullum hujus vocabuli apud Atticos scriptores vestigium, verum legitur in versione Alexandrina et apud recentiores Graecos. Memorabile vero est, quod auctor noster in eadem epistola hoc verbum transitive adhibeat et intransitive; transitive hoc loco benigne, humaniter excipere, intransitive infra, ἀσμενίζω τῇ συμφορᾷ: aequo animo fero calamitatem. Transitivae significationis, quam derivatio non respuit, vel constructionis cum accusativo Suidas habet exemplum s. v., nescio ex quo auctore: οἱ μὲν οὖν ὄλεθρον ἀσμενίσαντες. Certe junctum est accusativo, ut apud Lucianum Amorr. 27. σχεδὸν γὰρ οὐ κατὰ ταὐτὰ τοῖς ἀλόγοις ζώοις τὰς μονήρεις διατριβὰς ἀσμενίζομεν; ipsum autem vocabulum nonnisi posterioris aetatis.

χρῄζομεν. ὁ δὲ Κλεοχράτης οὐδὲ, μὰ τοὺς θεοὺς, ἐπιστεῖλαι σοι δυναίμην ἂν ανταρκῶς τὴν ὑπερβολὴν τῆς φιλανθρωπίας, ὅση κέχρηται περὶ ἐμέ. καὶ γὰρ οἰκίαν παρεσκεύασέ μοι δημοσίᾳ δοθῆναι, καὶ χωρίον ἐν Καμείρῳ, καὶ αὐτός δὲ ἔπεμψεν ἡμῖν τὰ ἐπιτήδεια, καὶ εἰς ἐνιαυτον ἄφθονα, οὐκ ἐμοὶ μονον, ἀλλὰ καὶ Τευθραντι καὶ Ὀπλιστίᾳ· τὰ μὲν ἄλλα εἰ καὶ φαυλότερα τῶν Ἀθήνησιν, ὥςπερ ἔλαιον καὶ μέλι, ἀλλ' οἵων παρόντων οὐδὲν ἂν τῶν ἐκεῖ δεηθείημεν· οἶνόν γε μὴν καὶ πολὺ ἀμείνω τοῦ παρ' ὑμῖν, καὶ ἐκ στροβίλου ἅμα καὶ ἀλεύρων καὶ ἀρωμάτων πεποιημένα ἐν τύποις τραγήματα· ὧν καὶ πέπομφά σοι. ταῦτα δ' ἡμῖν ἔπεμψε, καὶ πυρῶν μεδίμνους, ὅσοις ἐγὼ μεδίμνοις οὐχ ὅπως ἐμαυτὸν, ἀλλὰ καὶ πάντας Κοθωκίδας διαρκεῖν ἂν ἐδυνάμην· καὶ πολλὰ δὲ ἄλλα πρὸς τούτοις, ἃ γράφειν αἰσχύνομαι, ἵνα μή τινα δηλοῖν ἐμὴν μικρολογίαν δόξω. τὸ μὲν γὰρ τὰ μικρὰ πανυ ὑπερασπάζεσθαι, μικρολογίας μέν τινος εἶναί φημι καὶ ἀπειροκαλίας· φιλοφρονημάτων δὲ καὶ μικρῶν πάνυ ἔγωγε ἡττᾶσθαι ὁμολογῶ. παρέχει δὲ ἡμῖν καὶ ἄλλα καλλίω, συῶν τε ἀγρίων, καὶ δορκαδων τῶν πέραθεν ἀπολαύσματα·

ἐκ στροβίλου] Phrynichus p. 3?6 οἱ μὲν πολλοὶ στρόβιλον τὸ ἐδώδιμον λέγουσι καὶ αὐτὸ τὸ δένδρον. οἱ δ' ἀρχαῖοι τὴν βίαν τοῦ ἀνέμου εἴλησιν καὶ σύστροφὴν καλοῦσι καὶ συστροβιλῆσαι τὸ στρέψαι. οὕτως οὖν καὶ ἡμῖν ῥητέον. τὸ δὲ ἐδώδιμον καὶ πιτύων καρπὸν καὶ τὸ δένδρον πίτυν: ubi vide Lobeck.

ὅσοις ἐγὼ μεδίμνοις] Substantivi repetitionem Latinismum esse monuit Reiske.

Κοθωκίδας διαρκεῖν] Διαρκεῖν est p a r e m e s s e, et hoc quidem verbum interdum dicitur de eo, qui par est tribuendo ad vitam necessaria. Tum aut simpliciter dicitur διαρκεῖν τινὶ aut διαρκεῖν πρός τινα, aut additur εἰς βίον. Διαρκεῖν τινὰ nusquam legitur.

πέραθεν] Hoc adverbium in θεν vix legitur apud prosaicos bonae aetatis. Cf. Lobeck ad Phryn. p. 93. s. Id tamen legimus apud Eurip. Heracl. 83., ut multa in θεν usurparunt tragici, quae Attica prosa rejicit.

ἔτι δὲ καὶ αὐτὸς ἡμῖν σύνεστιν ὁσημέραι, καὶ μεταδίδωσι τῆς αὑτοῦ σοφίας, ἡ σοφωτέρα ἢ καθ' ἡμᾶς ἐστιν. ἃ γὰρ ἐγὼ παθὼν ἐδιδάχθην, ταῦτα πρὶν παθεῖν φυλάττεται, σοφία, καὶ οὐχ, ὥσπερ οἱ ἄφρονες, πείρᾳ διδασκόμενος. οὐ γὰρ πολιτεύεται. καὶ ὅσον γ' ἐπὶ Κλεοκράτει, οὐδεμιᾶς πόλεως ἄλλης, οὐδὲ ἀνθρώπων ἐπιθυμῶ, ἀλλὰ καὶ σφόδρα ἀσμενίζω τῇ συμφορᾷ. καὶ ἀρχὴ δοκεῖ μοι τοῦ βίου ἡ ἀπαλλαγὴ τῆς αὐτόθι πολιτείας. καὶ οὕτω μὲν ὑπεραγαπῶ τὰ παρόντα, καὶ, ὅπερ φασὶ Σοφοκλέα ἤδη γέροντα ὑπὲρ ἄλλης ἡδονῆς εἰπεῖν, ὥσπερ κυνὸς λυττώσης, ἀπηλλάχθαι ποτὲ τῆς τοῦ πολιτεύεσθαι ἡδονῆς δοκῶ, καὶ, ὅταν ὁ νοῦς ἐπικρατῇ, τρισευδαίμων ἔγωγε ἐμαυτῷ τῆς φυγῆς, ἣν φεύγω, φαίνομαι· ὅταν δ' αὖ πάλιν ὑπέλθῃ μοι λογισμός τε καὶ γνώμη τῶν αὐτόθι, οὐχ ἑταίρων μόνον ἀλλὰ καὶ συγγενῶν καὶ ἐκκλησίας καὶ Κολυττοῦ, ἐν ᾧ πέντε καὶ τετταράκοντα ἔτη ᾤκησα, καὶ τοῦ Ἁλῆσι χωρίου καὶ τῶν ἐκεῖ μοι μετὰ σοῦ καὶ Φιλίνου διατριβῶν γενομένων, μεταῤῥεῖ ἅπαν τὸ αἷμα ἄλλοσέ ποι τῶν σπλάγχνων πάλιν, καί μοι δήποτε καὶ λοιδορίαι, αἷς ἐλοιδορούμην ὑπὸ Δημοσθένους, ἥδισται δοκοῦσι, καὶ σκώμματα, ἐφ' οἷς οὐδεὶς

ἀπολαύσματα] Nomen quod nusquam nisi apud posteriores, Plutarchum, apud auctorem epistolarum Eurip. ep. 4. cet. legitur.

ὑπὲρ ἄλλης ἡδονῆς] Scilicet ὑπὲρ τῆς τῶν ἀφροδισίων.

ὥσπερ κυνὸς λυττώσης] Plato de rep. 1, 3., qui primus hanc historiolam narravit, ait ὥσπερ λυττῶντα καὶ ἄγριον δεσπότην, ubi vide Astium, qui, quae colligenda sunt, collegit.

Κολυττοῦ] Cf. Ctesiph. 43.

Ἁλῆσι] Ἁλαὶ, nomen duorum demorum: Ἁλαὶ Αἰξωνίδες τῆς Κεκροπίδος φυλῆς. Ἁλαὶ Ἀραφηνίδες, τῆς Αἰγηΐδος. Uberius rem exposuit Meursius.

ἔξω Κτησιφῶντος ἐγέλασε πώποτε. ἀλλὰ γὰρ ἅλις μὲν ἡμῖν δακρύων. σὺ δ' εὐτυχοίης, καὶ μὴ μόνον πολιτείαν ἅπασαν, ἀλλὰ καὶ Λεπτίνην φεῦγε, ὅτι πρὸς ἡμᾶς ἔχει φιλαπεχθημόνως, καὶ ὅτι τἆλλα τοιοῦτός ἐστιν, ὥστε περιεῖναι μὲν μηδενὸς λαμπρότερον, ἡττᾶσθαι δὲ, ἀδοξότατον. καὶ μάλιστα μὲν παραινῶ, φεῦγε τὰς μετ' αὐτοῦ διατριβάς· εἰ δ' αὖ συνέλθοις ἐκ τύχης, καὶ καθ' ἡμῶν λέγοι τι, πειρῶ σιωπᾶν, ἂν ἰσχύῃς, καὶ γελᾶν. ἀλλ' ὁ μὲν δίδωσιν ἀποχρῶσαν δίκην τῷ πᾶσιν ἀνθρώποις καὶ γέλωτος εἶναι δοκεῖν ἅμα καὶ μίσους ἄξιος. σὺ δὲ, εἰ μὴ πάνυ φοβῇ τὴν θάλατταν, ἀφίκοιο παρ' ἡμᾶς ποτε, καὶ παρασχὼν σεαυτὸν ἰδεῖν ἡμῖν, ἐπανίοις πάλιν.

6. ΦΙΛΟΚΡΑΤΕΙ.

Ἀρίστων οὗτος, ὁ κομίζων σοι τὴν ἐπιστολὴν, ὁ πρῶτός ἐστιν ἡμᾶς ὑποδεξάμενος ἐν Ῥόδῳ. πέπλευκε δὲ Ἀθήναζε κατὰ χρείαν κηδεστοῦ γέροντος, ἀργύριον εἰσπράξων παρὰ τοῦ τραπεζίτου Χαρμόλα. σκόπει οὖν, ὅπως αὐτὸν ὑποδέξῃ φιλοφρόνως. ἔστι δὲ κομιδῇ εὐτελὴς τὴν δίαιταν καὶ πρέπων ἡμῖν. ᾧ καὶ τὰ ἄλλα συμπράξεις, ὡς μάθῃ, ὅτι οὐ παντελῶς ἔρημον φίλων ὑπεδέξατο, ἀλλ' ἔστιν ἔτι τις Ἀθήνησιν Αἰσχίνου λόγος καὶ μνήμη.

ἔξω Κτησιφῶντος] Praeter Ctesiphontem, si Ctesiphontem excipias. Rarius quidem ἔξω hac significatione apud Atticos legitur, nec tamen probis auctoribus caret, ut Thucydide, qui vocabulo sic utitur I, 10. III, 61. V, 26.

Λεπτίνην] Varios hujus nominis Athenienses fuisse monet F. A. Wolfius ad Leptin. Prolegg. p. XXXXV. n. 22.

τὴν δίκην ἀποχρῶσαν] Participium ἀποχρῶν, ἀποχρῶσα, ἀποχρῶν non est Atticorum. Apud Herodotum ἀποχρᾷν est verbum personale. Hinc recentiores formarunt participium ἀποχρῶν.

Ep. 6.

πρέπων ἡμῖν] Similis nostrum vix est prosae Atticae.

7. ΤΗΙ ΒΟΥΛΗΙ ΚΑΙ ΤΩΙ ΔΗΜΩΙ.

Ἐπυθόμην τὰ ῥηθέντα Μελανώπῳ πρὸς ὑμᾶς, καὶ τὴν μὲν ὑμετέραν ἀπεδεξάμην φιλανθρωπίαν· Μελανώπῳ δὲ οὐκ ἐπανελθὼν μόνον νομίζω τοῖς βεβιωμένοις αὐτῷ πρέπουσαν ἀποδώσειν χάριν, ἀλλὰ τυχὸν ἔτι καὶ τῆς πατρίδος ἐστερημένος, ὅμως ἀρκέσαι πειράσομαι. ἐγὼ γάρ, ὦ Μελάνωπε, κατὰ μὲν τοὺς νόμους ὁμολογῶ ταύτῃ κεχρῆσθαι τῇ συμφορᾷ· φημὶ μέντοι βοηθῶν τοῖς νόμοις ταῦτα πεπονθέναι, καὶ ὑπὲρ τοῦ μηδένα στεφανοῦσθαι παρ' αὐτοὺς ἀγωνιζόμενος. ἐμοὶ μὲν οὖν τὸ δεδυστυχηκέναι πολιτευομένῳ κοινόν ἐστι πρὸς Θεμιστοκλέα καὶ Ἀριστείδην καὶ ἄλλους πολλοὺς τῶν λαμπροτάτων ποτὲ ἐν τῇ πόλει γενομένων· σοὶ δέ, τὸ μέχρι μὲν χθὲς καὶ πρώην, θεσμοθετοῦντος ἤδη σοῦ, προεστάναι τὴν μητέρα, τρὶς δὲ ἐμπεσεῖν τὸν πατέρα σου εἰς τὸ δεσμωτήριον, σὲ δὲ πραθέντα δισχιλίων δραχμῶν τὴν ἀκμὴν ἡταιρηκέναι, τοῖς περὶ Τίμαρχον νέοις κοινὰ ταῦτ' εἶναι, οὐ τοῖς περὶ Θεμιστοκλέα ἢ Ἀριστείδην τὸν δίκαιον ὑπολαμβάνω. ἀλλὰ Μελανώπῳ μὲν αὖθις, ἐὰν ὑμῖν ποτε δόξῃ, διαλέξομαι παρών· ὑμῖν δὲ τῆς μὲν εὐνοίας, ἣν ἀπόντι μοι παρέσχεσθε, θορυβοῦντες, καὶ μὴ θέλοντες ἀκροάσασθαι τῶν λοιδορούντων ἡμᾶς, πολλὴν χάριν ἔχω. δικαιότερον μέντοι καὶ ἄμεινον, ἐμαυτὸν ἐᾶσαι πρὸς τοὺς λοιδοροῦντας λέγειν, ψηφισαμένους, ἃ πολλάκις πολλοῖς ἤδη ἐψηφίσασθε, τὰ μέγιστα ἁμαρτοῦσιν εἰς ὑμᾶς· εἰ δὲ μή, τό γε δεύτερον ἂν δεηθείην, ἀνέχεσθαι πολὺ μᾶλλον τῶν λοιδορούντων

Ep. 7.

Μελανώπῳ] Num idem sit, cujus crimina exponit Demosthenes κατὰ Τιμοκρ. p. 740., nescio. Harpocration eum appellat κηδεστὴν Διοφάντου τοῦ ῥήτορος.

προεστάναι] Προστῆναι ad imitationem Latini prostare videtur serioribus Graecis de meretricibus vulgivagis adhibitum fuisse; fortasse etiam de femina dicitur, quae ipsa habet lupanar.

ἔξω Κτησιφῶντος ἐγέλασε πώποτε. ἀλλὰ γὰρ ἅλις μὲν ἡμῖν δακρύων. σὺ δ' εὐτυχοίης, καὶ μὴ μόνον πολιτείαν ἅπασαν, ἀλλὰ καὶ Λεπτίνην φεῦγε, ὅτι πρὸς ἡμᾶς ἔχει φιλαπεχθημόνως, καὶ ὅτι τἄλλα τοιοῦτός ἐστιν, ὅτου περιεῖναι μὲν μηδενὸς λαμπρότερον, ἡττᾶσθαι δὲ, ἀδοξότατον. καὶ μάλιστα μὲν παραινῶ, φεῦγε τὰς μετ' αὐτοῦ διατριβάς· εἰ δ' αὖ συνέλθοις ἐκ τύχης, καὶ καθ' ἡμῶν λέγοι τι, πειρῶ σιωπᾶν, ἂν ἰσχύῃς, καὶ γελᾶν. ἀλλ' ὁ μὲν δίδωσιν ἀποχρῶσαν δίκην τῷ πᾶσιν ἀνθρώποις καὶ γέλωτος εἶναι δοκεῖν ἅμα καὶ μίσους ἄξιος. σὺ δὲ, εἰ μὴ πάνυ φοβῇ τὴν θάλατταν, ἀφίκοιο παρ' ἡμᾶς ποτὲ, καὶ παρασχὼν σεαυτὸν ἰδεῖν ἡμῖν, ἐπανίοις πάλιν.

6. ΦΙΛΟΚΡΑΤΕΙ.

Ἀρίστων οὗτος, ὁ κομίζων σοι τὴν ἐπιστολὴν, ὁ πρῶτός ἐστιν ἡμᾶς ὑποδεξάμενος ἐν Ῥόδῳ. πέπλευκε δὲ Ἀθήναζε κατὰ χρείαν κηδεστοῦ γέροντος, ἀργύριον εἰςπράξων παρὰ τοῦ τραπεζίτου Χαρμόλα. σκόπει οὖν, ὅπως αὐτὸν ὑποδέξῃ φιλοφρόνως. ἔστι δὲ κομιδῇ εὐτελὴς τὴν δίαιταν καὶ πρέπων ἡμῖν. ᾧ καὶ τὰ ἄλλα συμπράξεις, ὡς μάθῃ, ὅτι οὐ παντελῶς ἔρημον φίλων ὑπεδέξατο, ἀλλ' ἔστιν ἔτι τις Ἀθήνησιν Αἰσχίνου λόγος καὶ μνήμη.

ἔξω Κτησιφῶντος] Praeter Ctesiphontem, si Ctesiphontem excipias. Rarius quidem ἔξω hac significatione apud Atticos legitur, nec tamen probis auctoribus caret, ut Thucydide, qui vocabulo sic utitur I, 10. III, 61. V, 26.

Λεπτίνην] Varios hujus nominis Athenienses fuisse monet F. A. Wolfius ad Leptin. Prolegg. p. XXXXV. n. 22.

τὴν δίκην ἀποχρῶσαν] Participium ἀποχρῶν, ἀποχρῶσα, ἀποχρῶν non est Atticorum. Apud Herodotum ἀποχρᾷν est verbum personale. Hinc recentiores formarunt participium ἀποχρῶν.

Ep. 6.

πρέπων ἡμῖν] Similis nostrum vix est prosae Atticae.

7. ΤΗΙ ΒΟΥΛΗΙ ΚΑΙ ΤΩΙ ΔΗΜΩΙ.

Ἐπυθόμην τὰ ῥηθέντα Μελανώπῳ πρὸς ὑμᾶς, καὶ τὴν μὲν ὑμετέραν ἀπεδεξάμην φιλανθρωπίαν· Μελανώπῳ δὲ οὐκ ἐπανελθὼν μόνον νομίζω τοῖς βεβιωμένοις αὐτῷ πρέπουσαν ἀποδώσειν χάριν, ἀλλὰ τυχὸν ἔτι καὶ τῆς πατρίδος ἐστερημένος, ὅμως ἀρκέσαι πειράσομαι. ἐγὼ γάρ, ὦ Μελάνωπε, κατὰ μὲν τοὺς νόμους ὁμολογῶ ταύτῃ κεχρῆσθαι τῇ συμφορᾷ· φημὶ μέντοι βοηθῶν τοῖς νόμοις ταῦτα πεπονθέναι, καὶ ὑπὲρ τοῦ μηδένα στεφανοῦσθαι παρ' αὐτοὺς ἀγωνιζόμενος. ἐμοὶ μὲν οὖν τὸ δεδυστυχηκέναι πολιτευομένῳ κοινόν ἐστι πρὸς Θεμιστοκλέα καὶ Ἀριστείδην καὶ ἄλλους πολλοὺς τῶν λαμπροτάτων ποτὲ ἐν τῇ πόλει γενομένων· σοὶ δέ, τὸ μέχρι μὲν χθὲς καὶ πρώην, θεσμοθετοῦντος ἤδη σοῦ, προεστάναι τὴν μητέρα, τρὶς δὲ ἐμπεσεῖν τὸν πατέρα σου εἰς τὸ δεσμωτήριον, σὲ δὲ πραθέντα δισχιλίων δραχμῶν τὴν ἀκμὴν ἡταιρηκέναι, τοῖς περὶ Τίμαρχον νέοις κοινὰ ταῦτ' εἶναι, οὐ τοῖς περὶ Θεμιστοκλέα ἢ Ἀριστείδην τὸν δίκαιον ὑπολαμβάνω. ἀλλὰ Μελανώπῳ μὲν αὖθις, ἐὰν ὑμῖν ποτε δόξῃ, διαλέξομαι παρών· ὑμῖν δὲ τῆς μὲν εὐνοίας, ἣν ἀπόντι μοι παρέσχεσθε, θορυβοῦντες, καὶ μὴ θέλοντες ἀκροάσασθαι τῶν λοιδορούντων ἡμᾶς, πολλὴν χάριν ἔχω. δικαιότερον μέντοι καὶ ἄμεινον, ἐμαυτὸν ἐᾶσαι πρὸς τοὺς λοιδοροῦντας λέγειν, ψηφισαμένους, ἃ πολλάκις πολλοῖς ἤδη ἐψηφίσασθε, τὰ μέγιστα ἁμαρτοῦσιν εἰς ὑμᾶς· εἰ δὲ μή, τό γε δεύτερον ἂν δεηθείην, ἀνέχεσθαι πολὺ μᾶλλον τῶν λοιδορούντων

Ep. 7.

Μελανώπῳ] Num idem sit, cujus crimina exponit Demosthenes κατὰ Τιμοκρ. p. 740., nescio. Harpocration eum appellat κηδεστὴν Διοφάντου τοῦ ῥήτορος.

προεστάναι] Προστῆναι ad imitationem Latini prostare videtur serioribus Graecis de meretricibus vulgivagis adhibitum fuisse; fortasse etiam de femina dicitur, quae ipsa habet lupanar.

ἡμᾶς, ἢ χαρίζεσθαι δοκοῦντας, ὅτι τῶν βλασφημιῶν οὐκ ἀκροᾶσθε, μείζω τὴν ὑποψίαν τῶν δυναμένων λέγεσθαι ποιεῖν.

8.

Σὺ μὲν οὐδέπω καὶ νῦν ἀφῖξαι πρὸς ἡμᾶς, ἀλλὰ καὶ νόσους, καὶ δίκας, καὶ πάντα μᾶλλον, τοῦ μὴ βούλεσθαι ἐλθεῖν, πρὸς ἡμᾶς αἰτιᾷ· Νικίας δὲ ἀφῖκται πάλαι καὶ Ἀνδρωνίδας. εἰ μὲν οὖν νῦν γε σὺν Φιλίνῳ (πυνθάνομαι γὰρ αὐτὸν ἐξιέναι) διέγνωκας ἀφικνεῖσθαι πρὸς ἡμᾶς, τάχα ἂν εἴη σοι ἔτι ἀπολογία, καὶ λυθείη ὁ πόλεμος· εἰ δὲ οὐδὲ σὺν ἐκείνῳ διέγνωκας ἐξιέναι, σὺ μὲν ἐπιστελεῖς, διὰ παντὸς ἡμῖν ἀφίξεσθαι, ἐγὼ δὲ ἅπαξ ἀνιάσομαι.

9.

Περαιωθεὶς ἐπὶ Φύσκον, ἡσυχάσας ἐκείνην τὴν ἡμέραν, (οὐχ ὑπ' ἀργίας, ἀλλὰ μηκυνεῖν ἔδοξεν ἡ περὶ τὸ ἄσθμα

μείζω τὴν ὑποψίαν τῶν δυναμένων λέγεσθαι ποιεῖν] Eo magis suspecta reddere, quae dici in defensionem possunt. Nempe, si Athenienses iis, qui exsulantem Aeschinem increpant, silentium imponunt, oritur suspicio, quamvis ipsis de veritate criminationum persuasum sit, eos misericordia commotos in infortunium silentium imposuisse.

Ep. 8.

Νικίας] Erit κηδεστὴς Αἰσχίνου, qui Aeschinis sororem in matrimonio habebat.

ὁ πόλεμος] Intelligit, opinor, ἡ μέμψις. Markland.

Ep. 9.

ἐπὶ Φύσκον] Φύσκος πολίχνη τῆς Καρίας, λιμένα ἔχουσα καὶ ἄλσος Λητῷον. Strabo L. XIV, 2, 4. p. 652.

μηκυνεῖν] Quod apud Graecos scriptores transitive usurpatur, noster adhibuit intransitive, et μηκύνειν dixit, quod Graecis dicitur

νόσος,) ὡς τὴν νύκτα ἐνέδωκε, καὶ ῥᾴων ἐγενόμην, βαδίσας εἰς τὴν Ἄμμον, ἐπεῖδον τὰ χωρία. καί μοι ἔδοξε καλὰ μὲν ἄλλως, καὶ ποικίλα εἶναι τὰ χωρία. καὶ γὰρ ἐλαιὼν ἦν, καὶ πολλὰ φυτὰ, καὶ ἄμπελοι συχναὶ, καὶ σπόριμα πλείονα, καὶ νομαὶ καλαί· ἐπαύλιον δὲ οὐδὲ μέτριον, ἀλλὰ πάντα ἐρείπια. ἐδέξατο δ' ἡμᾶς ὁ Μυρωνίδης φιλανθρώπως σφόδρα. τὰ μέντοι χωρία δυοῖν ταλάντοιν ἐπριάμην. καὶ νῦν ἐπαύλιόν τι μηχανῶμαι τοιοῦτον, οἷον ἐμηχανώμην ἐγὼ κεκτημένος βραχέα, καὶ μέλλων ὅμως οἰκεῖν ἐνθάδε, μὰ τοὺς θεοὺς, οὐχ ἡδέως στερόμενος τῆς ἐμαυτοῦ πόλεως, καὶ μάλιστα τοιαύτης, ἐν ᾗ δύναιτο ἄν τις ἧσσον ἀλγεῖν ὑπολαμβάνων οἰκεῖν.

10.

Ὁ δὲ Κίμων οἷα κατὰ πόλιν ἑκάστην καὶ αἰγιαλὸν ἡμᾶς δέδρακεν, οὐ κήδους, οὐ νόμου φειδόμενος οὐδενός!

μηκύνεσθαι. Non tamen celandum, μηκύνειν bonis scriptoribus absolute dici significatione μηκύνειν τὸν λόγον, μακρολογεῖν. Cf. Bosii Ellipses p. 251. s. Schaef. Atque etiam intransitive verbo utitur versio Alexandrina.

Ἄμμον] Locus in vicinia Fysci. Ep. 12. appellatur μικρόν τι φρούριον.

μηχανῶμαι τοιοῦτον, οἷον ἐμηχανώμην] Dura loquendi ratio. Sensus erit: Talem meditor villam, qualem potest is, qui pauca habet.

ὑπολαμβάνων οἰκεῖν] Praesens post ὑπολαμβάνων h. l. habet futuri significationem.

Ep. 10.

ὁ δὲ Κίμων] Aristaeneto quam Aeschini convenientior haec epistola. Markland. Nomen Κίμωνος prodit Libanium epistolae hujus patrem esse perinde atque ipse se Cimonis fert, quem ad taedium usque ubique locorum crepat. Reiske.

οὐ νόμου φειδόμενος] Φείδεσθαι reverendi significatione Atticis non est usitatum.

κατὰ θέαν εἰς Ἴλιον ἀφικόμην τῆς τε γῆς καὶ θαλάττης, καὶ ἃ μὲν εἶδον αὐτόθι, γράφειν ἐπεὶ δοκεῖ ὕλην ἔχειν ἄφθονον, σιωπήσω· δέδοικα γάρ, μὴ ποιητικῆς λαβόμενος φλυαρίας, ἀπειροκαλεύεσθαι δόξω· τὰ δὲ Κίμωνος ἔργα, καὶ τὴν ἀκρασίαν, οὐδ' εἴ μοι δέκα μὲν γλῶσσαι, δυναίμην ἀρκέσαι λέγων. διατριβόντων γὰρ ἡμῶν πολλὰς ἡμέρας ἐν Ἰλίῳ, καὶ μὴ πληρουμένων τῆς θέας τῶν τάφων (ἦν δέ μοι γνώμη μένειν, ἕως ἅπαντα διεξέλθω τὰ ἐν τῇ Ἰλιάδι ἔπη, πρὸς αὐτοῖς ἑκάστοις ὑπὲρ ὧν τὰ ἔπη ἐστὶ γεγενημένα) ἐμπίπτει ἡμέρα, ἐν ᾗ πειρῶνται τοὺς γάμους οἱ πλεῖστοι τῶν θυγατέρων, ὅσων ἐπιτρέπει ἡ ὥρα ποιεῖν, ἐγένοντο δὲ συχναὶ αἱ γαμούμεναι. νενόμισται δὲ ἐν τῇ Τρωάδι γῇ, τὰς γαμουμένας παρθένους ἐπὶ τὸν Σκάμανδρον ἔρχεσθαι, καὶ λουσαμένας ἀπ' αὐτοῦ, τὸ ἔπος τοῦτο ὥσπερ ἱερόν τι ἐπιλέγειν· „Λαβέ μου, Σκάμανδρε, τὴν παρθενίαν." ἐν δὴ ταῖς ἄλλαις Καλλιρρόη ὄνομα παρθένοις μεγάλη, πατρὸς δὲ οὐ τῶν ἐπιφανῶν,

---

ὕλην] Antiquiores ὕλην de materia adhibuerunt, in qua fingenda elaborant artifices; posteriores etiam transtulerunt ad res et sententias, in quibus scriptores elaborant, ut Cicero de Orat. III, 26, 103. dixit: primum silva rerum ac sententiarum comparanda est. II Macch. 2, 24. τὴν οὖσαν δυσχέρειαν τοῖς θέλουσιν εἰσκυκλεῖσθαι τοῖς τῆς ἱστορίας διηγήμασι διὰ τὸ πλῆθος τῆς ὕλης.

ἀπειροκαλεύεσθαι] Hoc verbum quod nescio an nusquam praeter hunc locum legatur, non admisisse scriptores Atticos, monuit Lobeck. ad Phryn p. 67.

δυναίμην] Sine ἂν est notandum.

τῶν τάφων] Bene habet. Significantur sepulcra heroum, qui circa Trojam occubuerunt. quorum habemus ἐπιτάφια a Gul. Cantero latina facta. Frequenter Philostratus in Heroicis hos tumulos commemorat. Ex hac quoque nota aetatem harum epistolarum noscites, Philostrati seculo et circa ardebat φιλιστοργησία Trojanorum monumentorum, Romanis obtinentibus, qui se a Trojanis oriundos ferrent. Reiske.

ἐπὶ τὸν ποταμὸν ἧκε λουσομένη. καὶ ἡμεῖς ἅμα τοῖς τε οἰκείοις τῶν γαμουμένων καὶ τοῖς ἄλλοις ὄχλοις πόῤῥωθεν τὴν ἑορτὴν καὶ τὰ λουτρὰ τῶν παρθένων, ᾗ θέμις αὐτοῖς ἐξωτέρω ὁρᾷν, ἐθεώμεθα. ὁ δὲ καλὸς κἀγαθὸς Κίμων ἐγκρύπτεται εἰς θάμνον τοῦ Σκαμάνδρου, καὶ στέφει ἑαυτὸν δόναξιν· ἦν δὲ αὐτῷ δηλαδὴ τὸ στρατήγημα τοῦτο καὶ ὁ λόχος ἐξ ἡμέρας ἐπὶ την Καλλιῤῥόην εὐτρεπής. λουομένης δὲ, καὶ το εἰωθὸς ἔπος, ὡς μετὰ ταῦτα ἐπυθόμην, λεγούσης, „Λαβέ μου, Σκάμανδρε, τὴν παρθενίαν," ἐκθορὼν ἐκ τῶν θάμνων ὁ Σκάμανδρος Κίμων, „ἡδέως," ἔφη, „δέχομαι, καὶ λαμβάνω Καλλιῤῥοην, Σκαμανδρος ὤν, καὶ πολλὰ ἀγαθὰ ποιήσω." ταῦτα ἅμα λέγων, καὶ ἁρπάσας τὴν παῖδα, ἀφανης γίνεται. οὐ μὴν καὶ τὸ πρᾶγμα ἀφανὲς γίνεται, ἀλλὰ τέτταρσιν ὕστερον ἡμέραις πομπὴ μὲν ἦν Ἀφροδίτης, ἐπόμπευον δὲ αἱ νεωστὶ γεγαμημέναι, καὶ ἡμεῖς τὴν πομπὴν ἐθεώμεθα. ἡ δὲ νυμφη ἰδοῦσα τὸν Κίμωνα, ὡς μηδὲν αὐτῷ κακὸν συνειδότα ἅμα ἐμοὶ θεώμενον, προςεκύνησε, καὶ ἀποβλέψασα πρὸς τὴν τροφὸν, „ὁρᾷς, ἔφη, „τίτθη, τὸν Σκάμανδρον, ᾧ την παρθενίαν ἔδωκα;" καὶ ἡ τίτθη ἀκούσασα, ἀνέκραγε, καὶ τὸ πρᾶγμα ἔκπυστον γίνεται. ὡς δὲ οἴκαδε εἰςέρχομαι, καταλαμβάνω τὸν Κίμωνα, καὶ, οἷα ἦν εἰκὸς, ἐργάζομαι,

---

ἐξ ἡμέρας] Quid dicere velit, dubium est. Forsitan ἐξ ἡμέρας dicit Cimonem statim a mane id meditatum esse, ut simulans Scamandrum, puella potiretur: ut dicitur εὐθὺς ἀφ' ἑσπέρας statim a vespere. ἐξ ἡμέρας igitur esset i. q. ἀφ' ἡμέρας. Alii forsitan opinabuntur, auctorem voluisse exprimere Latinum ex tempore, ut ὁ λόχος εὐτρεπὴς sit, quia subito et ex rerum opportunitate ortus, non deliberatus fuerit.

πρὸς τὴν τροφὸν - τίτθη] Τροφὸς et τίτθη hic variant, ut vocabula ejusdem plane significationis. Ammonius autem monet: τίτθη καὶ τροφὸς καὶ τιθηνὸς διαφέρει. Τίτθη μὲν γάρ ἐστιν ἡ μασθὸν παρέχουσα· τροφὸς δὲ καὶ τιθηνὸς ἡ τὴν ἄλλην ἐπιμέλειαν ποιουμένη τοῦ παιδὸς καὶ μετὰ τὸν ἀπογαλακτισμόν.

καλῶν ἀνόσιον καὶ δι' αὐτὸν ἀπολωλέναι λέγων ἡμᾶς. ὁ δὲ οὐδὲν δι' αὐτὸ ἔδεισεν, οὐδὲ ἠσχύνθη τοῖς πεπραγμένοις, ἀλλὰ μύθους ἐπεβάλλετο λέγειν μακρούς, καὶ ἁπανταχόθι τροχῶν ἄξια εἰργασμένους καταριθμουμένους. καὶ γὰρ ἐν Μαγνησίᾳ τοῦτο περὶ Μαίανδρον τὸν ποταμὸν ἔφη γεγονέναι ὑπό τινος τῶν ἐκεῖ νέων. ἀφ' οὗ καὶ ἔτι σήμερον Ἄτταλον τὸν ἀθλητὴν ὁ πατὴρ, ἔφη, αὑτοῦ οὐχ ἑαυτοῦ υἱὸν, ἀλλὰ τοῦ Μαιάνδρου εἶναι πείθεται· καὶ διὰ τοῦτο αὐτὸν οὕτω πάνυ νομίζειν σαρκῶν τε καὶ ῥώμης εὖ ἔχειν. ἐπειδὰν δὲ πολλὰς λαβὼν πληγὰς καὶ ἀπειπάμενος ἐξίῃ, τὸν ποταμὸν αὐτῷ νεμεσῆσαι λέγειν, ὅτι νικήσας οὐ πατέρα ἀνηγόρευσεν αὐτόν. οὐκ ἄρ' ἀπορεῖ γε ἡττώμενος προφάσεως. καὶ περὶ Ἐπίδαμνον δ' ὁμοίως, πόλιν κατ' Ἰόνιον, ἔφη, μουσικὸν ὑπ' εὐηθείας πεπεῖσθαι, ὅτι Ἡρακλέους εἴη τὸ ἐκ μοιχοῦ γεγονὸς αὐτῷ παιδίον. ἐγὼ δὲ οὐκ ἐπαιδοποιησάμην, ἔφη, ἅπαξ δὲ διελέχθην παιδὶ, ὑπερώρῳ τε ἤδη, καὶ λουομένην αὐτὴν μετὰ μιᾶς γραὸς ἰδών. καὶ ἄλλως δ' ἐδόκει μοι, ἔφη, ὡς μὴ παντάπασι τὰ ἐν Ἰλίῳ τραγικά τε καὶ φοβερὰ ᾖ, παθεῖν δεῖν

τροχῶν ἄξια] Scholiastes Aristophanis ad Plutum 876. τροχός τις ἦν, ἐν ᾧ δεσμούμενοι οἱ οἰκέται ἐκολάζοντο. Hinc τροχισθῆναι βασανισθῆναι. Bekkeri Anecdd. p. 406. τροχισθεῖσα, βασανισθεῖσα, ἀπὸ τροχοῦ, ὅ πέρ ἐστιν ὄργανον βασανιστικὸν, διατεῖνον τὰ σώματα τῶν βασανιζομένων.

ἐξίῃ] Marklandus interrogat unde? Supplendum ἐκ σταδίου.

Ἐπίδαμνον] Thucydides I, 24. Ἐπίδαμνός ἐστι πόλις ἐν δεξιᾷ ἐσπλέοντι τὸν Ἰόνιον κόλπον — — — οἰκιστὴς δ' ἐγένετο Φάλιος Ἐρατοκλείδου, Κορίνθιος γένος τῶν ἀφ' Ἡρακλέους. Hinc orta fabella, quae narratur.

ὑπερώρῳ τε ἤδη καὶ λουομένην αὐτὴν μετὰ μιᾶς γραὸς ἰδών] Haec in excusationem sui dicit, ne opinetur affinis, eum culpam sibi contraxisse: virginem jam florem aetatis excessisse, et vetulam praesto fuisse.

τι καὶ ἡμᾶς, καὶ οἷον ἐν κωμῳδίαις περὶ τὸν Σκάμανδρον ἐργάσασθαι. κἀγὼ μὲν ἄλλο ουδὲν ἢ ποῖ λήξει ἡ τοσαύτη ἀναισχυντία, προςμένων, λιθινος ὑπ᾽ απιστίας ἐγεγονειν. ὁ δὲ ἐῴκει καὶ τρίτην Ἀπόλλωνος μοι καὶ Διωνυσου μοιχειαν ἐπάξειν, ἕως ἰδὼν ἐγὼ ὄχλον προσιόντα τῇ θύρᾳ, „τοῦτ᾽ ἐκεῖνο," ἔφην, „καταπρήσοντες ἡμᾶς πάρεισι," καὶ δι᾽ ὀπισθοδομου τινὸς ευθέως προς Μελανιππιδην φευγων ῴχομην, ἐκεῖθεν δὲ ἑσπέρας ἐπὶ θαλατταν εἰς τοὐμπροσθεν, εἶτα ὡς τὸν ξενῶνα ἀνεμῳ κατηχθημεν, ὃν μηδεὶς ἂν ἄλλος ἢ φεύγων τὸ Κιμώνειον ἄγος ὑπομεῖναι πλέων. τοιαῦτα μὲν παθὼν, δεῖν σοι γράφειν, ὡς σχετλιάσοντι καὶ ἐμοῦ μᾶλλον, ᾤμην· σὺ δὲ ἂν ἱκανῶς, οιμαι, γελάσειας.

11. ΤΗΙ ΒΟΥΛΗΙ ΚΑΙ ΤΩΙ ΔΗΜΩΙ ΤΩΝ ΑΘΗΝΑΙΩΝ.

Τὰ μὲν ἄλλα δεῖν ὑμῖν ἐπιστέλλειν, περὶ ὧν ἐβουλόμην, καὶ προτερον ᾠόμην· οὐ γὰρ ἀφῃρῆσθαί γε τοῦτο ἀτυχήσαντα τῶν παρ᾽ ὑμῖν, ὑπελάμβανον· συμβουλεύειν

παθεῖν τι] Videtur de molestia intelligendum, quam subierit eum virgine ὑπερῴῳ διαλεγόμενος.

οἷον ἐν κωμῳδίαις περὶ Σκάμανδρον ἐργάσασθαι] In comoediis enim saepe inducuntur lascivi, qui delicias, quas alius jure sibi soli vindicaret, ipsi eripiunt. Sic fructum cepit Cimon, qui proprie erat Scamandri.

Ἀπόλλωνος καὶ Διονύσου μοιχείαν] Cujus rei multa exempla tradit mythologia.

ὡς τὸν ξενῶνα] Ὡς cum accusativo loci junctum, praepositionis vicem habens, vix apud prosaicos bonae aetatis.

τὸ Κιμώνειον ἄγος] Effictum ad similitudinem locutionis τὸ Κυλώνειον ἄγος. ἀπὸ Κύλωνος, ὃν καταφυγόντα ἐπὶ τὰς σεμνὰς θεὰς ἀποσπάσαντες οἱ Ἀθηναῖοι ἠκόντισαν. Suidas. Rem narrat Thucydides L. I. c. 126.

καλῶν ἀνόμιον καὶ δι' αὐτὴν ἀπολωλέναι λέγων ἡμᾶς. ὁ δὲ οὐδὲν δι' αὐτὸ ἔδεισεν, οὐδὲ ᾐσχύνθη τοῖς πεπραγμένοις, ἀλλὰ μύθους ἐπεβάλλετο λέγειν μακρούς, καὶ ἁπανταχόθι τροχῶν ἄξια εἰργασμένους καταριθμούμενος. καὶ γὰρ ἐν Μαγνησίᾳ τοῦτο περὶ Μαίανδρον τὸν ποταμὸν ἔφη γεγονέναι ὑπό τινος τῶν ἐκεῖ νέων. ἀφ' οὗ καὶ ἔτι σήμερον Ἄτταλον τὸν ἀθλητὴν ὁ πατὴρ, ἔφη, αὐτοῦ οὐχ ἑαυτοῦ υἱὸν, ἀλλὰ τοῦ Μαιάνδρου εἶναι πείθεται· καὶ διὰ τοῦτο αὐτὸν οὕτω πάνυ νομίζειν σαρκῶν τε καὶ ῥώμης εὖ ἔχειν. ἐπειδὰν δὲ πολλὰς λαβὼν πληγὰς καὶ ἀπειπάμενος ἐξίῃ, τὸν ποταμὸν αὐτῷ νεμεσῆσαι λέγειν, ὅτι νικήσας οὐ πατέρα ἀνηγόρευσεν αὐτόν. οὐκ ἄρ' ἀπορεῖ γε ἡττώμενος προφάσεως. καὶ περὶ Ἐπίδαμνον δ' ὁμοίως, πόλιν κατ' Ἰόνιον, ἔφη, μουσικὸν ὑπ' εὐηθείας πεπεῖσθαι, ὅτι Ἡρακλέους εἴη τὸ ἐκ μοιχοῦ γεγονὸς αὐτῷ παιδίον. ἐγὼ δὲ οὐκ ἐπαιδοποιησάμην, ἔφη, ἅπαξ δὲ διελέχθην παιδὶ, ὑπερώρῳ τε ἤδη, καὶ λουομένην αὐτὴν μετὰ μιᾶς γραὸς ἰδών. καὶ ἄλλως δ' ἐδόκει μοι, ἔφη, ὡς μὴ παντάπασι τὰ ἐν Ἰλίῳ τραγικά τε καὶ φοβερὰ ᾖ, παθεῖν δεῖν

τροχῶν ἄξια] Scholiastes Aristophanis ad Plutum 876. τροχός τις ἦν, ἐν ᾧ δεσμούμενοι οἱ οἰκέται ἐκολάζοντο. Hinc τροχισθῆναι βασανισθῆναι. Bekkeri Anecdd. p. 106. τροχισθεῖσα, βασανισθεῖσα, ἀπὸ τροχοῦ, ὅ πέρ ἐστιν ὄργανον βασανιστικὸν, διατεῖνον τὰ σώματα τῶν βασανιζομένων.

ἐξίῃ] Marklandus interrogat unde? Supplendum ἐκ σταδίου.

Ἐπίδαμνον] Thucydides I, 24. Ἐπίδαμνός ἐστι πόλις ἐν δεξιᾷ ἐσπλέοντι τὸν Ἰόνιον κόλπον — — — οἰκιστὴς δ' ἐγένετο Φάλιος Ἐρατοκλείδου, Κορίνθιος γένος τῶν ἀφ' Ἡρακλέους. Hinc orta fabella, quae narratur.

ὑπερώρῳ τε ἤδη καὶ λουομένην αὐτὴν μετὰ μιᾶς γραὸς ἰδών] Haec in excusationem sui dicit, ne opinetur affinis, eum culpam sibi contraxisse: virginem jam florem aetatis excessisse, et vetulam praesto fuisse.

τι καὶ ἡμᾶς, καὶ οἷον ἐν κωμῳδίαις περὶ τὸν Σκάμανδρον ἐργάσασθαι. κἀγὼ μὲν ἄλλο οὐδὲν ἢ ποῖ λήξει ἡ τοσαύτη ἀναισχυντία, προσμένων, λιθινος ὑπ' απιστίας ἐγεγονειν. ὁ δὲ ἐῴκει καὶ τρίτην Ἀπόλλωνός μοι καὶ Διωνυσου μοιχειαν ἐπάξειν, ἕως ἰδὼν ἐγὼ ὄχλον προσιόντα τῇ θύρᾳ, „τοῦτ' ἐκεῖνο," ἔφην, „καταπρήσοντες ἡμᾶς πάρεισι," καὶ δι' ὀπισθοδομου τινὸς εὐθέως προς Μελανιππιδην φευγων ᾠχομην, ἐκεῖθεν δὲ ἑσπέρας ἐπὶ θαλατταν εἰς τοὐμπροσθεν, εἶτα ὡς τὸν ξενῶνα ἀνεμῳ κατηχθημεν, ὃν μηδεὶς ἂν ἄλλος ἢ φεύγων τὸ Κιμώνειον ἄγος ὑπομεῖναι πλέων. τοιαῦτα μὲν παθὼν, δεῖν σοι γράφειν, ὡς σχετλιάσοντι καὶ ἐμοῦ μᾶλλον, ᾤμην· σὺ δὲ ἂν ἱκανῶς, οιμαι, γελάσειας.

11. ΤΗΙ ΒΟΥΛΗΙ ΚΑΙ ΤΩΙ ΔΗΜΩΙ ΤΩΝ ΑΘΗΝΑΙΩΝ.

Τὰ μὲν ἄλλα δεῖν ὑμῖν ἐπιστέλλειν, περὶ ὧν ἐβουλόμην, καὶ προτερον ᾠόμην· οὐ γὰρ ἀφῃρῆσθαί γε τοῦτο ἀτυχήσαντα τῶν παρ' ὑμῖν, ὑπελάμβανον· συμβουλεύειν

παθεῖν τι] Videtur de molestia intelligendum, quam subierit eum virgine ὑπερῴῳ διαλεγόμενος.

οἷον ἐν κωμῳδίαις περὶ Σκάμανδρον ἐργάσασθαι] In comoediis enim saepe inducuntur lascivi, qui delicias, quas alius jure sibi soli vindicaret, ipsi eripiunt. Sic fructum cepit Cimon, qui proprie erat Scamandri.

Ἀπόλλωνος καὶ Διονύσου μοιχείαν] Cujus rei multa exempla tradit mythologia.

ὡς τὸν ξενῶνα] Ὡς cum accusativo loci junctum, praepositionis vicem habens, vix apud prosaicos bonae aetatis.

τὸ Κιμώνειον ἄγος] Effictum ad similitudinem locutionis τὸ Κυλώνειον ἄγος. ἀπὸ Κύλωνος, ὃν καταφυγόντα ἐπὶ τὰς σεμνὰς θεὰς ἀποσπάσαντες οἱ Ἀθηναῖοι ἠκόντισαν. Suidas. Rem narrat Thucydides L. I. c. 126.

δὲ, καὶ πολυπραγμονεῖν, οὐ μικρᾶς ἔμοιγε ἀκρασίας ἐφαίνετο ἔργον εἶναι, δεδωκότι τηλικαύτην δίκην τοῦ πολιτεύεσθαι, πλὴν εἴ τι δέοι καλούντων ὑμῶν. ἄλλως δὲ μηδὲ ῥᾴδιά τισι τῶν ἐπιτηδείων, οὐχ ὅτι πόλει, συμβουλεύειν προσήκειν ᾠόμην· ὑμῖν τε ἑώρων ἄλλους εἶναι καὶ λέγειν καὶ πράττειν δυναμένους τὰ κοινά· κατέλιπον γὰρ οὐκ ὀλίγους. ἐπεὶ δὲ οἱ μὲν τεθνᾶσι, πολλοὶ δὲ ἠτυχήκασιν, ὥσπερ ἐγὼ, περιέστηκε δὲ ἡ πόλις εἰς ἐρημίαν τῶν πολιτευομένων, ἀκούω δὲ τοὺς μὲν αὐτοῦ παρόντας, τοὺς δὲ καὶ δι' ἐπιστολῶν κινεῖν τι τῶν τῆς πόλεως πραγμάτων· ἕτοιμος ἤδη, τὰ δοκοῦντα τῇ πόλει συμφέρειν, ὡς μόνον ἔξεστί μοι, δι' ἐπιστολῶν λέγειν. εἰ δὲ καὶ νῦν τὰ Μακεδόνων φρονεῖν ἐροῦσί με, καὶ παραπρεσβείας πάλιν γράφονταί τινες ἀπόντα με ἢ προδοσίαν τῆς Ἑλλάδος· ἕτοιμος

Ep. 11.

ἀκρασίας] Hoc loco id esse videtur, quod Plutarchus appellat τὴν πρὸς τὸ λαλεῖν ἀκρασίαν.

μηδὲ ῥᾴδιά τισι cet] Hanc esse constructionem statuit Reiskius: ᾠόμην οὐκ εἶναι ῥᾴδια συμβουλεύειν μηδὲ τῶν ἐπιτηδείων τισὶν ἃ προσήκει, οὐχ ὅτι τῇ πόλει. Quae oportet facere, ea autumabam haud facilia suasu, ne amicorum quidem quibusdam, nedum universae civitati. Nempe pro προσήκειν, quod codd. et edd. habent, de suo scripsit ἃ προσήκει. Wolfius maluerat μὴ ῥᾴδιον μηδέ τισι cet. In lectione vulgata videtur ῥᾴδια auctor dixisse res parvas, parum graves, ut sunt, quae solent amici de rebus privatis consultare, oppositum rebus publicis, quae hominem ingeniosum, sollertem et prudentem flagitant.

τοὺς μὲν αὐτοῦ παρόντας] Αὐτοῦ adverbialiter ibi, Athenis. Vide Schaeferum in ind. Bos. Ell.

δι' ἐπιστολῶν] Intelligit hic et in seqq. eam inprimis, quae prima fertur inter Demosthenicas περὶ τῆς ὁμονοίας.

παραπρεσβείας — — γράφονταί τινες ἀπόντα με] Addunt post με plerique codices δίκην, ne offendat, opinor, variatio casus in

ἤδη καὶ Ῥόδου, καὶ γῆς ἁπάσης Ἑλληνίδος πρόσω φεύγειν, ἐὰν βούλωνται, καὶ πρὸς τὸν ἐν Πέρσαις ἄπειμι καὶ Μήδοις βασιλέα. καίτοι τὰ Περσῶν γε καὶ Μήδων οὐδεὶς ἔφη μέ ποτε φρονεῖν, καὶ πάντων ἥκιστα Δημοσθένης. ἀλλ' οὐδ' ἐκεῖθεν παύσομαι γράφων, ἃ τῇ πόλει δόξω συμφέρειν, οὐ χαρίζεσθαι μέλλων ὑμῖν, ὥσπερ ἄλλοι τινὲς, ἀλλ' ἐλευθέρως νουθετεῖν. εὖ γὰρ εἰδέναι χρὴ, ὅτι τῶν πολιτευομένων οἱ μᾶλλον ἐπιπλήττειν ἢ χαρίζεσθαι θέλοντες ὑμῖν δοκεῖν, οὗτοι καὶ μάλιστα πρὸς ἡδονὴν λέγουσι, τὴν ὑπὸ προσχήματι παῤῥησίας ὁδὸν τοῦ κολακεύειν ἑλόμενοι· καὶ γάρ αὕτη τις ἐστι τοῦ χαρίζεσθαι πολίταις καὶ ἡγεμόσι πολὺ κακουργοτέρα προαίρεσις· ἣν βαδίζοντές τινες λανθάνουσι, καὶ περιόντος ἐμοῦ παρ' ὑμῖν (οὕτω γάρ με χρὴ λέγειν) καὶ νῦν, ὅσον ἐφ' ὑμῖν, τεθνεῶτος, αἰτιῶνται μὲν ὑμῶν τὴν ὀλιγωρίαν, ὡς οὐκ ἐθελόντων ἄρχειν τῆς Ἑλλάδος, προτρέπονται δὲ ἐπὶ τὴν ἡγεμονίαν, ὡς δυναμένους. ὑμεῖς δὲ, μετὰ τοῦ δοκεῖν ἀργοὶ γεγονέναι, δύνασθαι τῶν Ἑλλήνων ἄρχειν νομίζεσθαι θέλετε μᾶλλον, ἢ μετὰ τοῦ μένειν ὑμῶν τὰς προθυμίας ἐνδεῖσθαι τῆς δυνάμεως. πυνθάνομαι γὰρ, τελευτήσαντος Ἀλεξάνδρου, προτρέπειν τινας ὑμᾶς καινοτέρων ἅπτεσθαι πραγμάτων· ἐγὼ δὲ βουλοίμην ἂν ταῦτα συμβουλεύειν ὑμῖν, μετὰ τοῦ

παραπρεσβείας et προδοσίαν. Et accusativus sane offendit. Verbo enim γράφεσθαι non accusativus criminis, sed γραφὴν vel δίκην additur, unde pendet genitivus criminis. Παραπρεσβείας autem vix dicitur δίκη, sed solemnis est γραφή.

περιόντος] Scholion B ζῶντος. Dedit auctor vocabulum περιόντος, ut argutam oppositionem faciat cum sequente τεθνεῶτος.

ὑμεῖς δὲ - θέλετε cet.] Sententia, ab interpretibus perperam intellecta, haec est: Vos autem studetis, quamquam vestra inertia celari non possit, tamen videri, posse primi esse Graecorum, satis ad id habere virium, potius, quam studii et bonae voluntatis existimationem retinentes, confiteri virium defectum.

ταῦτα συμφέρειν. οὐ γὰρ ἠγνόουν, μὰ τὸν Δία καὶ τοὺς ἄλλους θεούς, ὅτι λαμπρόν ἐστι τὸ τοῖς μὲν βαρβάροις πολεμεῖν, τοὺς δὲ Ἕλληνας ἐλευθεροῦν, καὶ ταῦτα γε καὶ τοὺς πατέρας ἡμῶν προελομένους· ἀλλ' εἰς μὲν το βούλεσθαι τα κρατιστα την γνώμην οὖσαν ἱκανήν, εἰς δὲ το δύνασθαι καὶ τύχης ἀγαθῆς ὑμᾶς δεομένους. προσήκειν οὖν μεμνῆσθαι καὶ ὑμᾶς ὑπελάμβανον, ὅτι Ἀθηναίοις μὲν ἐπιστέλλομεν, Ἀθηναίοις δέ, οὐκ ἐν οἷς Θεμιστοκλῆς ἐπολιτεύσατο, ἀλλ' οἳ τὰς μὲν γνώμας ἐκείνων οὐ χείρους εἰσί, τὰς δὲ πρὸς τοὺς πολέμους ἀφορμὰς οὐχ ὁμοίας ἔχουσιν. ἐπεὶ δότωσαν μὲν ἡμῖν τριακοσίας τριήρεις οἱ τα τῆς Ἑλλάδος ἄξια γράφοντες ἡμῖν· δότωσαν δὲ τρισμύρια τάλαντα ἀργυρίου, καὶ χρυσίου ἀπέφθου δισχίλια· δότωσαν δὲ ἀνδρῶν ἐν ἥβῃ νέων τοσοῦτον πλῆθος, ἤδη γεγυμνασμένων ἐν ὅπλοις· καὶ μηκέτι συμβουλευέτωσαν. αὐτοὶ γὰρ εἰδήσομεν, ἃ χρὴ

οἱ τὰ τῆς Ἑλλάδος ἄξια γράφοντες ἡμῖν] „Qui scriptis suis hortantur vos ad suscipiendas res dignas Graecia." Markland.

χρυσίου ἀπέφθου] Quum de nummis sermo sit, *χρυσίον ἄπεφθον* aurum ad obrussam (obrycum) singulare quid habet. Nam jam in antiquis civitatibus qualitas auri nummorum signatorum legibus erat constituta; nec vero jam tum deerant exempla nummorum ex vili auro signatorum. Cf. Boeckh Staatsh. T. II. p. 136. Ut suo igitur modo rem augeret, auctor *χρυσίου ἀπέφθου* addidit. Ejus usus inprimis erat in imaginibus deorum. Vide Thucyd. II, 13. ibique interpr. Aurum autem antiquis temporibus habebat decuplum pretium argenti. Unum igitur *χρυσίου* talentum aequabat decem *ἀργυρίου*, sed pro tempore, et pro copia vel inopia auri pretium variabat. Accuratissime haec exposuit Boeckh l. l. L. I.

τοσοῦτον πλῆθος] Intelligit, opinor, tantum numerum, quantus Themistoclis tempore expeditioni intererat, non solum in psephismate militabat.

εἰδήσομεν] Haec futuri forma Atticis vix est usitata. Homerus quidem eam admittit et dialectus Jonica. Futurum verbi compositi non damnaverim, quod euphoniae caussa videtur praelatum, quodque ex cod. Bern. ipse recepi Tim. 20., ubi tamen Bekkerus retinuit vulgatum *συνίδετε*.

πράττειν, δυνάμενοι τὰ δόξαντα πράττειν, μηδὲ ῥαψῳδείτωσαν, μάτην ἐπαινοῦντες ἡμῶν τοὺς προγόνους τε καὶ την χώραν, ὅτι ἐγένοντο ἐν αὐτῇ καὶ ὑπὲρ αὐτῆς, εἰςεγένοντο ἐν αυτῇ οἱ θεοί. ἐπεὶ πύθεσθε αὐτῶν, τί ἐν τῇ περὶ Χαιρώνειαν μάχῃ τὴν πόλιν ὤνησε τῶν Ἀθηναίων, ὅτι Ἄρης πρὸς Ποσειδῶνα ὑπὲρ Ἁλιῤῥοθίου ἐν Ἀρείῳ πάγῳ ἐκρίθη; ἀλλ' εἰ πρὸς Ἀντιπατρον, ἢ ὅςτις ἄλλος Μακεδονων βασιλεὺς, ἱκανοὶ ἐσμὲν ἀγωνίσασθαι, τοῦτο χρὴ σκοπεῖν. κἂν ἱκανοὶ ὦμεν, ἀγαθῇ τύχῃ ἀναλαβόντες τὰ ὅπλα, εὐθέως ἐλευθερῶμεν τοὺς Ἕλληνας· εἰ δὲ τούτου μὲν ὀλιγωρήσομεν, κολακευόμενοι δὲ ἡσθησόμεθα, πῶς οὐ, μετὰ τοῦ δοκεῖν ἑαυτοῖς αἴτιοι γεγονέναι τῶν συμφορῶν, (ὃ μόνον οὐδὲ παραμυθίαν ἔχει τοῖς κακῶς πράττουσιν,) ἀτυχήσομεν; ἔστι δὲ καὶ πόλεως καὶ ἀνδρὸς εὖ φρονοῦντος ἔργον, προς τὰς παρούσας ἀφορμὰς ὑπὲρ τῶν παρόντων βουλεύσασθαι· το δὲ, τὴν μὲν τόλμαν εἰς τὰ πράγματα, οἷς ἐπιχειρεῖτε, ἐκ τῆς πρόσθεν ἰσχύος ἔχειν· την δὲ ἰσχὺν παλαι ποτ' ἐσχηκέναι μεγάλην, ὅμοιόν γε φαίνεται, ὥςπερ ἂν εἴ τις Ὀλυμπίασι πολλάκις νικήσας, ὕστερον γέρων ὢν ἀπογράφοιτο ἔτι καὶ προκα-

---

ὅτι ἐγίνοντο ἐν αὐτῇ καὶ ὑπὲρ αὐτῆς, εἰςεγίνοντο ἐν αὐτῇ οἱ θεοὶ] Respicit ad id, quod oratores propter id dignitatem Atheniensium tamquam summam praedicabant, quod essent αὐτόχθονες, et quod hac dignitate ad praestantissima quaeque incitati majores, summae sibi laudi esse duxerint, pro patria mori. Atque etiam deos in Attica habitasse ibique judices sedisse, mythographi Athenienses accurate exposuerunt: cujus Ἀττικῆς ἀρχαιολογίας praecipuos auctores antiquos affert Heynius ad Apollodor. III, 14.

ὅτι Ἄρης cet.] Apollodorus III, 14, 2. Ἁλιῤῥόθιος ὁ Ποσειδῶνος καὶ νύμφης Εὐρύτης, ὑπὸ Ἄρεος φωραθεὶς κτείνεται. Ποσειδῶν δὲ ἐν Ἀρείῳ πάγῳ κρίνεται, δικαζόντων τῶν δώδεκα θεῶν Ἄρει, καὶ ἀπολύεται.

ἀπογράφοιτο] Qui in stadio volebant certare, nomen suum inscribebant apud Ἑλλανοδίκας, de quorum munere vide supra ep. 4.

λοῖτο τοὺς ἀντιπάλους, ἀναμιμνησκόμενος ἧς ἔσχηκεν, οὐ τῆς παρούσης, δυνάμεως. ἄξιον δὲ καὶ ἃ λέγειν αὐτοὺς πυνθάνομαι λογίσασθαι μεθ' ὑμῶν, ὡς καινὰ καὶ θαυμαστὸν ὅσον εἰς ἃ βούλονται τῇ πράξει συλλαβεῖν δυνάμενα. φάσκουσι γὰρ δεῖν ὑμᾶς ὁμονοεῖν· ὥσπερ ὑμᾶς οὐκ ἐπισταμένους, ὅτι τοῦτο μὲν πάσῃ πόλει, καὶ πολεμεῖν, καὶ εἰρηνεύειν βουλομένῃ, κράτιστόν ἐστιν. ἡμᾶς δὲ οὐ τοῦτο δεῖ σκοπεῖν, εἰ ὁμονοητέον πολεμοῦσιν· ὁμονοητέον γὰρ καὶ πολεμοῦσι, καὶ μὴ, παντὸς ἕνεκα· ἀλλ' εἰ βουλομένοις πολεμεῖν καὶ ὁμονοεῖν, ὡς ἴσμεν ἅπαντες, αὐτάρκης ἐστὶν ἡ δύναμις. ἕως δ' ἂν μήτε συστρατείας πολεμοῦντες ἕξομεν, μήτε χρημάτων πόρους δεικνύωσιν, ἀλλὰ τὴν Ἀθηνᾶν ἔγγυον διδῶσι τοῦ πολέμου, μηδὲν διαφέρειν αὐτοὺς αὐτίκα νομίσωμεν, ἀλλ' ἐκεῖνον μὲν, ὥσπερ ἦν ἄξιος, παραπλὴξ τὴν διάνοιαν ὤν, κατελύσατε εἰκότως· τούτοις δὲ ἀπόχρη τὸ μηδὲν παθεῖν κακὸν παραδόξους λόγους μελετῶσι, καὶ μηδὲ λείψανον ἐῶσιν ὑμῖν τι τῶν πραγμάτων, ἀλλὰ καὶ τούτων φθονοῦσι πράττειν ἃ δεῖ

δυνάμεως] Ἰσχύος vel ῥώμης vocabulum est usitatum de certantibus, δύναμις vires et potentiam rei publicae spectat. Ut synonymum tamen ἰσχύος usurpatur δύναμις in versione Alexandrina.

εἰρηνεύειν] Hoc est verbum scriptorum sacrorum non Atticorum. Εἰρηνεύεσθαι recentiores Graeci adhibent de pacatis regionibus.

συστρατείας] Vocabulum serioris aetatis, denotans, quae Atticis sunt συμμαχίαι, σύμμαχοι.

ἕως δ' ἂν ἕξομεν] Dubito, num ἕως ἂν dum cum futuro indicativi construatur.

παραπλὴξ] Poëseos vocabulum, non prosae Atticae. Ἐκεῖνον, ni fallor, Demosthenem significat.

τούτων φθονοῦσι] Τούτων sc. τῶν πραγμάτων τῆς πόλεως. Legitima ceterum constructio est φθονεῖν τινί τινος cum dat. personae et genitivo rei. Vide Matthiae Gr. Gr. §. 345.

